11

~~A. n°. 53.~~

118579462

Cat. 271

~~Ano 68~~

Estante C. M.
~~Est. 88 n.º 46~~ 2.

AAn 1

336
139

# Ἐπιστολαὶ διαφόρων φιλοσόφων· ῥητό-ρων· σοφιστῶν· ἓξ πρὸς τοῖς εἴκοσι· ὧν τὰ ὀνόματα ἐν τῇ ἑξῆς εὑρήσεις σελίδι·

# Epiſtolæ diuerſorum philoſophorum· oratorum, Rhetorum ſex & uiginti. Quorum nomina in ſequenti in uenies Pagina.

BIBLIOTECA UNIVERSITARIA SEVILLA

Ἐπιστολικοὶ τύποι. ὀνόματα τῶν συνταξαμένων τὰς ἐν τῇδε τῇ βίβλῳ περιεχομένας ἐπιστολάς.

| | | |
|---|---|---|
| Συνέσιος. | Διογένης. | Θεοφύλακτος. |
| Δημοσθένης. | Κράτης. | Αἰλιανός. |
| Πλάτων. | Ἀνάχαρσις. | Αἰνείας. |
| Ἀριστοτέλης. | Εὐριπίδης. | Προκόπιος |
| Φίλιππος. | Θεανώ. | Διονύσιος. |
| Ἀλέξανδρος. | Μέλισσα. | Λύσις. |
| Ἰσοκράτης. | Μυῖα. | Ἄμασις. |
| Δημόκριτος. | Ἀλκίφρων. | Μουσώνιος. |
| Ἡράκλειτος. | Φιλόστρατος. | τέλος. |

Ἐπιστολῶν ἄθροισις ἀνδρῶν πανσόφων,
Οὓς ὁ πρὶν ἐβλάστησεν ὡς ῥόδα χρόνος,
Ὧν ῥεῖ μὲν ἄνθος, ἡ δὲ τοῦ μύρου χάρις,
Μένει διαρκῶς εἰς πνοὴν εὐωδίας.
Καὶ τῶν σοφῶν γάρ, ἡ μὲν ἀκμὴ τοῦ βίου
Πτηνῶς παρῆλθεν. ἡ δὲ τῶν λόγων χάρις
Μένει διαρκῶς εἰς ἀείμνηστον κλέος.

Epiſtolares ſtili & nomina eorũ qui cõpoſuẽrũt quas hoc uolumen continet epiſtolas.

| | | |
|---|---|---|
| Syneſius, | Diogenes. | Theophylactus. |
| Demoſthenes. | Crates. | Aelianus. |
| Plato. | Anacharſis. | Aeneas. |
| Ariſtoteles. | Euripides. | Procopius. |
| Philippus. | Theano. | Dionyſius. |
| Alexander. | Meliſſa. | Lyſis. |
| Hippocrates. | Mya. | Amaſis. |
| Democritus. | Alciphron. | Muſonius. |
| Heraclitus. | Philoſtratus. | |

Epiſtolarum congregatio uirorum doctorum
Quos priſcum produxit ceu roſas tempus.
Quarum & ſi defluit flos, at unguenti elegãtia
Permanet ſatis ad flatum boni odoris.
Sic & doctorum & ſi uiridis ætas uitæ
Velociter tranſacta eſt, at lucubrationũ elegantia,
Permanet abunde ad ſempiternam gloriam

BIBLIOTECA UNIV. SEVILLA

# ΕΠΙΣΤΟΛΙΚΟΙ ΤΥΠΟΙ.

Ων ἐπιστολικῶν τύπων ἡράκλειδη ἐχόντων τὴν θεωρί-
τ αν, συνεστάναι μὲν ἀπὸ πλειόνων εἰδῶν, ἀναλαμβάνεσθαι
δὲ ἀπὸ τοῦ ἀεὶ πρὸς τὸ παρὸν ἁρμόζοντος, καὶ καθη-
κόντων μὲν ὡς τεχνικώτατα γράφεσθαι, γραφομένων δὲ ὡς ἔτυ-
χεν ὑπὸ τῶν τὰς τοιαύτας τοῖς ἐπὶ πραγμάτων τεταγμένοις ὑπουρ-
γίας ἀναδεχομένων, θεωρῶν σε φιλοτίμως ἔχοντα πρὸς φιλομα-
θίαν, ἐπραγματευσάμην δι' ἧς τινων σύστασιν ἰδεῶν· καὶ πόσας τινὰς
ἔχουσι διαφοράς. καὶ καθάπερ δεῖγμα τοῦ ἑκάστου γένους τάξεως
ὑποδέδειχα. προσεκθέμενος μερικῶς τὸν περὶ ἑκάστου λόγον. ἅμα
μὲν ὑπολαμβάνων καὶ σοὶ τοῦτο κεχαρισμένον ὑπάρχειν, εἴγε τῶν
ἄλλων περιττότερον εἰδείης, τὸ λαμπρὸν τοῦ βίου τιθέμενος οὐκ
ἐν τοῖς βρώμασιν, ἀλλ' ἐν ταῖς ἐπιστήμαις. ἅμα δὲ καὶ ἕτερα νομί-
ζων τοῦ προσήκοντος ἐκείνου μεθέξειν.

Γένη μὲν οὖν ἐστιν ὧν τοῦ παρόντος οἷς ἐντετυχήκαμεν, ἓν καὶ
εἴκοσι. τάχα δ' ἂν ἐνέγκοι πολλαπλάσια τούτων ὁ χρόνος. δύ-
ναμις γὰρ εὑρετὴς καὶ τεχνῶν καὶ θεωρημάτων οὗτος. ἄλλος δὲ τῶν κα-
θ' ἡμᾶς οὐδεὶς ἐπίκουρος εἰς ἐπιστολικὸν τρόπον ἀνήκων τύπους. Επο-
νομάζεται δὲ ἕκαστος αὐτῶν ἀφ' ἧς ἐστιν ἰδέας οὕτως.

Φιλικός. συστατικός. μεμπτικός. ὀνειδιστικός. παραμυθητικός. ἐ-
πιτιμητικός. νουθετητικός. ἀπειλητικός. ψεκτικός. ἐπαινετικός
συμβουλευτικός. ἀξιωματικός. ἐρωτηματικός. ἀποφαντικός.
ἀλληγορικός. αἰτιολογικός. κατηγορικός. ἀπολογητικός. συγχα-
(ρητικός. εἰρωνικός. ἀπευχαριστικός.

ὁ Μὲν οὖν φιλικός ἐστιν ὁ δοκῶν ὑπὸ φίλου γράφεσθαι πρὸς
φίλον. γράφουσι δὲ οὐχ οἱ πάντες φίλοι. πολλάκις
γὰρ ἐν ὑπεροχαῖς κείμενοι πρὸς ὑποδεεστέρους ὑπό τινων ἀξιοῦνται

φιλικὰ γράφειν· καὶ πρὸς ἀλλήλους ἴσως στρατηγοὺς, διοικητάς·
ἔστιν ὅτε καὶ πρὸς γράφουσι τοὺς ἀγνοοῦντας. οὐ γὰρ διὰ τὸ συνηκ-
ράσθαι καὶ μὴ ἔχειν αἵρεσιν τοῦτο πράττουσιν· ἀλλ' οὐδένα νομί-
ζοντες ἀντερεῖν αὐτοῖς φιλικὰ γράφουσιν. ὅ, τε τύπος τῶν ἐπιστολῶν
καλεῖται φιλικὸς ὡς, πρὸς φίλον γραφόμενος· ἔστι δὲ οὕτως.

Εἰ καὶ πολὺ σου διάστημα τυγχάνω κεχωρισμένος, τῷ σώματι μό-
νον τοῦτο πάσχω· σοῦ γὰρ οὐδέποτε δυνατὸν ἐστὶ λαθέσθαι με. οὐδὲ τῆς
γεγονυίας ἡμῖν ἐκ παίδων ἀνεγκλήτου συναναστροφῆς. εἰδὼς δὲ ἐ-
μαυτὸν τὰ πρὸς σὲ γνησίως διακείμενον, καὶ πάντοτε τὸ σοὶ συμ-
φέρον ἀπροφασίστως ὑπηρετήσοντα, τὴν αὐτὴν ὑπείληφα καὶ σὲ
περὶ ἐμοῦ ἔχοντα γνώμην, κατὰ μηδὲν ἀντερεῖν πρός με. καλῶς
οὖν ποιήσεις πυκνότερον ἐπισκοπῶν τοὺς ἐν οἴκῳ, μή τινες ἔχωσι χρείαν.
καὶ συμπαριστάμενος ἐν οἷς ἂν δέωνται· καὶ γράφων ἡμῖν περὶ ὧν
αἱρῇ.

Ὁ δὲ συστατικὸς ὃν ὑπὲρ ἄλλου πρὸς ἄλλον γράφομεν ἐπαίνους συγ-
καταπλέκοντες ἅμα καὶ τοὺς πρότερον ἀγνοουμένους ἄγοντες εἰς
γνῶσιν. Οἷον οὕτως.

Τὸν δεῖνα τὸν παρακομίζοντά σοι τὴν ἐπιστολὴν, καὶ παρ' ἡμῖν κεκρι-
μένον, καὶ δι' ἣν ἔχει πίστιν ἀγαπώμενον, καλῶς ποιήσεις ἀποδο-
χῆς ἀξιώσας καὶ δι' ἐμὲ καὶ δι' αὐτόν, ἔτι δὲ καὶ διὰ σεαυτόν. οὐ μεταμε-
λήσει γάρ σοι ἐν οἷς θέλεις εἴτε λόγον ἀπόρρητον, πρᾶξίν τε εἰπεῖν· ἀλ-
λὰ καὶ σὺ πρὸς ἑτέρους ἐπαινέσεις αὐτὸν αἰσθόμενος ἣν ἐν παντὶ
δύναται πρὸς χρείαν ἐστὶ παραγενέσθαι.

Μεμπτικός ἐστιν ὁ μὴ νομίζεσθαι τρέφειν προσδεχόμενος.

Εἰ μὴ παρεδέδωκει σοι καιρὸς μηδὲ ποιῶν ὧν πέπονθας ἐκ τῶν
χαρίτων, ἐς αὐτὸ τοῦτό γε καλῶς ἔχει, ὑπείληφας τὸ μνημονεύειν

ὧν ἔπαθες. ἀλλὰ τῶν δυσχερῶν καθ' ἡμῶν λόγους προεῖθου· σὲ μὲν οὖν οὐ μέμφομαι τρόπον ἔχοντα τοιοῦτον. ἑαυτοὺς δὲ ὅτι σε τοιοῦτον ὄντα ἠγνοοῦμεν. Ὀνειδιστικὸς δέ ἐστιν ὅταν τὸν ὑφ' ἡμῶν προευεργετηθέντα ἐφ' οἷς ἔπραξε μετ' ἐγκλημάτων ὀνειδίζωμεν. Εἰ δ' ὥσπερ τὸ συνῆθες αὐτὸν μαθόντα, τότε τὰ ἑτέροις προσφέρεσθαι δυσκόλως. νῦν γε μὴν ὑφ' ἡμῶν τρεφόμενος τὰ δήμια ἔχων τὸ πνεῦμα, μεῖζον φρονεῖς τοῦ δέοντος. ἡμεῖς δὲ τούτου αἴτιοι· σὲ γὰρ ἔδει μὴ τυχεῖν ἐλευθέρου σχήματος. τὰ ἔπη δὲ νῦν ἐλεύθερος γέγονας, ὅμως ἔχεις σχῆμ' ἀδουλοπρεπές. λέγει δὲ κακῶς. ἐπεὶ καλῶς λέγειν οὐκ ἔμαθες. Παραμυθητικὸς δέ ἐστιν ὁ γραφόμενος τοῖς ἐπὶ λύπαις καθεστηκόσι δυσχεροῦς τινὸς γεγονότος. ἔχει δὲ οὕτως.

Ἀκούσας τὰ δεινὰ τῆς ἀχαρίστου σου τύχης ἀπηντημένα, καθ' ὑπερβολὴν ἤλγησα νομίσας οὐ σοὶ μᾶλλον ἢ ἐμοὶ συμβεβηκέναι τὸ γεγονός. ἐκείνην μὲν οὖν τὴν ἡμέραν ἅπαντα ἰδὼν τὰ πρὸς τὸν βίον ἑστῶτα συνεφώραζον. ἐννοηθεὶς δὲ ὅτι τὰ τοιαῦτα πᾶσιν ἐστὶν ὑποκείμενα τῆς φύσεως, οὔτε χρόνον οὔτε ἡλικίαν ὑφισταμένης, καθ' ἣν δέοι τι πάσχειν, ἀλλ' ἀδήλως μετὰ σκαιότητος οὐκ ἀξίως πολλάκις ἀπαντώσης, ἐπεὶ μὴ παρὼν ἔτυχον, παρακαλεῖν σε διὰ τῆς ἐπιστολῆς ἔκρινα τοῦτο ποιῆσαι. φέρε γοῦν τὸ γεγονὸς ὡς δυνατὸν κουφότατα, καὶ καθὼς ἄλλῳ παραινέσαις, οὕτω καὶ σαυτῷ παραίνεσον. ἐπίστασαι γὰρ ὅτι τὸ μέλλον χρόνῳ καθιστᾷ σε, τοῦτο ὁ λόγος εὐμαρέστερον ποιήσει.

Ἐπιτιμητικὸς δέ ἐστιν ὁ ἐφ' ἁμαρτήμασι προγεγονόσι μετ' ἐπιπλήξεως γραφόμενος, οὕτως.

Τῶν ἁμαρτημάτων τὰ μὲν ἑκουσίως γίνεται, τὰ δὲ ἀκουσίως. καὶ τὰ μὲν μεγάλα καθέστηκε, τὰ δὲ μικρά. καὶ τὰ μὲν μόνοις βλαβερὰ τοῖς ἁμαρτάνουσι, τὰ δὲ ἑτέροις. σὺ δὲ

καθώ

καθάπερ ὑπὸ τῆς ἀθυμίας συμβέβηκεν ὄντα· καὶ γὰρ οὐ κακῶν μεγάλα πολλὰ βλαβερὰ διαπέπραξαι. προσήκει μὲν οὖν σε μείζονος ὑπὸ τυχεῖν ὑπὸ πλήξεως. εἰ δὲ περὶ τὸ πρότερον συντετύχηκε καὶ ὑπὸ ἑτέρων τῶν ἀδικηθέντων. ἀλλ' ἔτι γε δυνατόν ἐστιν ἰάσεως τυχεῖν γεγονὸς πλημμέλημα, πρὸς διόρθωσιν γὰρ ἀγαγὼν αὐτὸς αἴτιος γενήσῃ τοῦ μὴ γεγονέναι καθάπερ ἐγὼ τοῦ γενέσθαι. Νουθετικὸς δέ ἐστιν ὃς καὶ διὰ τῆς ὀνομασίας ὁ ποῖός ἐστι δηλοῖ. τὸ γὰρ νουθετεῖν ἐστιν νοῦν ἐντιθέναι τῷ νουθετουμένῳ, καὶ διδάσκειν τί πρακτέον καὶ μή. Κακῶς ἐποίησας ὅτι τῷ χρησαμένῳ ἀνδρὶ καλῶς ἀνεστραμμένῳ καὶ περὶ λόγου βεβιωκότι καὶ τὸ ὅλον μηδὲν ἄτοπον εἰς σὲ πεποιηκότι. περὶ αἰτήσεως οὖν ἀξίωσιν τὸ πρᾶγμα. καὶ γὰρ οὐ πάλιν ὑπ' ἄλλου παθὼν, ἔρ[illegible]ως ἂν ὑπέσχηκας. τὸ δὲ ὑπὸ σαυτὸν δικαίων μὴ δοκεῖ οὖν μήτε γενέσθαι μήτε ἀγροίκως τετυχηκέναι, μήτε τὸ πρᾶον ἔχοντος συστῆναί τινα ἢ φίλον ἔχειν τὸν ὑποτιμήσοντα τοῖς ἁμαρτήμασιν.

Ἀπειλητικὸς δέ ἐστιν ὅταν μετ' ἐπιτάσεως φόβον τισὶν ἐμποιῶμεν ὑπὸ πεπραγμένοις ἢ πραχθησομένοις. οὕτως.

Εἰ μὲν ὑπολαμβάνετε μηδεμίαν ὑφέξειν δίκην ἐφ' οἷς διαπέπραξαι, πρᾶττε. ἴσθι δὲ ἀκριβῶς ὡς οὔτε ἀνατιπόμενος, οὔτε καταδυσάμενος οὐδενὶ τρόπῳ χρόνου ὑπὸ αὐτοῦ κενόν. οὐδὲν γὰρ οὐκ ἂν εὕροις δίκης ἀποφυγὰς ὥστε δεῖ παθεῖν.

Ψεκτικὸς δέ ἐστιν ὅταν τρόπου κακίαν ἢ δυσχέρειαν πράξεως κατά τινος ἐξαγγέλλωμεν. οὕτως.

Ὁ δεῖνα τοιῶσ κέχρηται τοῖς ἐγκεχειρισμένοις ἀνελευθέρως καὶ τῆς προαιρέσεως ἀναξίως, καὶ ἐγὼ σιωπῶ περὶ ἄλλων ἀκούσῃ. γράφειν γὰρ προσήκει περὶ ὧν ἂν μὴ τινὸς ὑποστῶνται. περὶ δὲ τῶν ἀπασιφανεστάτων ὑπὸ τῆς φήμης ἀναγγελλομένων, περιιόντι

καὶ τὸ μηνυθὲν δι' αὐτῶν ἐλέγχεται σιωπώμενον.

Ἐπαινετικὸς δέ ἐστιν ὅταν ἐφ' οἷς ἂν ἔπραξέ τις ἢ προείλετο παρακαλῶμεν ἀποδεχόμενοι τὸν πρόσωπον τοῦτον.

Ἐγὼ εἰ καὶ πρότερον ἔγραψας, γράμμασι μετειλήφειν σου τῆς φιλοκαλίας, καὶ νῦν ἐφ' οἷς πέπραχας, ἀποδέχομαί τε καὶ παρακαλῶ. συνοίσει γὰρ ἡμῖν ἀμφοτέροις.

Συμβουλευτικὸς δέ ἐστιν, ὅταν τὴν ἰδίαν γνώμην προφερόμενοι προτρέπωμεν ἐπί τι, ἢ ἀποτρέπωμεν ἀπό τινος. οἷον οὕτως.

Ἐξὸν εὐδοκιμῆσαι, διὰ τῶν ἀρχομένων, κεφαλαιωδῶς ὑποδεῖξαι. γνώσῃ μὲν οὖν ὅτι τῷ τρόπῳ δυνατὸς εἶ τὴν παρὰ τῶν ὑποτεταγμένων εὔνοιαν περιποιεῖσθαι τῶν ὑπηκόων. ἔτι δὲ φίλους πλείονας μὲν οὐ ποιεῖν. πρὸς ἅπαντας δὲ μετρίως ἔχειν τὸ φιλάνθρωπον. τοιοῦτος γὰρ ὤν, παρὰ τῶν ὄχλων τὴν εὐφημίαν καὶ τὴν ἀρχὴν ἀσάλευτον ἕξεις.

Ὁ δὲ ἀξιωματικὸς ἐν δεήσει κείμενος τοῖς αἰτίοις καὶ τοῖς καλουμένοις λιτανείοις. κεῖται ἢ μετὰ παραιτήσεως ἐνίοτε οὕτως.

Ἐπιτετίμηκα τῷ δεῖνι περὶ ὧν εἰς σὲ διαπέπρακται. καὶ πικρότερον ἢ προσῆκεν αὐτῷ διηνέχθην. καὶ σχεδὸν μᾶλλον ἢ ποῦ τῶν ἢ ἂν αὐτὸς ὑπὲρ σαυτοῦ διελέχθης. ἀλλ' ἐμοὶ τὴν ἀδικίαν αὐτίθεσ εἰς τὸ πάλιν συνάξαι. οἶδα δέ σε καὶ χρήσιμον ὄντα καὶ τοῖς φίλοις χαριζόμενον. ὁλοσχερῶς οὖν ἀξιώθητι κατὰ τὸ ὁμηρικὸν, δάμασον δὲ θυμὸν μέγαν. οὐδέ τί σε χρὴ Νηλεὲς ἦτορ ἔχειν. στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί.

Ἐρωτηματικὸς δέ ἐστιν ὅταν περί τινων πυνθανόμενοι παρακαλῶμεν ἡμῖν ἀντιφωνεῖν.

Ἀκούω τὸν δεῖνα τὸν φιλόσοφον τῶν ἐπιδεδημηκέναι πρὸς σέ. διασάφησον οὖν μοι πότερον πάρεστιν ἢ κεχώρισται.

Ἀποφα

Ἀποφαντικὸς δέ ἐστιν ὅταν πρὸς τὸν πυνθανόμενον ὁ δήποτε οὖν ἀποφαινώμεθα.

Ἔγραψάς μοι πυνθανόμενος εἰ πρῶτον μὲν ἐστὶν ὃν ὑπείληφας. ἐπειδὴ δὲ καὶ νῦν ὡς ἀκούεις τὰ πράγματά ἐστιν ἔτι καὶ σὲ προσδεχόμενος ἐπιμένειν φημί,

Ἀλληγορικὸς δέ ἐστιν ὅταν πρὸς ὃν γράφομεν, αὐτὸν εἰδέναι βουλόμεθα μόνον. καὶ ἑτέρου πράγματος εἰκόνα σημαίνομεν.

Ἀκούω τὸν πρὸς σὲ ἀγωνισάμενον ἀθλητὴν, γυμνὸν ἔξω τῶν πυλῶν ἐν σκοτεινῷ κατοικεῖν οἰκήματι. κρατήσεις δὲ πάντως. τὸ γὰρ ἐσήμηνεν ὅτι ὑπείληφεν αὐτοῦ τὸν ἀντίδικον ἀπολωλέναι. Ὡς ἑτέροις ἀπειλῶν ἔγραψεν. οὐ βούλεσθε παύσασθαι ἕως ἂν ἴδητε τοὺς τέττιγας ἀπὸ τῶν βώλων ᾄδοντας. διὰ γὰρ τοῦ πράγματος ἄλλο πρᾶγμα σεσήμαγκε. βούλεται γὰρ εἰπεῖν, οὐ βούλεσθε παύσασθαι, ἕως ἂν ἴδητε τὴν χώραν ὑμῶν κατεσκαμμένην καὶ δενδροκοπημένην. οὐ γὰρ ἂν ἄλλως οἱ τέττιγες ἀπὸ τῶν βώλων ᾄδοιεν, εἰ μήτε δένδρα μήτε τοίχους ἔχοιεν.

Αἰτιολογικὸς ἐστὶν ὅταν τὰς αἰτίας δι' ἃς οὐκ ἐγένετο ἢ γίνεται σημαίνομεν ὅτι δήποτε οὖν. οἷον

Ἔγραψάς μοι διὰ ταχέως πρὸς σὲ διακομίζεσθαι. κἀμοὶ δὲ τοῦτο μέλει. ἀπερ[ί]μενον. τῷ πάντα ἡμῖν τὰ πρὸς τὸν πλοῦν ἀντιπεπτωκέναι. οὔτε γὰρ πλοῖον ἐστὶν εὑρεῖν, πρὸς τὰς λῃστουργίας ἐληλυθυιῶν ἀπάντων. οὐ γὰρ ἂν εὕροιμεν ἀνέμων ὄντων ἐναντίων. ἐν καιρῷ δὲ τῷ μεταξὺ καὶ εἰς κλείσιν ἐμπεπλέγμεθα. τὸν δὲ συσταθησόμενον οὐκ ἔχομεν καὶ διεξάξοντα. πρὸς δὲ τούτοις ἠσθένηκα τῷ σώματι. ἐὰν ἅπαντα μεταπέσῃ ταῦτα, ἐκδέχου.

Κατηγορικὸς ἐστὶν ἐν κατηγορήσει τινῶν κείμενος παρὰ τὸ δέον ἐνηργημένων.

Οὐχ ἡδέως μὲν ἔφερον ἀκούων τὰ κατὰ σοῦ λεγόμενα πρὸς τὸν στρατηγόν. ἦν γὰρ τῆς ἀξίας ἀλλοτρίας. καλῶς δὲ καὶ σὺ τὸ κατ᾽ ἐμοῦ ταῦτα λέγοντι αὐτὸν ἐπεχείρησας. ἐπιστάμενος αὐτὸν καὶ διάβολον καὶ ψευδολόγον, οἶδα γὰρ ὑπὲρ οὗ γράφουσι, τὸ καθόλου δὲ φίλον ἔχων, ὃν ἤδειν ἁπάντων ἐχθρόν. οὐ δὲ τοῦτο δοκιμάσεις. διότι καὶ ἄλλον πρὸς σὲ κατηγορήσαντα, καὶ πρὸς ἄλλους εἰκὸς ἦν ἐρεῖν τι κατὰ σοῦ. μέμφομαι οὖν ἐκείνῳ μὲν, ὅτι ταῦτα πράττει. σοὶ δὲ ὅτι δοκῶν φρονεῖν, οὐκ ἔχεις κρίσιν ὑπὲρ φίλων.

Ἀπολογητικὸς δέ ἐστιν ὁ πρὸς κατηγορούμενα, τοὺς ἐναντίους λόγους μετὰ ἀποδείξεως εἰσφέρων.

Γεγραφέναι πρὸς σὲ μετ᾽ ἐμοῦ τινα καὶ πεπέμφθαι σε πρὸς τὸν στρατηγὸν ὑπ᾽ ἐμοῦ. καλῶς δὲ πεποίηκεν ἡ τύχη. μεγάλα μοι πρὸς τὴν ἀπόδειξιν ποιήσασα. κατὰ γὰρ τοὺς χρόνους φασὶ τοῦτο πεποιηκέναι. μᾶλλον δὲ καὶ πρὸ τριῶν μηνῶν καταπλεῦσαι εἰς Ἀλεξάνδρειαν. οὔτε μὴν τὸν στρατηγὸν ἑώρακα, οὔτε ἐκεῖνος ἐμέ. διὰ γραμμάτων δὲ οὐδὲ αὐτοὶ λέγουσιν ὅτι πεπέμφθαι κατὰ σοῦ. καὶ γὰρ ἦν ἄλογον, οὐδὲ μιᾶς μοι γενομένης πρὸς σὲ διαφορᾶς, ἀξιοῦν κατηγορεῖν τοῦ μηδὲν ἀδικοῦντος. ἀλλὰ φαίνονται αὐτοὶ πράξαντες ἄτοπον ἂν εἶεν ὑπὸ σοῦ γνωσθέντες, μή τινές σοι προσαπεσόντες κατ᾽ αὐτῶν προδιαβεβλήκωσιν. οὐδὲ εἰ εἶεν καὶ ἣν φασιν ἐπιστολικὰς εἶπε. εἰ διαμένεις οἷον δεῖ, πρὸς ἐμοῦ παραγενομένου μαθήσῃ πάντα. καὶ γὰρ εἰ μὲν κατὰ ἄλλων πρὸς σὲ πώποτε εἴρηκα, πιστὸν ἦν καὶ κατὰ σοῦ πρὸς ἄλλους ἐρεῖν. προσδέχου με συντόμως καὶ πάντα πρὸς ἔλεγχον ἄξομεν. ἵνα σὺ μὲν γνώσῃ ὡς καλῶς με κέκρικας φίλον. ἐγὼ δὲ σοῦ πεῖραν ἔργῳ λάβω. σχεδὸν γὰρ οἱ διαβάλλοντες, ἡμᾶς μὲν συνάξουσιν, ἑαυτοὺς δὲ ἀποπνίξουσιν.

Συγχα

Συγχαριστικὸς δέ ἐστιν ὅταν τινὶ μεγάλοις πράγμασιν ἢ παραδόξοις γενομένοις περί τινα συνηδόμενοι γράφωμεν.

Οὐχ ὑπείληφα περὶ σὲ τὴν τοῦ πράγματος κυρίαν γενομένην τοσαύτην χαράν, ὅσην οἶδα περὶ ἐμὲ πυθόμενον τὰ σοὶ συμβεβηκότα. πέποιθα δὲ ἐθελούσης τῆς τύχης σε μείζονα γενέσθαι. τὸ σὸν γὰρ ἦθος οὐδὲ παρὰ τοῖς μείζοσιν ἀπαρασήμαντον. δι' ἣν ἔχεις πρὸς μὲν τοὺς ἀνθρώπους ἀπάντησιν. πρὸς δὲ τοὺς θεοὺς εὐσέβειαν.

Εἰρωνικὸς δέ ἐστιν ὅταν ἐναντίοις πράγμασιν, ἐναντία λέγωμεν καὶ τοὺς κακοὺς ἀγαθοὺς λέγωμεν.

Ἀποδέξαι τὴν πρὸς ἡμᾶς εὔνοιαν, ἣν ἐκ παλαιῶν χρόνων ἔχεις. οὐ γὰρ λέληθεν ἡ καλή σου καὶ ἀγαθὴ προαίρεσις. διότι τὸ κατὰ σαυτὸν μέρος ἤρηκας ἡμᾶς. ἐὰν δὲ τῶν ἴσων τυγχάνῃς, μὴ δυσφόρει. πεπείσμεθα γὰρ ἂν οἱ θεοὶ θέλωσι, καιρὸν ἕξειν οἵων εὑρήσεις καθ' ἡμῶν οὐδέποτε.

Ἀπευχαριστικὸς δέ ἐστιν ὁ μνημονεύων τῆς χάριτος τῷ εὐεργέτῃ δεικνῦναι βουλόμενος.

Ἐφ' οἷς εὐηργέτησας ἡμᾶς, διὰ λόγων νῦν εὐχαριστῶ. ἀλλὰ δεῖξαι τὸ ἔργῳ ἣν ἔχω διάθεσιν πρὸς σὲ πάνυ εὐχόμενος, ὑπείληφα τὸ δὲ μοῦ σοι γενόμενον ἔλαττον τοῦ καθήκοντος. οὐ δὲ γὰρ τὸν βίον ὑπὲρ σοῦ προθέμενος, ἀξίαν ἀποδοίην χάριν ὧν πέπονθα. τῶν κατ' ἐμὲ δὲ ὅτι βούλει ποιῆσαι μὴ γράφε παρακαλῶν, ἀλλ' ἀπαιτῶν χάριν. ὀφείλω γάρ.

Ἄλλη.

Μουσικοί σοι τὸ πρόσρημα σοφώτατε. ἐλίαν ἀπέπεμψά σοι λύραν σὺ κρ. νῦν γὰρ ἡ γραφὶς μουσικὴν ἐνδείκνυται τέχνην. ἆσμά σοι δι' ἡμῶν μελῳδοῦσα τὸ φίλιον. σπουδὴ τε τῇ πόσει καὶ

προθυμίᾳ τῇ πρεπούσῃ. πρὸς φωνὴν ἡμετέραν προθυμουμένη ποιεῖσθαι. καὶ γὰρ ἔννομόν τε καὶ θεῖον τοὺς προεστηκότας ὑμᾶς καὶ προστήσεσθαι μέλλοντας, ἀσπάζεσθαι τοῖς προσρήσεσι διὸ πεπληρώκαμεν τὸν νόμον καὶ προσκεκυνήκαμεν ὡς ἔδει καὶ αὐτίκα λοιπὸν μεμνῆσθαι μὲν ἡμῶν παρ' ὑμῖν. γράφε δὲ ἡμῖν ἐνθάδε. ὑπὲρ δὲ τῆς σωτηριώδους ὑμῶν διαμονῆς ὁσημέραι εὐχόμενος, εὖ ἔχειν πυνθάνεσθαι ταύτην, λίαν ἔχομεν ἐρωτικῶς.

Ἄλλη.

Συνήθως εὐφράνας δέσποτα τῇ τῶν γραμμάτων διαδοχῇ. σωματικὴν ἡμῖν τὴν παρουσίαν ἐπεδείξω μόνος. καὶ τὴν ὑμῶν ἀπουσίαν, τῇ παρουσίᾳ σημάνας, χαίρειν πάλιν ἀνέπλησας. καὶ πάλιν εὐφραίνεσθαι. τὰ γὰρ δὴ σῆς λαμπρότητος ὑφαντὰ γράμματα, εὐφροσύνης ἡμῖν αἴτια γίνεται. ἡμῖν μὲν γὰρ δέσποτα καὶ δοκῶν ἀπεῖναι πάρει. καὶ παρὼν ἐν ταῖς τῶν ψυχῶν ἡμῶν δικαίως ἀναγεγραμμένος ὑπάρχεις ἀνεξαλείπτοις μνήμαις τῇ τῶν γλυκέων παίδων παρουσίᾳ καὶ τῇ τῶν χρεωστουμένων σοι ἀνάγκῃ καὶ τῇ τῶν ψυχῶν ἀρετῇ. ψυχῆς γὰρ δὴ ἐστὶν ὀφθαλμῶν τὰ γράμματα ἑορτὴ ἐστὶ πανήγυρις.

# ΣΥΝΕΣΙΟΥ ΕΠΙΣΤΟΛΑΙ

## ΝΙΚΑΝΔΡΩι.

π Αἴδας ἐγὼ λόγοις ἐγεννησάμην. τοὺς μὲν, ἀπὸ τῆς σεμνοτάτης φιλοσοφίας καὶ τῆς συννάου ταύτῃ ποιητικῆς. τοὺς δὲ, ἀπὸ τῆς πανδήμου ῥητορικῆς. ἀλλ᾽ ἐπιγνοίη τις ἂν ὅτι πατρός εἰσιν ἑνὸς ἅπαντες, νῦν μὲν εἰς σπουδὴν, νῦν δὲ εἰς ἡδονὴν ἀποκλίναντος. ὁ δὴ παρὼν οὗτος λόγος ἧς τινος μὲν ἐστι μερίδος, ἀπὸ τῆς ὑποσχέσεως αὐτοῦ κατερεῖ. ὑπὲρ ἐμοῦ δὲ οὕτως ἠγαπήθη διαφερόντως, ὡς ἤδη ἂν αὐτὸν εἰς ποίησιν φιλοσοφίας, καὶ τοῖς συνουσίοις ἐγκεῖναι. ἀλλὰ τοῦτο μὲν οὔ φασιν ἐπιτρέψειν, οὐδὲ οἱ νόμοι τῆς πολιτείας. δεινοὶ γάρ εἰσιν εὐγενείας προσεῖναι. ἔχει δὲ κέρδος, ὅτι ἂν αὐτῷ λάθρᾳ χαρίσωμαι, ἐπὶ τἄλλα τῆς σπουδαίας μερίδος, ἐς αὐτὸν συνεσκήνηκα. ἂν μὲν οὖν καὶ σοὶ δοκῇ, κοίνωσαι τὸν λόγον τοῖς Ἕλλησιν. ἀποψηφισθεὶς δὲ ἐπαρρίτω παρὰ τὸν πέμψαντα. τοὺς πιθήκους γάρ φασιν ἐπειδὰν τέκωσιν, ὥσπερ ἀγάλμασιν ἐνατενίζειν τοῖς βρέφεσιν, ἀγαμένας τοῦ κάλλους. οὕτως ἐστὶν ἡ φύσις, φιλότεκνον. τὰ δ᾽ ἀλλων ὁρῶσιν, ἅπερ ἐστὶ, πιθήκων παιδία. ἑτέροις οὖν ἐπιτρεπτέον, ἐξετάζειν τοῦ ἔκγονα. αἱ γὰρ εὔνοιαι, δειναὶ δεκάσαι τὰς ψήφους. διὰ τοῦτο λυσιτελῶς ἀπελθεῖν εἰς τὰς γραφὰς εἴσω γε, καὶ λυσιτελοῦν ἀπελθεῖν.

## Ἰωάννῃ.

α Φοβία μεγίστη, τὸ φοβεῖσθαι τοὺς νόμους. σὺ δὲ, αὐτοὺς ἠχθηκὼς, ἀεὶ φαίνεσθαι φοβούμενος. τοιγαροῦν δέδιθι τοὺς ἐχθροὺς, καὶ μετὰ τούτων τοὺς δικαστὰς, ἂν μὴ κλέπτωσι. κἂν κλέπτωσι μὲν, μὴ σὺ δὲ ἧς ὁ τὰ πλείω διδοὺς, οὐδὲν ἧττον εὐλαβητέοι. ὀργίζονται γὰρ ὑπὲρ τῶν νόμων, ὅταν καὶ μισθοδότας προσλάβωσιν.

ας

## Τῷ ἀδελφῷ Εὐοπτίῳ.

τ Ρίτη μὲν ἦν Αἰσχίνῃ κειμένῳ· ἡ δὲ ἀδελφιδῆ τότε πρῶτον ἧκεν ὑπὸ τὴν ταφήν· οὐ γὰρ οἶμαι νομίζεται συμφορὰν τριταῖος βαδίζειν ἐπὶ τὴν ἐκφοράν. ἀλλ' ἦν φοινικὶς δὴ καὶ τότε. ἡ διαφανὴς ὁ κεκρύφαλος· καὶ χρυσία καὶ λίθοις ἐξήρτη τότε καὶ περιέκειτο, ἵνα μὴ τῆς συμφορᾶς σύμβολον ἀπαίσιον γένηται. καθεζομένη οὖν ἐπὶ τῆς ἀμφικεφάλου καθέδρας, φασίν, ἀργυρόποδος, πολλὰ κατεμέμφετο τὴν ἀκαιρίαν τῆς συμφορᾶς· ὡς ἢ πρότερον ἐχρῆν, ἢ μετὰ τὸν γάμον ἀποθανεῖν. καὶ πρὸς ἡμᾶς, ἐφοίτα· ἐδυσυχοῦ μὲν ἐμήνιε. μόλις δὲ οὖν περιμείνασα τὴν ἑβδόμην, καθ' ἣν ἡμεῖς ἑστιῶμεν τὸ δεῖπνον τὸ ἐπιτάφιον, αὐτήν τε καὶ τὴν φλήναφον γραῦν τὴν τιτθίδα, ἐπὶ τὸ ζεῦγος ἀναβιβασαμένη τὸ ὀρικόν, πληθούσης ἀγορᾶς, ἅπασι τοῖς παρασήμοις ἐπόμπευεν εὐθὺ τοῦ χείρωνος ἐλαύνουσα. μέλλει γὰρ καὶ ἐς τὴν ἐπιοῦσαν ἑβδόμην, τυμπανιῶσα δὴ τε καὶ πυργοφόρος καθάπερ ἡ Κυβέλη περιελεύσεσθαι. τούτοις ἡμεῖς μὲν οὐδὲν ἀδικούμεθα, πλὴν τοῦ καταφανεῖς γεγονέναι, λίαν ἀναισθήτους ἔχοντες συγγενεῖς. ὁ δὲ ἀδικούμενος, Ἁρμόνιός ἐστιν ὁ τοῦ θυρωροῦ πατήρ· ὡς ἂν εἴποι Σαπφώ, τὰ μὲν ἄλλα σώφρων καὶ μέτριος ἐν τῷ καθ' ἑαυτὸν βίῳ γενόμενος. ἀλλ' ὑπὲρ εὐγενείας ἀμφισβητῶν τῶν Κέκροπι διετέλεσε. τούτου τοι πλέον ἢ Κέκροπος τὴν θυγατριδῆν, ὁ θεῖος ἡρώδης ὁ θυρωρὸς, εἰς σωσίας καὶ τυβίος ἀπέδοτο. πλὴν εἰ μή τι λέγουσιν, ὅσοι τὸν νυμφίον ἡμῖν μητρόθεν ἀποσεμνύνουσι, γενεαλογοῦντες αὐτὸν ἀπὸ τῆς ἐν Φήμῃ λαΐδος· ἡ γὰρ λαῒς ἔφη τις ἤδη λογογράφος, ἀνδράποδον ἦν συγκαρικόν, ἐκ Σικελίας ἐωνημένον· ὅθεν ἡ καλλίπαις ἡ τεκοῦσα τὸν περιβόητον. καὶ αὐτὴ πάλαι μὲν ἐπαλλακεύετο

ναυκλήρῳ

ναυκλήρῳ δεσπότῃ. ἔπειτα μέλλοντι ῥύτορι. καὶ τούτῳ δεσπότῃ γὰρ τῷ μετ' ἐκείνους ὁμοδούλῳ. ἐλαθρα τῇ πόλει. ἔπειτα λαμπρῶς τῇ πόλει, καὶ προύσῃ τῆς τέχνης. ὡς ἐπειδὴ τὴν ἐργασίαν ὑπὸ χαλαρᾶς ῥυτίδος κατέλυσε, τοὺς ἐν ἡλικίᾳ παιδοτριβεῖ. καὶ τοῖς ξένοις ἀντικαθίστησιν. ὁ γὰρ υἱὸς ὁ ῥήτωρ, ἀφεῖσθαί φησι τῆς ἀνάγκης τοῦ νόμου, μητέρα γὰρ ἔφη ἑταίραν. ἅπασι τοῦ νόμου τοῖς οὕτω γενοῦσιν, ἀποδέδεικται μὲν ἡ μήτηρ. ὁ δὲ λοιπὸς τῶν γονέων, ἀμφισβητήσιμος. ὅσον οὖν ἀμφοτέροις παρὰ τῶν εὖ γεγονότων ὀφείλεται, τοῦτο πᾶν ἤκειν ἔδει παρὰ τῶν ἀποχρώντων εἰς τὰς μητέρας.

Τῷ αὐτῷ.

Ὕσαντες ἐκ Βενδιδείου πρὸ δείλης ἑώας, μόλις ὑπὲρ
λ μεσοῦσαν ἡμέραν, τὸν Φάριον μύρμηκα παρηλάσαμεν. δίς που καὶ τρὶς ἐγχεθείσης τῆς νεὼς τοῦ λιμένος ἐδάφει. εὐθὺς μὲν οὖν, καὶ τοῦτο κακὸς οἰωνὸς ἔδοξε. καὶ σοφὸν ἦν ἀποβῆναι μέσως, ἐκ πρώτης ἀφετηρίας οὐκ εὐτυχοῦς. ἀλλὰ φυγεῖν παρῆμεν ἔγκλημα δειλίας ᾐσχύνθημεν. καὶ διατοῦτο οὔπω ἐπισχεῖν ὑπομένοι οὐδ' ἀναδῦναι. ὥστε ἦν ἃ ἂν συμβαίη, δι' ὑμᾶς ἀπλούμεθα. καίτοι τί δεινὸν ἦν ὑμᾶς γελᾶν καὶ ἡμᾶς ἐξωκεινηκέναι ἐστάναι. ἀλλὰ τῷ ἐπιμηθεῖ φασί, τὸ μὲν μέλλειν, οὐκ ἦν. τὸ δὲ μεταμέλειν, ἐνῆν, ὥσπερ ἡμῖν. τὸ γὰρ ἀδεῶς σώζεσθαι, νῦν πρὸς ἐρήμοις ἀκταῖς συναυλίαν ὀλοφυρόμεθα, καὶ πρὸς Ἀλεξάνδρειαν ὁρῶντες, ὡς οἷόν τε, καὶ τὴν μητέρα Κυρήνην. ὧν τὴν μὲν, ἔχοντες ἀπελίπομεν. τὴν δὲ, εὑρεῖν οὐ δυνάμεθα, ἰδόντες τι καὶ παθόντες, ἃ μὴ ὄναρ ἠλπίσαμεν. ἄκουε γάρ, ἵνα μὴ δὲ σὺ πάνυ χαίρειν χελάζῃς.

καὶ πρῶτον ὅπως ἡμῖν εἶχε τὰ τοῦ πληρώματος. ὁ μὲν ναύκληρος ἐθανάτα κατὰ χρέως ὤν. ναυτῶν δὲ ὄντων δυοκαίδεκα τῶν πάντων, τρισκαιδέκατος γὰρ ὁ κυβερνήτης ἦν, ὑπὲρ ἥμισυ μὲν καὶ ὁ κυβερνήτης, ἦσαν ἰουδαῖοι. γένος ἔκσπονδον καὶ δυσσεβεῖν ἀναπεπεισμένον, ἣν ὅτι πλείστους ἄνδρας ἕλληνας ἀποθανεῖν αἴτιοι γένωνται. τὸ δὲ λοιπὸν, ἀγελαῖοι γεωργοὶ. πέρυσιν οὔπω κώπης ἡμμένοι. κοινῇ δὲ οὗτοι κἀκεῖνοι, πεπηρωμένοι πάντως ἕν γέ τι μέρος τοῦ σώματος. τοιγαροῦν ὡς οὐδὲν δεινὸν ἦν ἡμῖν, ἐκωμῴδουν τε καὶ ἐκάλουν ἀλλήλους, οὐκ ἀπὸ τῶν ὀνομάτων ἀλλ᾽ ἀπὸ τῶν ἀτυχημάτων. ὁ χωλός. ὁ κηλήτης. ὁ ἀριστερόχειρ. ὁ παράβλωψ. ἕκαστος ἕν γέ τι εἶχε τοῦ παρασήμου. καὶ ἡμῖν τὸ τοιοῦτον, οὐ μετρίαν παρεῖχε τὴν διατριβήν. ἐν τῇ χρείᾳ δὲ, οὐκέτι γέλως ἦν, ἀλλ᾽ ἐπὶ τούτοις αὐτοῖς ἀπῳμώζομεν, ὄντες ἐπιβάται πλεῖν, ἢ πεντήκοντα. τριτημόριόν που μάλιστα γυναῖκες. αἱ πλείους νέαι, καὶ ἀγαθαὶ τὰς ὄψεις. ἀλλὰ μὴ φθονήσῃς. παραπέτασμα γὰρ ἡμᾶς ἀπετείχιζε. καὶ τοῦτο ἐρρωμενέστατον οὐ πάλαι διερρωγότος ἱστίου τεμμάχιον. σωφρονοῦσιν ἀνθρώποις τὸ τεῖχος τὸ σεμιράμιδος. ἴσως δὲ καὶ ὁ πρίαπος ἐσωφρόνησεν, Ἀμαράντῳ συμπλέων. ὡς οὐκ ἔστιν ὅ,τι ποτὲ χαλάζειν ἡμᾶς εἴασεν, ἀπὸ τοῦ δεδιέναι τὸν ἔσχατον κίνδυνον. ὅστις πρῶτον μὲν ἐπειδὴ τὸν παρ᾽ ὑμῖν τοῦ ποσειδῶνος νεὼν κατέκαμψε μὲν, ἄρας ὅλοις ἱστίοις ἠξίου πλεῖν εὐθὺ ταφοσίριδος καὶ ἀπεπειρᾶτο τῆς σκύλλης, ἣν ἐν τοῖς γραμματίοις ἀποτροπιαζόμεθα. συννενοηκότων δὲ ἡμῶν καὶ ἀνακεκραγότων, οὐ πρὶν, ἢ ἐν χρῷ γενέσθαι τοῦ κινδύνου, μόλις ἐκβιασθεὶς, ἀπέστη τοῦ διαναυμαχῆσαι πρὸς τὰς σπιλάδας. ἐντεῦθεν ὥσπερ ἐκ μετανοίας

ἀποστρέ

ἀποστρέψας τὴν ναῦν, ἐπαφίησι τῷ πελάγει. τέως μὲν ὡς ἐδύνατο καὶ πρὸς κῦμα παραβαλλόμενος. ἔπειτα δὲ ὁ νότος συνεπιλαμβάνει λαμπρός. ὑφ' οὗ ταχὺ μὲν τὴν γῆν ἀπεκρύπτομεν. ταχὺ δὲ μετὰ τῶν ὁλκάδων ἦμεν τῶν διαρμενίων. οὐδὲν ἔτι τῆς λιβύης τῆς καθ' ἡμᾶς. ἀλλὰ πλοῦν ἐπίπρον ἔπλεον. ξενιζόντων δὲ ἡμῶν καὶ ἀνιωμένων τὸ ἀπηρτῆσθαι τοσοῦτον τῆς γῆς, ὁ ἰαπετὸς Ἀμάραντος, ἐπὶ τῶν ἰκρίων ἑστὼς, ἐξαγώνιζε τὰς παλαμναιοτάτας ἀράς. οὐ γὰρ δὴ ἐπινοούμεθα ἔφη. ὑμῖν δὲ πῶς αὖτις καὶ χρήσαιτο, οἳ καὶ τὴν γῆν καὶ τὴν θάλατταν ὑποπίνετε. οὐκ, ἤν γέ τις αὐτοῖς χρῷτο καλῶς, ὦ λῷστε Ἀμάραντε πρὸς αὐτὸν ἔφην. ἡμῖν δὲ οὐδὲ ταφὰς εἰδὼς ἔσται. ζῆν γὰρ ἔδει. καὶ νῦν τοῦ πελάγους τι ἔσται. ἀλλὰ πλέωμεν ἔφην εὐθὺ περὶ τὰ πλέως, ἀπέχοντες τῆς γῆς, ὅσον μέτριον. ἔνεστι καὶ χαλεπὸν, οἷα δὴ τὰ θαλάττης, ἄδηλον ἢ δήπου καὶ ἔστι τὸ παρὸν μὲν λέγεται, λιμήν τις ἡμᾶς ἐκ τοῦ σχεδὸν ὑποδέξοιτο. οὐκ οὖν ἔπειθον λέγων. ἀλλ' ἐξεκώφει τὸ κάθαρμα, ἕως ἄνεμος ἀπαρκτίας ἐπαράσσει κλυδῶν, κῦμα ἐλαύνων ὑψηλὸν καὶ τραχύ. οὗτος ἄφνω προσπεσὼν, τὸ ἱστίον ἔμπαλιν ὤθησε. καὶ τὰ κυρτὰ κοῖλα πεποίηκεν. ἡ δὲ ναῦς ἐγγὺς ἦλθεν ἐπὶ πρύμναν ἀνατετράφθαι. μόλις δὲ ὡς αὐτὴν κατεστήσαμεν. καὶ ὁ βαρυστονος Ἀμάραντος, τοιοῦτον ἔφη τὸ τετεχνῆσθαι τὸ πλεῖσθαι. προσδέχεσθαι γὰρ αὐτὸς τὸν ἐκ πελάγους ἄνεμον. καὶ διὰ τοῦτο μετέωρον πλεῖν. κατιέναι γὰρ νῦν ἐγκάρσιον, ἐνδιδόντος τοῦ διαστήματος προστιθέναι τῷ μήκει. τοῦτον δὲ εἶναι τὸν πλοῦν τὸν ἡμέτερον. οὐκ ἂν, εἴγε παρὰ τὰς ἀκτὰς ἐπλέομεν, προσαναπεπλάσθαι ἂν τῇ γῇ. καὶ ἡμεῖς ἀπεδεχόμεθα λέγοντος ἕως ἡμέρα τε ἦν. καὶ τὰ δεινὰ οὔπω παρῆν. ἤρξατο γὰρ δὴ με-

τοῦ τῆς νυκτός, ἀεὶ προϊόντος ἐπὶ μεῖζον τοῦ κλύδωνος. ἡμέρα μὲν οὖν ἦν, ἥντινα ἄγουσιν οἱ Ἰουδαῖοι παρασκευήν. τὴν δὲ νύκτα τῇ μετ' αὐτὴν ἡμέρᾳ λογίζονται, καθ' ἣν οὐδενὶ θέμις ἐστὶν ἐνεργὸν ἔχειν τὴν χεῖρα. ἀλλὰ τιμῶντες διαφερόντως αὐτὴν, ἄγουσιν ἀπραξίαν. μεθῆκεν οὖν ἐκ τῶν χειρῶν ὁ κυβερνήτης τὸ πηδάλιον, ἐπειδὴ τὸν ἥλιον εἴκασεν ἀπολελοιπέναι τὴν γῆν. καὶ καταβαλὼν ἑαυτὸν πατεῖν παρεῖχε, τῷ θέλοντι ναυτίλων. ἡμεῖς δὲ τὴν μὲν οὖσαν αἰτίαν, οὐκ εὐθὺς ἐπὶ νοῦν ἐβαλόμεθα. ἀπόγνωσιν δὲ τὸ πρᾶγμα οἰόμενοι, προσῄειμεν. ἐλιπαροῦμεν μὴ καταπροέσθαι μηδέπω τὰς ἐσχάτας ἐλπίδας. καὶ γὰρ δὴ καὶ ἐπεῖχον αἱ τρικυμίαι τοῦ πελάγους καὶ πρὸς ἑαυτὸ στασιάσαντος. γίνεται δὲ τὸ τοιοῦτον, ὅταν μὴ τῷ λήξαντι πνεύματι καὶ τὰ παρ' ἑαυτοῦ συναναπαύσηται κύματα. ἀλλ' ἰσχύον ἔχοι τὸ ἐνδόσιμον τῆς κινήσεως, ὑπαντιάζῃ τῇ τοῦ πνεύματος ἐπικρατείᾳ, καὶ ἀντεμβάλλῃ ταῖς ἐμβολαῖς. ἔδει γάρ μοι καὶ φλεγμαινόντων ὀνομάτων, ἵνα μὴ τὰ μεγάλα κακὰ, μικροπρεπέστερον διηγήσωμαι. τοῖς οὖν ἐν τῷ τοιῷδε πλέουσιν, ἀπὸ λεπτοῦ φασὶ μίτου τὸ ζῆν ἠρτῆσθαι. εἰ δὲ καὶ ὁ κυβερνήτης νομοδιδάσκαλος εἴη, τίνα δεῖ ψυχὴν ἔχειν. ἐπεὶ δ' οὖν συνήκαμεν τὸν νοῦν τῆς ἀπολείψεως τῶν πηδαλίων, δεομένων γὰρ ἡμῶν σώζειν ἐκ τῶν ἐνόντων τὴν ναῦν, τὸ βιβλίον ὑπανεγίνωσκε, πειθοῦς ἀπογνόντες, ἀνάγκην ἤδη προσήγομεν. καί τις στρατιώτης γεννάδας, συμπλέουσι δὲ ἡμῖν Ἄρραβες συχνοὶ τῶν ἀπὸ τοῦ τάγματος τῶν ἱππέων, τὸ ξίφος σπασάμενος, ἠπείλησε τἀνδρὶ τὴν κεφαλὴν ἀποκόψειν, εἰ μὴ ἀντιλήψοιτο τοῦ σκάφους. ὁ δὲ αὐτόχρημα Μακκαβαῖος, οἷος ἦν ἐγκαρτερῆσαι τῷ δόγματι. μεσούσης δὲ ἤδη τῆς νυκτός, ἀναπείθεται

πείθεται

πείθεται παρ' ἑαυτοῦ πρὸς τὴν καθέδραν γενέσθαι. νῦν γὰρ φησὶν
ὁ νόμος ἐφίησιν, ἐπειδὴ νῦν σαφῶς τὴν ὑπὲρ ψυχῆς θεομαχῶ. πρὸς
τοῦτο αἴρεται θόρυβος ἐξ ἑκάστου. ἀνδρῶν οἰμωγή. γυναικῶν ὀλολυ-
γή. ἅπαντες ἐθεοκλύτουν. ἐποτνιῶντο. τῶν φιλτάτων ὑπεμι-
μνήσκοντο. μόνος Ἀμάραντος εὔθυμος ἦν, ὡς αὐτίκα ἀποπε-
ραγγαλψων τοὺς δανειστάς. ἐμὲ δὲ ἐν τοῖς δεινοῖς, ὄμνυμί σοι θε-
ὸν ὃν φιλοσοφία πρεσβεύει, τὸ ὁμηρικὸν ἐθράττεν ἐκεῖνο, μὴ ἄρα
ἀληθὲς εἴη, τὸν καθ' ὕδατος θάνατον, ὄλεθρον εἶναι καὶ αὐτῆς τῆς ψυ-
χῆς. λέγει γὰρ ἔστιν ὅπου τῶν ἐπῶν. αἴας δ' ἐξαπόλωλεν, ἐπεὶ
πίεν ἁλμυρὸν ὕδωρ, τὸν ἐν θαλάττῃ θάνατον ἀκριβεστάτην ἀ-
πώλειαν εἶναι, τιθέμενος. οὐδένα δ' ἄλλον ἀπολωλέναι φησὶν ἀλλ' ἑ-
κάστος ἀποθνήσκων, ἄϊδός δε βεβήκει. ταῦτ' ἄρα καὶ ἐν δυσὶν νεκυ-
αιν ὁ μικρὸς αἴας οὐδαμοῦ τοῦ δράματος εἰσενήνεκται, ὡς τῆς
ψυχῆς οὐκ οὔσης ἐν ᾅδου. καὶ Ἀχιλλεὺς, ἀνὴρ εὐψυχότατός τε
καὶ φιλοκινδυνότατος, ἀποδειλιᾷ πρὸς τὸν ἐν ὕδατι θάνατον,
ὀργῇ καὶ λευγαλέον καλεῖ. τούτοις ἐλίττων τοὺς λογισμοὺς, ὁρῶ
τοὺς στρατιώτας ἅπαντας, ἐσπασμένους μαχαίρας. καὶ πυθόμε-
νος, ἐμάνθανον παρ' αὐτῶν, ὡς καλὸν ἐπὶ τοῦ καταστρώματος ὄν-
τας ἔτι, πρὸς τὸν ἀέρα τὴν ψυχὴν ἐρυγεῖν, ἀλλὰ μὴ πρὸς κῦ-
μα χανόντας. τούτοις αὐτοφυῶς ὁ μηλείδας ἐνέμισαι καὶ ἐ-
θέμην τῷ δόγματι. εἶτα κηρύττει τις ἐξαρτᾶσθαι χρυσίον οἷς
ἔστι. καὶ οἷς ἦν ἐξήρτητο. καὶ χρυσίον, καὶ ὅτι ἄξιον χρυ-
σίου. καὶ αἱ γυναῖκες αὐταί τε ἐσκευάζοντο, καὶ τοῖς δεο-
μένοις ἀρτεδόνας διένεμον. πάλαι καταδεδεμένον τοῦ-
το ἱερόν. τοιῶ δὲ ἔχει τοιοῦτον. φέρειν δὲ τιμὴν ἐν ταφίῳ τὸν

ἐπὶ ταῦτά που μερίζεται· ὁ γὰρ προστυχὼν καὶ κερδάνας, νόμους ἀδραστείας αἰδέσεται, μὴ οὐχὶ μικρόν τι μέρος ἀποδίδοσθαι τῷ χειρουμένῳ τὸ πολλαπλάσιον. καὶ οἱ μὲν, ἦσαν πρὸς τούτοις· ἐγὼ δὲ παρακαθήμενος τὸ παλαμναῖον βαλάντιον τὴν παρακαταθήκην τοῦ ξένου, ἔκλαιον ὡς οὐδὲν ὁ ξένιος, οὐκ ἂν τεθνηξοίμην. ἀλλ' ἐπεὶ ὁ θρᾷξ ἀποστερήσοιτο, τῶν χρημάτων ἕνεκεν. ὃν καὶ ἀποθανὼν αὖ ᾐσχυνόμην. ἐνταῦθα μέν τι τὸ ἐξαπολωλέναι κέρδος ἦν. καὶ συναπολωλέναι. καὶ συναποδῦναι τὴν αἴσθησιν. ὃ δὲ ἐποίει παρὰ πολὺ τὸν κίνδυνον, οὐχ ἕτερον ἦν. ἀλλ' ὅτι πᾶσιν ἴσοις ἡμᾶς ἐφέρετο. ὑποτέμνεσθαι δὲ οὐκ ἦν. ἀλλὰ πολλάκις ἐπιχειρήσαντας τοῖς καλλωδίοις, ἀπηγορεύκαμεν, τῶν τροχῶν ἐνδακνόντων. καὶ ὑφορμοῦ δέος οὐκ ἔλαττον, εἰ καὶ διασῳζοίμεθα ἐκ τοῦ κλύδωνος, οὕτως ἔχοντας ἐν νυκτὶ πελάζειν τῇ γῇ. φθινούσης δὲ ἡμέρας καὶ ὁρῶμεν τὸν ἥλιον, ὡς οὐκ οἶδ' εἴ ποτε ἥδιον. τό τε πνεῦμα ῥᾷον ἐγίγνετο τῆς ἀλέας ἐπιδιδούσης. ἡ ἀθρόως δ' ἐξισαμένη, παρεῖχεν ἡμῖν ἐπιχειρῆσαι τοῖς καλλωδίοις, καὶ τὸ ἱστίον μεταχειρίζεσθαι. ὑπαλλάττειν μὲν οὖν ἱστίον ἕτερον νόθον οὐκ εἴχομεν. ἦν τε χρείας γάρ. ἀνελαμβάνομεν δὲ αὖ τὸ καθάπερ τῶν χιτώνων τοὺς κόλπους. καὶ πρὶν ὥρας εἶναι τέτταρας, ἀποβαίνομεν οἱ τεθνάναι προσδοκήσαντες, ἐν ἐσχατιᾷ τινι πανερήμῳ. καὶ οὔτε πόλιν οὔτε ἀγρὸν ἐχούσῃ γείτονα, σταδίους ἑκατόν που πρὸς τοῖς τριάκοντα κατόπιν ἀγροῦ. ἡ μὲν οὖν ναῦς, ἐσάλευεν ἐπὶ μετεώρων. λιμὴν γὰρ ὁ τόπος οὐκ ἦν. καὶ ἐσάλευεν ἐπ' ἀγκύρας μιᾶς. ἡ ἑτέρα δὲ ἀπημπόλητο. τρίτην γὰρ ἄγκυραν Ἀμάραντος οὐκ ἐκτήσατο. ἡμεῖς δὲ ἐπειδὴ τῆς φιλτάτης ἡψάμεθα γῆς, περιεβάλλομεν, ὥσπερ ἔμψυχον οὖσαν μητέρα.

καὶ ἀπο

καὶ ἀποθύσαντες ὕμνους τε θεῷ χαριστηρίους ὥσπερ εἰώθειμεν, προσθέντες μὲν αὐτοῖς καὶ τὴν ἔναγχος τύχην, ὑφ᾽ ἧς παραδόξως ἐσώθημεν. δύο ἐξῆς ἐπιμείναντες ἡμέρας, ἕως ἂν ἀφυβρίσῃ τὸ πέλαγος. ἐπεὶ δὲ ἄπορον ἦν ὅσῳ χειμάσασθαι, μηδενὸς ἀνθρώπων ὁρωμένου, πάλιν ἐπετολμήσαμεν τῇ θαλάσσῃ. καὶ ἄραντες εὐθὺς ἀρχομένης ἡμέρας, ἐπλέομεν ἐκ πρύμνης ἀνέμῳ πᾶσαν αὐτήν τε καὶ τὴν ἐπιγενομένην ἡμέραν. ἧς ἤδη ληγούσης, τὸ πνεῦμα ἀπέλιπεν ἡμᾶς ὁ μὲν ἐξηνύσθημεν. ἐμέλλομεν δ᾽ ἄρα πείσεσθαι γαλήνην. ἦν μὲν οὖν τρισκαιδεκάτη φθίνοντος. ἐπῃωρημένη δὲ τοσούτου κινδύνου, μελλούσης εἰς ταὐτὸ συνδραμεῖσθαι τῆς τε συνόδου τῶν ἄστρων καὶ τῶν πολυθρυλήτων τυχαίων, ἃ μηδεὶς φασὶ πλέων ἐθάρσησε, καὶ δεῖν ἡμᾶς ἐλλιμενίζειν, οἱ δὲ ἐλελήθειμεν αὖθις ἀναδεδραμηκότες ἐπὶ τὸ πέλαγος. ἡ δὲ στάσις, ἤρξατο μὲν ἀπὸ τῶν ἀρκτικῶν πνευμάτων. καὶ ὕστερον πολλὰ κατὰ τὴν συνοδικὴν νύκτα ἔπειτα ἐκόσμει τὰ πνεύματα. καὶ ἡ θάλασσα κυκεὼν ἐγεγόνει. τὰ δὲ περὶ ἡμᾶς, οἷα εἰκὸς ἦν ἐν τοῖς τοιούτοις, ἵνα μὴ πάθη παραπλήσια δὶς ἀφηγώμεθα ἐν οἷς ἦν, ὥρμησέ τι τὸ μέγεθος τοῦ χειμῶνος. τὸ κέρας ἐπετρίγει. καὶ ἡμεῖς ᾠόμεθα προτονίζειν τὴν ναῦν. ἔστι κατεαγὸς μέσον, ἐγγὺς μὲν ἦλθεν ἀπολέσαι πάντας ἡμᾶς. ἐπειδὴ οὖν κατεκλώλεκεν, αὐτὸ δὴ τοῦτο περιέσωσεν. οὐ γὰρ ἦν ἄλλως ἐνέγκαι τὴν βίαν τοῦ πνεύματος. πάλιν δὲ δυσπειθὲς ἦν τὸ ἱστίον. καὶ οὐκ εὐτρόχως εἰς καθαίρεσιν. οὕτως οὖν παραδόξως ἀποφορτισάμενοι τὴν ἀπληστίαν τῆς βιαίας φορᾶς, ἡμέραν ἐξῆς καὶ νύκτα ἠνέχθημεν. ἧς ἤδη περὶ δευτέρας οὔσης ὀρνίθων ᾠδῆς, ἐλάθομεν ἐγχρίψαντες ἀκαρῆ, πέτρᾳ προβεβλημένῃ τῆς γῆς, ὅσον εἶναι βραχεῖαν χερρόνησον. βοῆς δὲ γινομέ-

α v

μένης, ἐπειδὴ τὶς περιεγήθησεν αὐτῇ γῆ πελαγία, θροῦς ἤρθη τοῦ πλοός· καὶ ἥκιστα ξύμφωνος· τῶν μὲν ναυτῶν πεφροντικότων, ἡμῶν δὲ ἐξ ἀπειρίας τὼ χεῖρε ἐπικροτούντων καὶ περιβαλλόντων ἀλλήλους, οὐκ ἐχόντων ὅπως χρησόμεθα τῷ πλήθει τῆς χαρᾶς. ἐλέγετο δὲ ὁ μέγιστος αὐτὸς εἶναι τῶν περιστάντων ἡμᾶς κινδύνων. ἤδη δὲ ὑποφαινομένης ἡμέρας, καταπτοεῖ τις ἄνθρωπος χωρικῶς ἐσταλμένος, καὶ δείκνυσι τῇ χειρὶ τόπους ὑπόπλους, καὶ ἑτέρους οὓς ἔδει θαρρῆσαι· καὶ τέλος μόνος ἦλθεν ἐπὶ κελητίου δισκάλμου. ὁ προσζεύξας τοῦ πλοίου, μεταχειρίζεται τὸ πηδάλιον. ὁ δὲ Σύρος, ἄσμενος ἐξέστη τῆς προεδρίας, ἀναλύσας δὲ σταδίους οὐ πλείους, ἢ πεντήκοντα, τὴν, πεῖραν ἐνορμίζει λιμενίσκῳ χερσαντι Ἀζάριον οἶμαι καλοῦσιν αὐτό, καὶ ἡμᾶς ἐπὶ τῆς ἠϊόνος ἀπεβίβασε, σωτὴρ καὶ δαίμων ἀγαθὸς ἐπικαλούμενος. καὶ μετὰ μικρὸν ἑτέραν ὁλκάδα εἰσήλασε· καὶ μάλα ἄλλην. πρὶν ἑσπέραν εἶναι, πεντεγεγόναμεν ὑπὸ τοῦ θεσπεσίου πρεσβύτου περισωθεῖσαι φορτίδες, πρᾶγμα ἐναντιώτατον τῶν ναυαγίων ποιοῦντος τῷ δ' οὐχ ὁμοίως ἐκεῖνος τοὺς ἀπὸ τοῦ χειμῶνος ἐδέξατο. ὧν δὲ τὴν ὑστεραίαν, ἄλλοι κατῆραν. ὧν ἔνιοι τῶν προλαβόντων ἡμᾶς ἦσαν ἀπὸ Ἀλεξανδρείας ἡμέραν. καὶ νῦν ὁλόκληρος ἐσμὲν στόλος, ἐν νεωρίῳ μικρῷ. ἐπεὶ δὲ ἡμῖν ἤδη καὶ τὰ ἐφόδια κατεδήδοτο, οὐ γὰρ ὄντες ἐθάδες ἀτυχεῖν, οὐδ' ἐλπίσαντες ὑπερήμεροι γενέσθαι, μέτρια τι ἐντιθέμεθα καὶ οὐδὲ τούτοις μετρίως ἐχρώμεθα. ὁ δὲ πρεσβύτης, καὶ τοῦτο ἠκέσατο. δίδωσι μὲν οὐδέν. οὐδὲ γὰρ οὐδ' ὅμοιος ἦν ἔχοντι. δείξας δὲ πέτρας, ἐν αἷς ἀριστομέφη καὶ δεῖπνον ἑκάστης ἡμέρας κεκρύφθαι τοῖς

βυλο

βουλομένοις ποιεῖν. ἐν Ἰσθμῷ ἰχθυώμενοι, ζῶμεν ἡμέραν ἑβδόμην
ἤδη. οἱ μὲν ἐν τελείοις, μυραίνας τε καὶ καράβους εὐμεγέθεις αἱροῦν-
τες. τὰ δὲ μειράκια, κωβιοὺς εὐτυχεῖς καὶ ἰούλους. ἐγὼ δὲ καὶ ὁ
θρησιδύτης ὁ ῥωμαῖος, ἐπὶ ταῖς λεπάσι ῥαινύμεθα. ἡ δὲ λεπὰς,
ὄστρεον οὐδὲν κοῖλον. ὅπερ ἐπειδὰν λάβηται πέτρας, ἀπαχυλίζεται.
τὰ μὲν οὖν πρῶτα, ἐλίχως ἐζῶμεν ἀπὸ τῆς θήρας, περιεχόμενος
ἕκαστος ὅσου καὶ λάβοιτο. ἐδίδου δὲ δῶρα οὐδεὶς οὐδενί. νυνὶ δὲ
ἐν ἀφθονωτέροις ἅπαντες ἀπὸ τοιᾶσδε αἰτίας. αἱ γυναῖκες
τοῖς γυναιξὶν, αἱ λίβυσσαι ταῖς πλεούσαις, βούλοιντο μὲν
ἂν καὶ τὸ ὀρνίθων γάλα παρασχεῖν. παρέχουσι δὲ οὖν ὅσα ἂν
τοῖς ἀήρ τε φέρει καὶ γῆ. τυρούς. ἄλευρα. πέμματα ἐκ κει-
θῶν. κρέα ἀρνεῖα. ἀλεκτορίδας. ὦα ἀλεκτορίδων. ἤδη δέ τις καὶ ὠτί-
δα δέδωκεν, ὄρνιθα ἐκ τόπου ἡδύ. ἰδὼν ἂν, ἀγροῖκος ἐπείπερ ταῶν.
αὐτοῖς δὴ καταχομίζουσιν ἐπὶ ναῦν τὰ δῶρα. αἱ δὲ, δὲ χόμματα κοινοῦνται
τοῖς βουλομένοις οἱ δὲ, ἡμῖν ἤδη τὰ ἀπὸ τῆς θήρας δωροῦνται. καὶ ἄλλος τις ἄλ-
λος ἐπ' ἄλλῳ ταῖς ἐπαγγελίαις. ἀνὴρ τῶν ἐπιεικῶν, φέρων ἀεὶ τί μοι ξένιον
ὁ μὲν, ἢ γκιστρωμένον ἰχθύδιον. ἄλλος ἄλλο τι. πάντως δὲ ἔτι πα-
ρὰ θεῶν ὧν φέρουσι πέτραι. ἐμοὶ τοιγαροῦν ἐστι βουλομένῳ τὰ παρὰ
τῶν γυναικῶν δέχεσθαι, σὺν χάριν καὶ τοῦτο, ἵνα μή τις ἔλεγχει-
εἴη μοι πρὸς αὐτὰς γένοιτο. καίτοι ἐπειδὰν ἀξιώμενος δέῃ, δια-
προίξω ἀρνούμενος. ἐπεὶ τί ἐκώλυε. τό γε νῦν ἐπιτηδείοις τρυ-
φᾶν. οὕτω πολλὰ πολλαχόθεν συρρεῖ. σὺ μὲν οὖν ἀρετῇ λογιῇ τὴν φι-
λοφροσύνην τῶν ἐγχωρίων, ἣν εἰς τὰς ἐπιξενουμένας ἐν Δείπνῳ.
τὸ δὲ, ὑπερβολή ἐστιν, οἷον ἄξιον εἶναι καὶ διηγήσασθαι, καὶ ταῦτα ὑπὸ τῆς
νῦν ἡμῖν παρούσης χολῆς. μήνιμα ἀφροδίτης ὡς εἴκασαι κα-

τέχει τὴν χώραν. δυστυχοῦσι γὰρ ὅπερ αἱ λήμνιαι. αὗται γὰρ ὑ-
περμαζῶσι καὶ ἀσυμμέτρως ἔχουσι τῶν στέρνων, ὥστε τὰ βρέφη
μὴ διὰ μάλης. ἀλλὰ δι᾽ ὤμων σιτεῖν τῆς θηλῆς ἀναβεβλημένης.
εἰ μή τις εἴποι τὸν ἄμμωνα, καὶ τὴν ἄμμωνος γῆν, οὐ μᾶλλον εἶναι
μηλοτρόφον ἢ κουροτρόφον ἀγαθήν. ἀνεῖναι δὲ τὴν φύ-
σιν ἀνθρώποις ὁμοίως καὶ κτήνεσι, δαψιλεστέρας καὶ ἁδροτέ-
ρας τὰς τοῦ γάλακτος πίδακας, καὶ εἰς τοῦτο δεῖν ἁδροτέ-
ρων οὐθάτων τε καὶ θυλάκων. μανθάνουσαι δὴ παρὰ τῶν ἀν-
δρῶν οἷόν τι σύμβολον γίνεται πρὸς ἀνθρώπων ὑπερόριον, ὅτι μὴ
πᾶν τὸ θῆλυ τοιοῦτόν ἐστιν, ἀπιστοῦσι. καὶ ἐπειδὰν λάβωνται γυ-
ναικὸς ξένης, φιλοφρονοῦνται καὶ πάντα δρῶσιν, ἔστ᾽ ἂν τὰς
ἀγκάλας διερευνήσωνται. ἡ δὲ ἰδοῦσα, λέγει πρὸς ἄλλην. καὶ κα-
λοῦσιν ἀλλήλας ὥσπερ οἱ κίκονες. αἱ δὲ, συμφοιτῶσιν ἐπὶ τὴν θέ-
αν. καὶ ἐπὶ τούτῳ δωροφοροῦσιν. ἡμῖν δὲ ἦν τι καὶ τῶν ἐκ τοῦ-
του θεραπαινίδιον. ὃ συνελθοῦσαι, τέχνη καὶ φύσις, ὑπὲρ τοὺς
μυρμηκίας, ἔντομον ἔδειξαν. ἀμφὶ τοῦτο ἦν ἅπασα σπουδή.
καὶ τοῦτο παρὰ τῶν γυναικῶν πλεῖστα ἐνεπορεύετο. καὶ μετεπέμ-
πον γὰρ αὐτὸ πρότριτα ἄλλη παρ᾽ ἄλλης, γυναῖκες τῶν ἀγορα-
γόνων, εὐδαιμόνων. τὸ δὲ, οὕτω τοι σφόδρα ἰταμὸν ἦν, ὥστε καὶ
ἀποδύσασθαι. τοῦτό σοι δρᾶμα ἐκ τραγικοῦ κωμικόν. ὅ, τε δαί-
μων ἡμῖν ἀνήρμοσε, κἀγὼ τοῖς πρὸς σὲ γράμμασι. καὶ οἶδα μὲν
ἐκτείνας τὴν ἐπιστολὴν τοῦ μετρίου μεῖζον. ἀλλ᾽ ὥσπερ τοῦ συνεῖ-
ναί σοι κατὰ πρόσωπον, οὕτω καὶ τοῦ γράφειν ἀπλήστως ἔχω.
ἅμα δὲ οὐδὲ ἐλπίσας ἔτι σοι διαλέξεσθαι, νῦν ἐπειδὴ ἔξον, ἐμ-
φοροῦμαι. ἀλλὰ κἂν τοῖς ἐφημερίσι περὶ ἃς ἐσπούδακα, τὴν
ἐπιστολὴν ἐναρμόσαιμι, ὡς συχνῶν ἡμερῶν, ἔχοι μ᾽ ἂν ὑπομνή-

ματα

ματα. ἔῤῥωσο. καὶ τὸν μὲν υἱὸν Διόσκορον κέλευε μετὰ τῆς μητρὸς καὶ τῆς τίτθης, ἀσπάζομαι, φιλῶ, καὶ ἐναγκαλίζομαι. ἀσπάζομαι τὴν σεβασμιωτάτην καὶ θεοφιλεστάτην φιλόσοφον. ἀσπάζομαι τὸν μὲν εὐδαίμονα γέροντα τὸν ἀπολαύοντα τῆς θεοσεβείας αὐτῆς. ἐκ πάντων δὲ μάλιστα τὸν ἱερώτατον πατέρα Θεότεκνον. ἀσπάζομαι τὸν ἑταῖρον ἡμῶν Ἀθανάσιον· τὸν δὲ ὁμόψυχόν τε ἡμῖν Γάϊον, ὃν οἶδας ὅτι φρονοῦντα ὅσα ἐγώ, μετὰ τῶν συγγενῶν πάντων. μετ' ἐκείνων σοι προσειρήσθω καὶ ὁ θαυμάσιος γραμματικὸς Θεοδόσιος. ὃς εἰ καὶ μάντις ὢν ἐκρύπτετο ἡμᾶς, προγνοὺς γὰρ ἐν οἷς ἐσόμεθα, κατέβαλε τὴν προθυμίαν τῆς σὺν ἡμῖν ἀποδημίας, ἀλλ' οὖν ἔγωγε αὐτὸν καὶ φιλῶ καὶ ἀσπάζομαι. σὺ δὲ μηδέποτε πλεύσειας· εἰ δέ ποτε πάντως δέοι, ἀλλὰ μήτοι φθίνοντός γε μηνός.

## Τοῖς πρεσβυτέροις.

ά. Ἀγαθὸν πεποιθέναι ἐπὶ κύριον ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. ἀλλὰ τοὺς ἐκ τῆς ἀθεωτάτης αἱρέσεως Εὐνομίου, πυνθάνομαι Κυντιανοῦ ὄνομα καὶ τὴν ἐπὶ στρατοπέδων θρυλλουμένην ὑπὸ τῶν δυναστειῶν προστησομένους, μοιχᾶσθαι πάλιν τὴν ἐκκλησίαν, καὶ ψευδοδιδασκάλους τινὰς ἐφιστάμενοι, παγίδα ταῖς τῶν ἀκεραιοτέρων ψυχαῖς, οὓς ἔναγχος οἱ παρὰ Κυντιανοῦ σταλέντες, ἐπὶ τοῦτο καταπεπλεύκασιν ἄγοντες. ἢ τάχα δῆλον, πρόσχημα τῆς ἀσεβείας. μᾶλλον ἢ ἀγὼν ὑπὲρ εὐσεβείας, οὗτοι τοίνυν οἱ ὅσιοι πρεσβύτεροι, οἱ νεήλυδες ἀπόστολοι τοῦ διαβόλου τε καὶ Κυντιανοῦ, μὴ λάθωσιν ὑμᾶς ἐμπηδήσαντες. ὦ ποιμαίνετε ποίμνιον. μὴ λάθωσιν ὑμᾶς τῷ σίτῳ τὸ ζιζάνιον παρασπείροντες. κατάδηλοι πᾶσιν· εἰσὶν οἱ τοιοῦτοι κατάφοροι. ἴστε τίνων ἀγροὶ δέξαιντ' ἂν αὐτούς

ἐστὶ τινῶν οἰκείαι τοῖς λῃσταῖς αὐτόχρασι· μετέλθετε τοὺς φῶρας ἐγ-
καλοῦντες. ζηλωταὶ γένεσθε τῆς εὐλογίας τῆς μωσαϊκῆς, ἣν εὐλό-
γησε τοὺς ἄνδρας. οἱ κατὰ τῶν ἠσεβηκότων ἐν τῇ παρεμβολῇ καὶ
συνώμιλον καὶ χεῖρας ἐκίνησαν. ἐκεῖνο δὲ εἰπεῖν ἄξιον πρὸς ὑμᾶς ἀ-
δελφοί. τὰ καλὰ, καλῶς γινέσθω. ἡ ὑπὲρ κέρδους ἔρις, ἀνῃρή-
σθω. ἅπαντα διὰ τὸν θεὸν ἐγχειρείσθω. οὐ γὰρ τὴν αὐτὴν ἀρε-
τῆς εἶναι καὶ πονηρίας ὑπόθεσιν. ὑπὲρ εὐσεβείας ὁ δρόμος. ὑπὲρ
ψυχῶν ἀγωνιστέον, μή τινας ἀπὸ τῆς ἐκκλησίας συλήσωσιν, ὅπερ ἔ-
θος, ἤδη πεποίηνται. ὃς δ' ἂν τὴν ἐκκλησίαν προσποιούμενος, αὔξει
βαλάντιον, καὶ διὰ τοῦ δοκεῖν εἶναι χρήσιμος ἐν καιροῖς ἀπαι-
τοῦσι δριμύτητα, δυναστείαν ἑαυτῷ κατεργάζεται, οὗτος ἐστὶν,
ὃν ὑμεῖς συνόδου χριστιανῶν ἐκκηρυττόμενον. οὐκ ἐποίησεν ὁ θεὸς ἀτε-
λῆ τὴν ἀρετήν. τὸ δ' εἶναι πονηρίας συμμάχους οὐκ ἐπιλείψοι στρα-
τιώταις τοῦ θεοῦ, περιέποντες ἐκκλησίας. εὑρήσει συμμάχους ἐν
τούτῳ μὲν ἀμίσθους. ἐν οὐρανῷ δὲ ἐντελομίσθους. ὑμεῖς τοίνυν ἴδοιτε
καλὸν γὰρ καὶ κατορθοῦσι συνεύξασθε. καὶ παραβαίνουσιν ἐπα-
ράσασθε. ὅστις ἂν οὖν μαλακίσηται καὶ προδῶ, καὶ ὅστις ἂν ἐπε-
ξέλθῃ μὲν, ἁρπάσῃ δέ τι τῶν ἀλλοτρίων, μὴ ἀναίτιος γένοιτο τῷ
θεῷ. ἓν τοῦτο μόνον εἰς μέσον ἑλκύσατε καὶ τοὺς τραπεζίτας τοὺς
πονηροὺς τοὺς καθάπερ νόμισμα τὸ δόγμα τὸ θεῖον παραχαράτ-
τοντας, περιενέγκατε πᾶσι ποιήσατε καταφανεῖς οἵτινές εἰσι.
καθοῦντας, ἄτιμοι τῶν πτολεμαΐδος ὅρων ἀπεληλάσθωσαν, ὅ, τι
σὺν αὐτοῖς ἢ γὰρ χρῆμα τῶν ἀμφαγώγητον ἀποφέρονται. ὁ δὲ πα-
ρὰ ταῦτα ποιῶν, ἐπάρατος τῷ θεῷ, ὅστις ἀσεβῆ σύνοδον ἰδὼν πε-
ριεῖδε μὲν ἀκινδύνως, παρήκουσεν. ἢ κέρδει παρ' αὐτῶν ἐμολύνθη.
τούτους ἡμεῖς ἀμαληκίτας εἶναι διατιθέμεθα. πατρῷον οὐκ

ἔξεστι

ἕξεις κομίσασθαι λάφυρον. περὶ δὲ τοῦ λαβόντος φησὶν ὁ θεὸς μεταμεμέλημαι, ὅτι ἐβασίλευσα τὸν Σαούλ. ἀλλ᾽ ὑμῶν ἐπὶ μηδενὶ μεταμέλοιτο· ἀλλὰ μέλοι μὲν ὑμῶν τῷ θεῷ. μέλοι δὲ ὑμῖν τοῦ θεοῦ.

Ἀνυσίῳ.

ὁ Δὲ Καρίας, ἐπιμελὴς καὶ οὐθὲν ὢν οὐθὲν πανάγνικος, γίνεται δίκαιος. χρὴ γὰρ ἥκειν αὐτὸν ἵνα εἰδῶμεν ὅ,τι καὶ λέγει. καὶ οἷστισιν ὀφθαλμοῖς ὑμᾶς ἀντιβλέψεται, παρ᾽ ὧν ἠξίωσε καὶ ἀκόντων, ὃν κέκλοφεν ἵππον ὠνήσασθαι, ἵνα μὴ στρατιώτης φασὶν, ἄνιππος ᾖ. προτείνει δὲ κομιδῇ σμικρὸν ἀργύριον. καὶ μὴ ἀποδιδομένοις, οὐκ ἀποδίδωσιν. ἀλλ᾽ οἴεται σὺν δίκῃ τὸν ἵππον ἔχειν, καὶ ταῦτα οὐκ ὢν Ἀγαθοκλῆς, ἢ Διονύσιος, οἷς αἱ τυραννίδες ἐπέτρεπον οὕτω πάνυ πονηροῖς εἶναι. ἀλλὰ Καρίας ὁ καπηφαροδίτης. ὃν οὐ χαλεπὸν ἐπαναγαγεῖν εἰς τοὺς νόμους. ἂν οὖν διάγῃ τις αὐτὸν ὡς σὲ, μὴ δὲ ἡμεῖς ἀγνοήσωμεν, ἵνα τοὺς κατὰ πρόσωπον αὐτὸν ἐλέγξοντας, ἀπὸ Κυρήνης καλέσωμεν.

Θεοδώρῳ καὶ τῇ ἀδελφῇ.

π Ὡς δοκεῖτε. δέδηγμαι τὴν καρδίαν, ἐκ δεδομένου λόγου κατὰ τὴν πόλιν, ὅτι δέδυκέ τινι καὶ πέρα δεινῆς ὀφθαλμία παλαιὰ, ἀπειλοῦσα τοῖς ὄψεσι κίνδυνον. ἔπειτα πέφηνεν ὁ λόγος ψευδής. καὶ οἶμαι παμπόνηρος ἄνθρωπος προφάσεως εἰλημμένος, τοῦ περὶ ὀφθαλμίας ὀνόματος, ἦρεν ἐπὶ μέγα τὴν φήμην, καὶ ἐξηγόρευσε. τρέποιτο μὲν οὖν εἰς ἐκεῖνον αὐτὸν, ἅπερ ἡμῶν κατεψεύσατο. τῷ δὲ θεῷ χάρις, ὅτι παρέσχεν ἡμῖν ἀκοῦσαι καλλίονα. χρὴ δὲ μὴ τὸ λεγόμενον, ἄστροις τὰ καθ᾽ ὑμᾶς σημαίνεσθαι. μηδὲ ὅ,τι λέγει φήμη πυνθάνεσθαι. ἀγαπᾷ μάλιστα μὲν ἔχειν συνόντας. εἰ δὲ μὴ, γράμμασιν ὑμετέροις ἐντυγχάνειν. καὶ τὰ περὶ ὑμῶν, τὰ περὶ ὑμῶν εἰδέναι. ἀλλ᾽ ὑμεῖς ἡμῶν λίαν ἀμελεῖτε. ὥσπερ ἴσως ὁ θεὸς βούλεται.

ὀ Ὑμῖν, ἐρῶ, ὡς ἔλαθεν ὑμᾶς ὁ διακομιστὴς τῶν παρ' ἡμῶν γραμμάτων. ἀλλ' ἰδόντος παρεωράκατε, καὶ οὐκ ἔδοξεν ὑμῖν ἄξιος εἶναι τὸν ἀδελφὸν ἐν μνήμῃ ποιήσασθαι, καὶ ἐπιθεῖναι πρὸς αὐτὸν γράμμα, μηνῦον ὅπως ἔχετε καὶ ἐν τίσιν ἐστέ. ἐμοὶ γὰρ οὐκ ἀμελὲς οὐδὲν εἰδέναι τὰ περὶ ὑμῶν. ἀλλ' ἐπειδήπερ ἐν ἅπασι λυποῦμαι τοῖς ἐμαυτοῦ, βουλοίμην ἄν, ἐν τοῖς ὑμετέροις εὐφραίνεσθαι. ὑμεῖς δὲ καὶ ταύτης με τῆς παραμυθίας ἀφῄρησθε. χρῆν δὲ οὐχί. καὶ γὰρ εἰ μὴ γεγόνειμεν ἀπὸ τῶν αὐτῶν, τροφαὶ κοιναί. καὶ παιδεῖαι κοιναί. καὶ τί γὰρ οὐχὶ κοινόν. πάντα διὰ πάντων ἡμᾶς ἀλλήλοις ᾠκείωσεν. ἀλλὰ γὰρ ῥᾷστον, ὥσπερ λέγεται δυσημερίας παρὰ γράμμα διαφυγόν. καὶ ὅταν ἥκῃ τινὶ χρόνος αὐτίζους, ἐνταῦθα τοί, τε ἄλλα πάντα καὶ ἀδελφῶν ὀνόματα καὶ φίλων ἐλέγχονται. ἐμοὶ δὲ ἀρχὴ ἤσει καὶ παρ' ἑτέρων πυνθάνεσθαι τὰ περὶ ὑμῶν. μόνον ὁ θεὸς ἀγαθῶν εἴη νομεύς. τοιοῦτον γὰρ ἐρῶμεν, ὑπὲρ ὑμῶν ἀκροώμενος.

Θεοφίλῳ.

β Αθύσε γῆρας καὶ λιπαρὸν περιμένοις ἅπαντα τε καὶ σοφώτατε. τοῦ γὰρ ἄλλα τῷ βίῳ κέρδος ἂν εἴης σωζόμενος, καὶ μεγίστη προσθήκη τῷ διδασκαλείῳ τοῦ χριστοῦ γίνεται, ὁ τῶν πνευματικῶν βιβλίων ἀριθμός, τοῖς ἐνιαυτοῖς συναυξανόμενος. ὡς ὅ γε τῆς πεκατα πεμφθεὶς λόγος, καὶ ἧσε πᾶς πλῆθος ἢ ὤνησε. τὸ μὲν, μεγέθει τῶν νοημάτων. τὸ δὲ, τῶν ὀνομάτων τῇ χάριτι.

Τῇ φιλοσόφῳ.

ᾱ Ὑπὲρ σὲ καὶ διὰ σοῦ τοὺς μακαριωτάτους ἑταίρους ἀσπάζομαι δέσποινα μακαρία. πάλαι μὲν ἂν ἐγκαλέσαις ἐφ' οἷς ἐκ ἀξιοῦμεν γραμμάτων. νῦν δὲ οἶδα περιεωραμένος ὑφ' ἁπάντων ὑμῶν. ἐφ' οἷς ἀδικοῦμεν οὐδέν, ἀτυχῶ δὲ πολλά, καὶ ὅσα αὐτὸς ἀτυχῆσαι δυνατόν.

ἀλλ' εἰ

ἀλλ᾽ ἐπεὶ ὑπὲρ εἶχον ἐντυγχάνειν ὑμετέραις ἐπιστολαῖς, καὶ μανθάνειν ἐν οἷς διατρίβετε, πάντως δὲ ἐν ἀμείνοσιν ἐστὲ, ἢ καλλίονι περάθε τοῦ δαίμονος, ἐξ ἡμισείας ἂν ἔπραττον κινέρως, ἐν ὑμῖν εὐτυχῶν. νῦν δὲ ἐστι ἢ τοῦτο τῶν χαλεπῶν ἦσσον, ἅμα κατείληφεν. ἀπεστέρημαι μετὰ τῶν παιδίων, καὶ τῶν φίλων, καὶ τῆς παρὰ πάντων εὐνοίας. καὶ τὸ μέγιστον, τῆς θεοτάτης συνψυχῆς, ἣν ἐγὼ μόνην ἐμαυτῷ ἐμμενεῖν ἤλπισα, κρείττω καὶ δαιμονίας ἐπηρείας. καὶ τῶν ἐξ εἱμαρμένης ῥευμάτων.

## Τοῖς πρεσβυτέροις.

Ὑπὲρ πρότερον ὑμῶν ἐγὼ πεσεῖν, ἁπάσῃ ῥώμῃ καὶ μηχαναῖς ἐκκλίνας ἱερωσύνην, οὔτε νῦν ὑμεῖς ἐμοῦ κεκρατήκατε. ἀλλὰ θεῖον ἄρα ἦν. ἢ τότε, μήπω ὅτε, ἢ τὸ νῦν ἤδη. ἐγὼ δὲ πολλοὺς ἂν θανάτους, ἀντὶ τῆσδε τῆς λειτουργίας εἱλόμην. οὐ γὰρ κατ᾽ ἐμαυτὸν εἶναι τὸν κόσμον ἐλογιζόμην τοῦ πράγματος. τοῦ θεοῦ δὲ ἐπενεγκόντος, οὐχ ὅπερ ᾔτουν, ἀλλ᾽ ὅπερ ἐβούλετο, εὔχομαι τὸν γενόμενον τομέα τοῦ βίου, γενέσθαι καὶ τοῦ νεμηθέντος προστάτην. ὁ γὰρ ἐνευκαιρήσας τῇ κατὰ φιλοσοφίαν σχολῇ καὶ θεωρίᾳ τῶν ὄντων ἀπράγμονι, καὶ τοσοῦτον ὁμιλήσας φροντίσιν, ὅσον, ἀφοσιώσασθαι τῷ μετὰ σώματος βίῳ, καὶ δοκεῖν πολίτης γεγενῆσθαι πόλεως, πῶς ἂν ἀρκέσω μερίμναις ἐχούσαις συνέχειαν. ἢ πῶς, ἐμαυτὸν ἐπιδιδοὺς ὄχλῳ πραγμάτων, ἔτι προσβαλῶ τοῖς νοῦ κάλλεσιν, ἃ μόνης ἐστὶ καρποῦσθαι τῆς μακαρίας σχολῆς. ἧς χωρίς, ἐμοὶ καὶ τοῖς ὁμοίοις ἐμοὶ, ἅπας ὁ βίος ἀβίωτος. ἐγὼ μὲν οὐκ ἂν εἰδείην. τῷ θεῷ δέ φασι πάντα δυνατὰ καὶ τὰ ἀδύνατα. αὐτοί τε οὖν ὑπὲρ ἐμοῦ χεῖρας ἱκέτιδας ἄρατε πρὸς θεόν. καὶ τόν, τε ἐν ἄστει δῆμον, ἢ ὅσοι κατ᾽ ἀγροὺς ἢ κωμητικὰς ἐκκλησίας αὐλίζονται, τὰς ὑπὲρ ὑμῶν εὐχὰς

καὶ κοινῇ καὶ καθ᾽ ἑτέρα πᾶσι παρεγγυήσατε. εἰ γὰρ μὴ ἔρημος ἀπολειφθείην θεοῦ, τό τε σύσσημον τὴν ἱερωσύνην, οὐκ ἀπόβασιν οὖσαν φιλοσοφίας ἀλλ᾽ ἐπανάβασιν.

Κυρίλλῳ.

Θεῖ παρὰ τὴν μητέρα τὴν ἐκκλησίαν ἀδελφὲ Κύριλλε, ὡς οὐκ ἀπεκόπης. ἀλλ᾽ εἰς καιρὸν ἐχωρίσθης. ὃ καὶ τοῖς τῶν ἁμαρτημάτων ἀξίοις ἀφώρισται. δίκαιον δὲ εἰδέναι σαφῶς, ὅτι τοῦτ᾽ ἂν πάλαι καὶ ὁ κοινὸς ἡμῶν πατὴρ ὁ τῆς ὁσίας μνήμης ἐποίησεν, εἰ μὴ τὸ χρεὼν ἔφθασε. τὸ γὰρ ἐν μέτρῳ τάξαι τὴν τιμωρίαν, γνώμης ἦν εὐθὺς ὑπισχνουμένης συγγνώμην. αὐτὸν οὖν ἐκεῖνον τὸν ὅσιον ἱερέα, νόμιζέ σοι δεδωκέναι τὴν κάθοδον. καὶ πρόσελθε τῷ θεῷ καθαρευούσῃ πάθους τῇ ψυχῇ. καὶ ἀμνηστίαν ἐχούσῃ κακῶν. ἀλλὰ καὶ διὰ πάσης εὐφήμου μνήμης ἄγε τὸν ἱερὸν ἐκεῖνον καὶ θεοφιλῆ πρεσβύτην. τὸν ἀποδείξαντά σε πρόεδρον δήμου. πάντως σοι καὶ τοῦτο οὐκ ἀπόθυμιον.

Πέτρῳ πρεσβυτέρῳ.

Θεὸς ἡγείσθω παντὸς ἔργου καὶ λόγου. τὸν ἤδη διακομιστὴν τῶν πανηγυρικῶν γραμμάτων, ἃ καταγγέλλει τὴν κυρίαν τῆς ἑορτῆς ἡμέρας, ἑπτακαιδεκάτην τοῦ Φαρμουθὶ μηνὸς, ὡς τῆς ἐπὶ ταύτην ἀγούσης νυκτὸς, τὸ ἀναστάσιμον ἐχούσης μυστήριον, τοῦτον καὶ προσιόντα καὶ ἐπανιόντα, φιλανθρωπίας ἁπάσης ἀξιώσατε. καὶ ἀμοιβὴν ζώων ἐφεκάτερα πέμψατε. ὅστις ὑπὲρ τοῦ μὴ ἀγνοεῖσθαι ταῖς ἐκκλησίαις ἐκλιπὲς ἔθος ἀρχαῖον καὶ πάτριον, μέσοις ἑαυτὸν τοῖς τῶν πολεμίων ὅπλοις ἐπιδέδωκεν, ὑποστὰς ὁδοιπορῆσαι διὰ ὑπαίθρου τῆς χώρας. ταῦτα καὶ πείθει τὴν πόλιν ὑπὲρ ἡμῶν εὔχεσθαι. δεῖ γὰρ αὐτὴν ἐν τῇ εὐθηνίᾳ εἶναι τὴν τῆς ἐφη-

μιω

μὴν ἀκουλίας αἴσθησιν, δέξασθε. ἥντινα ἐκάλεσεν εἰς ἱερωσύνην, οὐχ ᾧ παῤῥησία τίς ἐστι πρὸς θεὸν, ὅλου δήμου διαβάντι προσεύξασθαι. ἀλλ' ὅστις αὐτὸς ὑπὲρ τοῦ σωθῆναι, δεῖται γενέσθαι δημαίτητος. ἐπεὶ καὶ τῆς ἐνθάδε συνόδου. πλῆθος δὲ συχνῶν ἱερέων· συντυχία τις ἦν, ἣν ὁ νῦν καιρὸς ἤθροισεν, ἐπιθεμένῳ μοι γράψαι πρὸς ὑμᾶς. εἰ δὲ μηδὲν ἔχω εἰπεῖν, οἷον ἀκούειν εἰώθατε, συγγνώμη μὲν ἐμοὶ τοῦτο. ἔγκλημα δὲ ὑμῖν ὅτι τὸν οὐκ εἰδότα τὰ λόγια τοῦ θεοῦ, τῶν εἰδότων ἀνθείλεσθε.

Ἀνυσίῳ.

ὅ Υτως ἀμύνουσι γενναῖοι παῖδες. ἀπέχω τὴν χάριν. Κηνᾶς ἱκέτης μου γέγονεν. οὗ τὴν ἱκεσίαν ὁ θεὸς, καὶ δεσμωτέραν ἐποίησε. τοῦ δὲ ἱερέως, εἰς ἰδίαν ὑπόθεσιν περιελεῖν ἀγρόμον ἄνθρωπον ἐν νηστίμοις ἡμέραις. ὅς τις οὖν ἦγεν αὐτὸν, οὐκ ἀφῆκεν. ἀλλ' ἀφῃρέθη τὸν ἄνθρωπον. ἂν οὖν ὑπὲρ τοῦ βεβιάσθαι σοι δῶ δίκην, περιέσῃ μὲν ὑμεῖς, εἰς τὸ τοῖς μὲν ἠδικηκόσι γενέσθαι φιλάνθρωποι. αὐτοὺς δὲ τοὺς οὐδὲν ἀδικοῦντας, ἠδικηκέναι.

Τῷ φιλοσόφῳ.

ὅ Υτω πάνυ πέπραγα πονήρως, ὥστε ὑδροσκοπίου μοι δεῖ. ἐπίταξον αὐτὸ χαλκευθῆναί τε καὶ συνωνηθῆναι. σωλήν ἐστι κυλινδρικός. αὐλοῦ καὶ σχῆμα καὶ μέγεθος ἔχων. οὗτος ἐπί τινος εὐθείας δέχεται τὰς κατατομὰς αἷς τῶν ὑδάτων τὴν ῥοπὴν ἐξετάζομεν. ἐπιπωματίζει γὰρ αὐτὸν ἐκ θατέρου κῶνος κατὰ θέσιν ἴσην ἐγκείμενος, ὡς εἶναι κοινὴν βάσιν ἀμφοῖν τοῦ κώνου τε καὶ τοῦ σωλῆνος. αὐτὸ δὴ τοῦτό ἐστι τὸ βαρύλλιον. ὅταν οὖν εἰς ὕδωρ καθῇς τὸν αὐλὸν ὀρθὸς ἑστήξει. καὶ παρέξει σοι τὰς κατατομὰς ἀριθμεῖν. αἱ δὲ, τῆς ῥοπῆς εἰσὶ γνωρίσματα.

Λινοπετὴς ὑπηγόρευσα τὴν ἐπιστολὴν, ἣν ὑγιαίνουσα
π κομίσαιο μῆτερ καὶ ἀδελφὴ καὶ διδάσκαλε. καὶ διὰ πάν-
των τούτων εὐεργετικὴ, καὶ ἅπαν ὅ,τι τίμιον καὶ πρᾶγ-
μα καὶ ὄνομα. ἐμοὶ δὲ τὰ τῆς σωματικῆς ἀσθενείας, ἐκ ψυχικῆς αἰτί-
ας ἐξῆπται. κατὰ μικρὸν ἡμᾶς ἐκδαπανᾷ τῶν ἀπελθόντων ἡ μνήμη.
μέχρις ἐκείνου ζῆν ἄξιον συνέσιον, μέχρις ἦν ἄπειρος τῶν τοῦ βίου
κακῶν. εἶτα ὥσπερ ῥεῦμα ἐπισχεθὲν, ἀθρόον ἐρρύη. καὶ μετεβά-
λετο ἡ γλυκύτης τοῦ βίου. παυσαίμην ἢ ζῶν, ἢ μεμνημένος τῶν
υἱέων τοῦ τάφου. σὺ δὲ αὐτή γε ὑγιαίνοις καὶ ἀσπάσαιο τοὺς μακαρί-
ους ἑταίρους, ἀπὸ τοῦ πατρὸς Θεοτέκνου καὶ ἀπὸ τοῦ ἀδελφοῦ Ἀθα-
νασίου ἀρξαμένη, πάντας ἑξῆς. καὶ εἴ τις αὐτοῖς προσγέγονεν, ὥστε εἶ-
ναί σοι καταθύμιος, ἐμὲ δὲ δεῖ χάριν ὀφείλειν αὐτῷ διό-
τι σοι καταθύμιός ἐστι, κἀκεῖνον ὡς φίλον φίλτατον ἀσπάσαι
παρ' ἐμοῦ. τῶν ἐμῶν, εἴ τι σοι μέλει, καλῶς ποιεῖς. καὶ εἰ μὴ μέλει,
οὐδὲ ἐμοὶ τούτου μέλει.

Ἡλιοδώρῳ.

π Ὅλα καλὰ κἀγαθὰ γένοιτο τῷ δεῖνι, δι' οὗ φήμης μνήμης τὴν
σὴν ἄντικρυς σεμνοπρέπειαν. καὶ τὰς ἁπάντων ἀκοὰς ἐμπεπληκότι
τῶν ἐπαίνων τῶν κατὰ σοῦ. ὀφθαλμοῖς τῇ χρυσῇ σου ψυχῇ καὶ γλώττῃ.
πολλὴν [illegible] ἀποδίδως τὴν χάριν τῆς εὐλογίας. αὐτός φημι μὲν ταῖς
ὑπομνήσεσιν ὅσων τῶν σῶν ἐραστῶν. οἷς ἅπασιν ἐγὼ τῶν πρωτείων ἀμφισ-
βητῶ. μάλιστα δὲ καὶ ἀναμφισβητῶ. συγχωρεῖτε δὲ ἅπαντες.

Τῷ ἀδελφῷ.

ο Δεῖνα βελτίστης μέν ἐστι πόλεως. ἐν ᾗ τοὺς παῖδας ἐγγενη-
σάμην. ζητῶν οὖν τινα πάντας ἀλεξανδρέας ὡς πολίτας
ἐφ' ἡμῶν τιμᾶσθαι καὶ ὁρᾶσθαι προσήκει. ὅσῳ δὲ ὑπάρχει συγγενεῖ τε εἶναι
τοῦ μακαρίτου θεοδώρου σφόδρα διὰ μνήμης ἡμῖν αὐτὸς γινόμενος
καὶ μηδὲν ἀμελεῖσθαι ἀξίῳ παρὰ τῷ τῇδε τὰ πρῶτα ἐχόντων ἐν τῷ πο-
λιτεύεσθαι

λιτεύεσθαι. οὗτοί μοι προσήκασιν αὐτὸν, χρυσίον ὡς ὑμᾶς νομίζω στρατιώταις κομίζοντι. καὶ ἐδεήθησαν ἐμοῦ ἐφοδίοις γράμμασι, πρὸς ὑμᾶς πέμψαι, ἡγούμενοι πάντα καλῶς ἕξειν αὐτοῖς, τυχόντι του, παρ' ἐμοῦ σοί τε καὶ τῷ Δεῖνι συστῆναι. ἐγὼ μὲν οὖν ὅπερ ᾔτησαν ἔδωκα. εἰ δὴ μὴ μάταιον, ὑμεῖς δείξετε.

Ἡρώδῃ καὶ Μαρκιανῷ.

ο Ὑμεῖς αἴτιοί μοι δοκεῖτε πεποιῆσθαι τὴν καινοτομίαν τῆς ἐπιστολῆς. ἀλλ' εἰ διῴκισα γράμμασι τοὺς συνημμένους τῇ γνώμῃ, τοῦτο αὖ ἦν τὸ ὑπαίτιον. προσείρησθε δὴ θαυμάσιοι. καὶ τὸν ἐπιδιδόντα τὴν ἐπιστολὴν, ὃς ἐπὶ χρυσίου διακομιδῇ παρ' ὑμᾶς ἐστάλη δημοσίαν ὁδὸν, θάλψατε τὸν εἰόντα τρόπον, ἐπειδή μοι παρὰ παντὸς συνέστη τοῦ βουλευτηρίου. καὶ βουλοίμην μὲν ἀγαθοῦ τινος αἴτιος αὐτῷ γενέσθαι. οὐ μὴν οἶδα ὅτι μᾶλλον ὑμῶν ἑτέροις μέλλειν ἄξιον ἡμῶν τε ὧν αὖ ἡμεῖς ἐπιβαλώμεθα.

Διογένει.

ε Ὡς ἔτι περιὼν ὁ μακαρίτης Θεόδωρος, κοινὸς μὲν ἦν ἁπάντων πενία πολιτῶν πρόξενος· διαφερόντως δὲ τοὺς ἡμετέρους γονέας ἐξήρτητο, τῇ τε εἰς ἅπαντα σπουδῇ καὶ τῇ φιλότητι τῆς εὐνομίας καὶ χάριτι. τῶν οὖν παρ' ἐκείνῳ πολλῶν καὶ ἡδίστων, εἰς Ἀμμώνιον τὸν ἀνεψιὸν τὴν χάριν ἀπομνημονεύσωμεν. ἐγὼ μὲν οὖν τοὐμὸν μέρος, ἀπέτισα. τί δὲ ἦν ἀπόντος ἔργον, ἢ τοῖς παροῦσι τὸν ἄνδρα συστῆσαι. τὸ δὲ μὴ βαρεῖαν αὐτῷ τὴν αὐτόθι γενέσθαι διατριβὴν, ὑμέτερον ἔργον.

Τῷ ἡγεμόνι.

ε Ἡ τοῦ Θεοδώρου μνήμη παρὰ τῇ σεμνοπρεπείᾳ τῇ σῇ, πῶς δὲ οὐ μέλλει, χάρισαι τοῖς εἰς τὸν ἀπελθόντα καθήκουσι, τὴν εἰς τὸν ἀνεψιὸν τὸν ἐκείνου τιμήν. καὶ γὰρ ἄνδρα ἀγαθὸν

δὺ περιϊκῶσ ἔσῃ, καὶ περὶ τῆς μεγάλης ἀλεξανδρείας βουλευτηρίῳ χρηματιζόμενος. ὡς ἀθρόοι γινόμενοι, προσαγηόχασιν ἐμοὶ τὸν ἄνδρα. καὶ ἐδεήθησαν ὀνασθαί τι τῶν ἡμετέρων γραμμάτων. τὸ μὲν οὖν δοῦναι τὰς ἐπιστολάς, ἡμέτερον ἦν. τὸ δὲ εἰς ὄνησιν αὐτῷ γενέσθαι, παρ' ὑμῶν ἐπιζητεῖται.

## Ἀναστασίῳ.

ή Σθην. ἀλλὰ πῶς οἶσθ. πάνυ μὲν οὖν ἀπὸ βαθείας τῆς γνώμης ἤλθην, μαθὼν τὰ χρυσᾶ παιδία τῆς τοῦ βασιλέως φωνῆς ὀνόμασι παιδία γινόμενα. μάλιστα μὲν, ὅτι σε φιλῶ. τίνα δὲ αὖ δικαιότερον, ἢ ὅτι πονηροὺς αὐτοὺς μισῶ. ὧν τὰς ἐν σκότῳ καὶ γωνίαις ἐλπίδας, ἡ χρηστὴ τύχη τῶν παιδίων ὑπετέμετο. Διονύσ.

τ Οἱ οὖν τὸν ὄντιν, ἡ σύρων ξυμφύ. καὶ συγγενῶν καὶ φίλων ἐπαλήσμοιας ἀποδείκνυσι μὲν δὲ οὔτοσι πέμπτος, ἀφοῦ γράμμασιν ἡμᾶς οὐκ ἠσπάσω. καὶ ταῦτα δούσης σοι τῆς φύσεως οὐ μόνον πρὸς χρείαν, ἀλλὰ καὶ πρὸς ἐπίδειξιν καὶ φιλοτιμίαν ὑπαγορεύειν ἐπιστολάς. ἀλλ' αὖ αὐτὸς ὑγιαίνοις, καὶ τὰ χρυσᾶ παιδία καὶ ἡ καλλίπαις μήτηρ αὐτῶν, ἡμῖν καὶ τοῦτο ἄλις ἔχει. Σιμπλικίῳ.

ε Δεῖ μέντοι ταῖς τύχαις τὰς γνώμας μὴ συνεξαίρεσθαι. μὴ δὲ τὸ μεμνῆσθαι τῶν πάλαι φίλων, ἔλαττον ἡγεῖσθαι τῆς παρούσης ἀξίας. σὺ δὲ ἡμῶν ἐπιλήσμων ἐγγύου χρόνου συχνοῦ. χρὴ δὲ οὐχί. καίτοι σφοδρᾶς συναψάσης ἡμᾶς ἀλλήλοις.

## Ἡλιοδώρῳ.

ε Μοὶ μὲν συμπρόεισι τοῖς ἐνιαυτοῖς, καὶ ἡ τοῦ φίλτρου προσθήκη. σὺ δὲ εἰ μὲν ὁμοίως ἔχων, οὐκ ἄρξας σχολὴν ὑπὸ τοῦ τῶν πραγμάτων ὄχλου γράμμασι τιμᾶν ὡς εἰκὸς ἅπαξ ποτὲ, καὶ οὐσ εἰκὸς, κλέψας σαυτὸν ἀπὸ τῶν δημοσίων χρόνον ὅσον ἀρ-

κέσαι

κέσαι πρὸς μὲ τρεῖς ἐπιστολὰς, αὐτὸ τοῦτο μήνυσον. εἰ δὲ ἐπιγνώσῃς ἀληθευομένην κατὰ σοῦ τὴν ὑποψίαν τῆς λήθης, διόρθωσαι μεταμελείᾳ σεαυτὸν ἡμῖν ἐπανάγαγε.

Τρωΐλῳ.

α' Ἄλλοι μὲν τελευρημαῖοι, μὴ δὲ πολλοὺς ἀσυνέτων ἀποτίσουσι χάριν ἀξίαν, αὐτὸς ὁ θαυμάσιε Ἀναστάσιος αὐτοῖς χαρίζῃ, πάντως γε ἤτοι θεοῦ σοι προσέσται χάρις. ᾧ σεαυτὸν οἰκειοῖς τῇ κοινωνίᾳ τῆς εὐεργετικῆς προαιρέσεως. οὐδαμῶς μοι ποιῆς ἀεὶ σε φιλοσόφων, οὕτω γὰρ ἐμοί σε φίλον καλεῖν, ὥσπερ ὑπογράφειν τὰ πράγματα.

Κώσταντι.

ε' Ἡ δὲ φιλοσοφίας τιμᾶς ἀρετὴν, οὐ μόνον τὴν παροῦσι τοῖς μετέχουσιν αὐτῆς, ἀλλὰ καὶ ἐν τοῖς ἀποῦσι τιμήσεις. ὁ δὲ θεσπέσιος Ἀμμωνιανὸς ὁ παρ' ἡμῖν ποτε τυχὼν ἀμείνονος λήξεως, ἐμοὶ δοκεῖ πάρεστι καὶ ἀπεῖναι δοκῶν. τούτου συγγενὴς σφόδρα αὐτανέψιος, ὁ παρ' ὑμῖν σωτήριχος ἀδικεῖ. Δεῖξον ὅτι κήδῃ δι' ὁμιστίου, καὶ πέπαυται σωτήριχος ἀδικῶν.

Σιμπλικίῳ.

α' Φιέναι φησὶ δεῖν ὁ θεὸς τὰ ὀφειλήματα. ὀφείλει δὲ ὁ μὲν τις δεκάδας μυρίας χρυσίου. ὁ δὲ, τὸ δοῦναι δίκην. καὶ ὁ τοῦ λαβεῖν οὖν δίκην ὑπεριδὼν, ὑπήκουσε τοῦ θεοῦ.

Πενταδίῳ αὐγουσταλίῳ.

Οὐ παρ' ἡμῶν ὄχλου καὶ τῶν πραγμάτων, αὐτὸς σὺ
γ' σεαυτὸν αἰτιῶ. Φιλοτιμηθεὶς γὰρ πᾶσι γνωσθῆς καταφανὴς, ὅτι με διὰ πάσης ἄγεις τιμῆς, ἅπασι τοῖς καταπονουμένοις, ἐπ' ἐμὲ τὸν δρόμον ἀνέῳξας. οἶδα δ' οὖν ὅπως ποιήσεις, εἰ δεῖ ποτε πεπαῦσθαι κἀμὲ κοπτόμενον

ὑπὸ πολλῶν καὶ σὲ περὶ πολλῶν ὑπὲρ ἐμοῦ, εἰ καὶ πάνυ δέεται με-
τρίων καὶ φιλανθρώπων ὑπὲρ οὗ γράφω, καὶ τυχεῖν ἐστὶν ἀξιώ-
ματος ὡς ἅπαντες ἴσασιν, ἀποτυγχανέτω σου μηδὲν ἧττον, ἢ εἰ
παμμέτρως προστελῶ, καὶ παμπονήρων ἐδεῖτο πραγμάτων. τοῦτο
ποιῶ, καὶ ὅταν ἀφίκωμαι παρὰ σὲ δῆθεν αἰτιασόμενος, πρόσ-
ταττε τοῖς ὑπηρέταις, ἐπιζυγῶσαί μοι κατὰ τοῦ προσώπου τὰς
θύρας. ἂν τοῦτο γινόμενον οἱ μὲν, ἴδωσιν, οἱ δὲ, τῶν ἰδόντων ἀ-
κούσωσι, τοὐντεῦθεν ἐγὼ καὶ σὺ, βαθεῖαν εἰρήνην ἄξομεν. ὡς οὐ-
δεὶς ἔτι τοῦ λοιποῦ προσδραμεῖταί μοι καὶ προσανακλαύσε-
ται. εἰ δὲ ἀποδειλιάσεις καὶ οὐκ ἐθελήσεις τοῦτό σοι τοῖς ἀν-
θρώποις συγγνῶναι, ἀνέχου πολλάκις τῆς ἡμέρας ἀγαθόν τι ποι-
εῖν ἀνθρώποις, ἱκέτας σου γινομένους δι' ἐμοῦ περὶ τοῦ θεοῦ. ἀλλ' εὖ
οἶδ' ὅτι, οὐκ ἀπαγορεύσεις εὖ ποιῶν. οὔκουν οὐδὲ ἐγὼ, πρεσβεύ-
σας ὑποθέσεις τῇ φύσει συμπαιζόμενος.

Τῷ αὐτῷ.

ἐ Ἐγὼ καὶ σοῦ κήδομαι καὶ τοῦδε. σοῦ μὲν ὡς μὴ ἀδικοίης· τοῦδε
δὲ, ὡς μὴ ἀδικοῖτο. εἰ δὲ τῷ σὺ δοκεῖς μετὰ τοῦ Πλάτωνος,
τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι μεῖζον εἶναι κακὸν, ἔοικα σοὶ μᾶλλον, ἢ
τῷδε συγχαίρεσθαι, δεόμενος ὑπὲρ αὐτοῦ πραττομένῳ δίκας ὑπὲρ
ὧν οὐκ ἐξήμαρτεν.

Αὐρηλιανῷ.

ἰζ Εἰσί τινες ψυχαὶ τῶν πόλεων, ὥσπερ οὖν εἰσιν ἔφοροι, θεῖοί τε
καὶ δαιμόνιοι, πάσας ἡγοῦσαι χαίρειν εἰδέναι, ἢ ἀπομεμνῆσθαι
τῶν ἀγαθῶν ὧν ἐπὶ τῆς μεγάλης ἀρχῆς ἅπασιν ἔθνεσιν αἴτιος γέγο-
νας. αὐτούς τε οὖν τούτους παρὰ τοὺς καιροὺς ἑκάστους οἴουσαι πα-
ρεστάναι συνηγόρους τε καὶ συμμάχους, καὶ τοῦ κοινοῦ θεοῦ δεῖσθαι,
γενέσθαι σοι πρεπούσας ἀμοιβὰς τῆς ἐνδεχομένης ἐκείνου μιμήσεως

τὸ γὰρ

τὸ γὰρ εὖ ποιεῖν, ὃ τοῦτο μόνον ἔχουσι κοινὸν ἔργον αὐτὸς καὶ θεός. ἡ δὲ μίμησις, οἰκειώσεώς ἐστι. καὶ συνάπτει πρὸς ὃ μιμεῖται τὸ μιμούμενον. διάκεισο τοίνυν ὡς ἀπειργασμένος οἰκείως τῷ θεῷ. τῇ κοινωνίᾳ τῆς εὐεργετικῆς προαιρέσεως. καὶ σύνεσο γλυκείαις ἐλπίσιν, ὃ παρ᾽ αὐτῇ τοιαύτῃ τῆς ψυχῆς διαθέσει προσήκουσιν, ὦ μεγαλοπρεπέστατε μόνος, ἢ μετ᾽ ὀλίγων εὖ μόνος, δικαίως καλούμενε. ἀσπάζομαι διὰ τῆς σεμνότητος τῆς φωνῆς τοῦ παιδὸς, τὸν νέον ταῦρον τὰς ἀγαθὰς ῥωμαίων ἐλπίδας. Τῷ ἀδελφῷ.

ὁ Καὶ τοὔνομα δοῦλος καὶ τὴν προαίρεσιν, ὃν ἀγνοήσας, ὡς παιδοτρίβην παρὰ τῶν Θεοδώρου κληρονόμων ὠνημαι, πάλαι μὲν ἐστὶ πονηρός. καὶ γὰρ ἔφυ καὶ τέθραπται κακῶς. καὶ ἀγωγῆς οὐκ ἀπέτυχεν ἀξίας τῆς φύσεως, ἐκ παιδὸς ἐν τηλίᾳ καὶ κύβοις καὶ καπηλείοις καλινδηθείς. ἀλλὰ νῦν Λυσίας ἂν εἶπεν, ἐξείργασται καὶ τέλος ἔχει. καὶ πέρας ἀνδίας ἐστίν. ἑρμῆν μὲν γὰρ καὶ ἡρακλέα τοῖς παλαίστρας ἐφόροις, οὐδὲ κατὰ μικρὸν πρέπει. κοττύφοις δὲ καὶ τοῖς ἄλλοις ἀττικοῖς κοιναπάλοις μεθορκεῖ. καὶ ἐδὴ τιμές εἰσι τούτου τοῦ κόμματος ἕτεροι δαίμονες, ἅπασιν αὐτοῦ μέλει. καὶ τούτων αὐτῷ. δίκην μὲν οὖν ἑτέραν, οὐκ ἂν λαμβοιμι παρ᾽ αὐτοῦ. ἀποχρῶσα γὰρ ἡ πονηρία δίκη τῶν πονηρῶν. δυσιμαθεὶς δ᾽ ἀνεπιτήδειος εἶναι συμβιοτεύειν φιλοσόφοις δεσπόταις, ὧν οἰκουροῦντων αἰσχύνη περιποιεῖ, ἐχέτω τὴν ἔχουσαν αὐτὸν πόλιν. ὁ γὰρ ἰδὼν τὸν παιδοτρίβα συβουῶντα διὰ τῆς ἀγορᾶς, ἐν στεφάνῳ καὶ μύροις μεθύοντα καὶ κωμάζοντα, καὶ πάσης ἀκολασίας ἐμπεπλησμένον. καὶ ᾠδὰς ᾄδοντα πρεπούσας τῷ κλίω, ὧν τοῖς ἔχειλας αὐτὸν τὴν αἰτίαν ἀνήγαγεν. ὅπως οὖν αὐτὸν παραδοὺς τῷ ναυκλήρῳ πωλεῖν ἀναγκάσεις, εὐθὺ τῆς ἐνεγκούσης αὐτόν. ἐκείνη γὰρ αὖ αὐ



BIBLIOTECA UNIVERSITARIA SEVILLA

τοῦ καὶ ἀνάσχοιτο δικαιότερον. πλείτω δὲ δὲ μηδ' ὑπὲρ τοῦ καταστρώμα-
τος. μὴ δ' εἰς κοίλην ναῦν καταβαίη. ἐπεὶ μὴ θαυμάσῃς, εἰ συχνὰ τῶν
κεραμίων ἡμιδεῆ σοι ποιήσει. ἐπειδὴ ὁ πλοῦς παρατείνοιτο, καὶ μέχρι
ζυγοῦ σαν, ἐκροφοῖτο τὴν αὐθοσμίαν. καὶ τοὺς ναύτας δ' ἂν αὐτὰ ταῦ-
τα ποιεῖν ἀναπείσειε. πρὸς δὲ τοῖς ἄλλοις καὶ πιθανώτατον τὸ καλὸν,
εἰς ἀπόλαυσιν, ἡγήσασθαι. καὶ τίς οὕτως ἐμβριθὴς ἐστὶ τῶν μισθωσαμένων πλε-
όντων τὴν θάλατταν, ὡς μὴ διαχυθῆναι τοῦ καθάρματος κορδακί-
σαντος ἐν τῇ τοῦ πότου περιφορᾷ. καὶ ἅμα πολλὰ βωμολοχεύεται
πρὸς ἀλλήλους περιραγῆναι τὸν ναύκληρον. ὁ μὲν οὖν ὀδυσσεὺς, ἵνα μὴ
ὑφ' ἡδονῆς διαφθαρείη, τὴν σειρήνων ἀκοὴν δεδιέναι μέρος παρήμει-
βεν. οὗτοσὶ δὲ, ἵνα μὴ τοὺς πλέοντας ἡδονῇ διαφθείρεσθαι, ἀνέκει-
νοι σωφρονῶσι, δεήσεται. Τῷ φιλοσόφῳ.

ή Χοῦς ἔοικα πρᾶγμα ποιεῖν. ἃς παρέλαβον φαφωνάς, ἀντιδίδωμι.
τὸν θαυμαστὸν ἀλέξανδρον ἐπαινῶν παρὰ σοί. Αὐρηλιανῷ.

ϑ Ὑπὸ τῇ προνοίᾳ μελλήσεως ῥωμαίων. ἅμα μελλήσει περὶ τὸ εἶναι
εἰς ἅπαν οἰκησομένην, οἱ τὰ κοινὰ σώζειν δυνάμενοι. ἅμα τῷ
γε ῥήτορι τῷ σωφρόνῳ καὶ ἡ παρ' ὅσα σοι δύναμις ἀρκεῖ πρὸς ὃ τυγ-
χάνεις δεόμενος. ἀπολαυέτω δὴ νῦν μὲν, αὐτὸς μόνος ταύτης. ἔπειτα
μετὰ τῶν ἐθνῶν ἁπάντων, κἀκεῖνος. Τῷ ἀδελφῷ.

ξ Πικρὰν μὲν ταύτην ὁδὸν ὑπὲρ τὸ πλουτεῖν ἐβάδισεν ἀθανάσιος.
ἐνομίζετο μόνος εἶναι τοῖς ἀποθνήσκουσι. καὶ πρακτέον αὐτοὺς,
πειθοῖ καὶ βίᾳ πάντως ὅτι ἂν δύναιντο. καὶ αὖ οὖν αὐτὸν λάθῃ δημόσιος, ὑπὸ
διαθήκῃ καλούμενος. ἀλλὰ συνεὶς ἀλλάττεται. Τῷ αὐτῷ.

ξ Καὶ καιδεκάτη μηνὸς ἀθὺρ, ὁ μακαρίτης κασσίκιος, αὐτὸ
τοῦτο ἐγένετο, φάσμα χαλεπὸν ἰδόντι καὶ δημοσιούμενος. Ἀνυσίῳ.

ί Ὡσαύ'(τως), ὃν ὅπισε φίλος δὴ αὐτὸ τοῦτο φίλῳ, νόσῳ χαλεπῇ πρὸς
ἐπαλλάξασεν. καὶ ἡ αὐτῶ δῆμον, ἐχῆνόσους. ἅμα τὸ σὺν τῆς ἱε-

ρᾶς ἀπεῖναι κεφαλῆς. ἐπεὶ δὲ νῦν ἐν τοῖς ὁμοίοις ἐστί. τούτῳ δέ τι ἐξεῖτου προσοῦν χαλεπωτέραν τὴν νόσον ποιεῖ. ἐρᾶται τί περὶ στρατιώτην πρέπει. τὸ δυσκολὸν δὲ ἔχει πρὸς τὴν ἐξ ἀνάγκης ἀφίαν. Αὐρηλιανῷ.

ο Ἱμείρουσαν τὴν θεσπεσίαν ψυχὴν ἐπαινῶ τὸ τοῦτο καταπεμφθεῖσαν, ἐφ' ὃ κοινὸν ἀγαθὸν ἀνθρώποις εἶναι. καὶ χαίρειν εἰδέναι τοῖς συνιστᾶσι τῶν δεομένων δικαίων, ὅτι σου περιέπουσας ὑποθέσεις τῆς φύσει κρείζοντα. οὐ γὰρ ὅτι συγγενής ἐστιν Ἡρώδης ἐμός, ἀλλ' ὅτι δεῖται δικαίων, διὰ τοῦτό σοι τὸν νεανίσκον συνίστημι. ὅστις ἐκ προγόνων λαμπρότατος ὢν καὶ τὴν πρῶτον βουλὴν ὑποτελῶν τῇ συγκλήτῳ διαδεξάμενος, ἐπειδὴ γέγονεν ἡγεμών, ἀξιοῦται συντελεῖν ὥσπερ οἱ νεόβουλοι. καὶ γίνεσθαι διπλοῦς λειτουργός. τὸ μέν τι διὰ τὴν οὐσίαν, τὸ δὲ, δι' ἣν ἦρξεν ἀρχήν. Τῷ ἀδελφῷ.

ε Λαμβάνει με παρὰ σὲ πόθος καὶ χρεία. πυνθάνομαι τοίνυν εἰ τῶν μεταξὺ ἕξοντα. Οὐρανίῳ.

ε Πέμψας σοι δῶρον ἵππον ἀκροφυέστατον, εἰς ἅπασαν ἀρετὴν ἵππων προσήκουσαν. ᾧ χρήσῃ μὲν ἐν ἁμίλλαις δρόμων. χρήσῃ δὲ ὅταν περὶ θήρας ἐξάγῃς, ἔστιν ἀγῶσι πολεμικοῖς. καὶ ὅταν πατάγῃς περὶ τῶν Λιβυκῶν ἐπὶ πεδίων πομπὴν ἐπινίκιον. οὐ γὰρ οἶδα ὅτι μᾶλλον ἢ κυνηγέτης, ἢ κέλης ἐναγώνιος, ἢ πομπεύς. ἢ πολεμιστής ἐσθ. ὁ δὲ νεανίσκος ἵππων ἰδεῖν ἐστιν ἀφελέστερος, ὀχλώδης τε ὢν τὸ κράσιον, ἐλαφρότερα τὴν ὀσφύν, τάχα μὲν δὴ τοῖς ἵπποις, ὥσπερ δὴ τοῖς αὐτοῖς, ἅμα πᾶν δίδωσιν ὁ θεός. μήποτε δὲ τό γε πρὸς ἐκεῖνο αὐτῶν τὴν ἀρετὴν συντελεῖ, εἶτα μαλακὰ τῶν σκληρῶν ἐλάττω παρὰ τῆς φύσεως ἐκληρώσαντο. πρὸς μέντοι τοῖς πόνοις, ὅστε σαρκὸς οἶδα διὰ τὸ κρεῖσσον. οἶμαι τῶν περὶ ὑμᾶς ἵππων, τοῖς σαρξὶ πολεῖ ἐστιν. οἱ δὲ ἡμέτεροι τοῖς ὀστέοις. Ἑταίρῳ.

ξ Μισθωσάμενός σοι ναῦν, αὐτὴν ἐγγὺς τῶν πλεόντων τῆς θαλάττης μετὰ πλείονος τέχνης ἢ τύχης. ὡς αἰγυπτιακὴ τε παῖς ὁλκάδες,

φήμην ἔχουσι διανοίᾳ κεχρῆσθαι καθαρωτέρᾳ τῶν φαύλων τῶν πολλῶν, πρὶν ἰδεῖν τὴν νόσον ἥκειν τὸ δαιμόνιον μήνυμα. Κλαυδίῳ.

Υγγενὴς ἐμὸς ἀδικεῖται. σὺ δὲ ὁ φίλος εἶ, ὁ δικάζειν ἔ-
σ λαχες. ἐκ μιᾶς οὖν προσοχῆς, ὑπάρξει σοι κἀμοὶ ὁ τοῖς μόνοις χαρίσασθαι. ἐπενείτω τοίνυν ἀσφαλῶς, εἰς τὸ δεσπότης εἶναι τῶν κεραμίων τῇ τοῦ πατρὸς διαθήκῃ προσλαβόμενος τὴν ἀπόφασιν. διὰ κατηγορίας τῆς ἐσομένης ἐμποδὼν τῷ παραυτίκα διὰ ἀκροάσεως. ὅτε γὰρ δεῖ δικαιοδοτεῖν, ἢ τὸν χρόνον, ἐν ᾧ μάλιστα τυγχάνομεν δεόμενοι τοῦ θεοῦ. Ἀναστασίῳ.

σ Ωσηναῦ τις ἔπεισεν ἢ θεὸς, ἢ λόγος, ἢ δαίμων, ὅτι καὶ περὶ τὰ χωρία τι γίνεται τοῖς αὐτοῖς, εἰς τὸ τυγχάνειν τε καὶ ἀτυχεῖν ἀφιέμενος τοῦ θεοῦ. πράττων οὖν πονηρῶς παρ᾽ ἡμῖν, καὶ τῶν πατρῴων ἀκριβῶς ἐκκόπτεις, ἔγνωκε μετελθεῖν εἰς τὰ ἐπὶ θρᾴκης χωρία ἐκεῖ διαλλαγησόμενος πρὸς τὴν τύχην. ἐπεὶ δή σοι φίλα πρὸς τὴν δαίμονα, σύστησον αὐτῇ τὸν νεανίσκον. καὶ ἐξευρέτω τινὰ πόρον αὐτῷ χρημάτων. ῥᾴδιον δὲ βουλομένῃ. καὶ γὰρ τὰ Νόννου τοῦ Σωσηναῦ, Φύσαργος ἐκάλει πῶς εἰς ἑτέρους μετέθηκεν. ἀποφηνάτω δὲ καὶ Σωσηναῦ κληρονόμον ἀλλοτρίου πατρός. γένοιτο γὰρ ἂν οὕτως ἐξ ἀδικίας τὸ δίκαιον. Ἰωάννῃ.

ὤ Σπερ ἄλλοτε πολλάκις ὑπὲρ τῶν καιρῶν ἐγγενομένων σοι χρήσιμος, καὶ παρεμυθησάμην δυσχερῆ τύχης, τοὺς μὲν, λέγων, τοὺς δὲ, ποιῶν, ὡς ἑκάστοτε ἡ δύναμις ὑπηγόρευσε, καὶ νῦν περὶ τῶν καταλαβόντων σε πραγμάτων, δοκεῖ μοι συνδιενέγκαι τινὰ γνώμην, ἐπειδὴ μὴ ἔργον δύναμαι. συνίστον γὰρ οὐ θέμις, ἕως ἐμπνεῖ τε καὶ δύναται, μὴ οὐχὶ παντὶ τρόπῳ πρόθυμον εἶναι τοὺς φίλους, ἀγαθόν τι ποιεῖν. ἄκουε τοίνυν ἅ μοι καλῶς ἔχει διαλεχθῆναι πρὸς

σε, εἰ

σεται μὲν θεός ἐστιν ἡ φήμη κατά τινα τῶν παρ' ἡμῖν ποιητῶν, σὺ
δὲ χρῆσαι τὸν Μακρῖτην Αἰμύλιον ὃς πράξας ἀναβουλεύσας τὸν
φόνον. καὶ βαρβαρικὸν μὲν δρᾶμα συνθείς, τὴν σφαγίαν ἢ καθεὶς ἐκ
τῶν σαυτοῦ λοχιτῶν τὸν ὠμότατον. λέγεται μὲν δὲ ἡ φήμη ταῦτα. καὶ οὐ
δεῖ ἡ δὲ οὐ θέμις, οὖσαν θεόν. εἰ ἡσίοδος μὲν οὐδὲν λέγει, ἀλλὰ ἡ
λέγεται μάτην, καὶ τοῦτο περὶ σοῦ τῶν πολλῶν ἐστιν ἕν. ὡς ἔγωγε βουλοί
μην ἄν. περιέλαττ' ὅμως χαρίζοιμαι τὴν ἐν ἀργυρίῳ ζημίαν,
ἢ τὴν ἐν φίλῳ. καὶ νῦν ἂν οὐχ ὑπαίτιος ὢν ἀκούεις κακῶς, ἀτυχεῖς
μὲν ἄρα. ἀλλ' οὐκ ἀδικεῖς. ὡς ὤφελες μὴ ἢ ἀτυχεῖν ἀλλ' ἐκείνως μὴ
αὖθις καὶ μῖσος ὠφείλετο δίκαιον. οὕτω δὲ ἔλεος. ἐγὼ δέ μοι δοκῶ
λίαν ὑπὸ συνηθείας ἁλώσιμος ὤν, κἀκείνως ἂν τὴν μὲν πρᾶξιν μι
σεῖν. σὲ δὲ ὅμως ἐλεεῖν. τοῦ δὲ ἐλεοῦντός ἐστι, βοηθεῖν ὅση δύναμις. καὶ
ἐξευρίσκειν, ὅθεν ἂν οἴκτου ὀνίσαιτο. οὐκοῦν καθ' ἑκάτερόν μοι προ
σήκει συμβουλεῦσαί σοι τὸ φαινόμενον βέλτιστον. ἔοικε δὲ τοῦτον
εἶναι συμφέρον, αἰτίῳ τε ὄντι καὶ ἀναιτίῳ. ἴθι παρὰ τοὺς νόμους. καὶ
σαυτὸν ἐπίδος τοῖς δικασταῖς μετὰ ἀθρόων τῶν λοχιτῶν, ἐπικεκλήκα
κείνων. καὶ εἰ μὲν ἔπραχεν τὸ δεινόν, δεήθητι. καθικέτευσον. ἀντι
βόλησον. μὴ αὐτὸς προκαλινδούμενος, πρὶν ἂν διαπράξῃ τὸ παρὰ
τῆς ψήφου συστῆναι ζημίῳ, ἢ δοῦναι τὴν δίκην. ἐν καλῷ σοι κεῖσθαι
παρὰ τοῖς κατὰ τὸ δικαστήριον, τὸ προκαθήμενον ἀπελθεῖν, ἑταῖ
ρε ἰωάννη. μὴ λόγον ἄλλως εὐηθῆ τὴν παραίνεσιν. μὴ δὲ πρὸ σαυτοῦ
ζῆν μὴ νομίσῃς σαυτῷ, οὕτω δὴ ἱερᾶς φιλοσοφίας ὀναίμην. καὶ
προσέτι τῶν παιδικῶν τῶν ἐμαυτοῦ. οὐκ ἂν μὴ φιλτάτῳ σοι τυγ
χάνοντι, συνεβούλευσά τι τοιοῦτον, ὅπερ ἀπεύχομαι τοῖς ἐχθροῖς τοῖς
ἐμοῖς. καὶ μήποτε αὐτῶν ἐπὶ νοῦν ἀναβαίη, τὸ, κάλλιον εἶναι τὸν
ἀδικοῦντα δοῦναι τιμωρίαν αὐθαίρετον. ἀλλὰ μὴ ἢ παύσαιντο ὄν

τυγχάνωσιν ἐν οἷς ἀδικοῦσιν, ἵνα πλείω τε χρόνον εἶναι κακὸς, καὶ πλείους ἐκεῖ τὰς δίκας ὀφείλοιεν. πρὸς δὲ διὰ φιλίαν, κινδυνεύω τι καὶ τῶν ἀπορρήτων εἰπεῖν, ὡς ἀνόμοιόν ἐστιν, ἐν παχεῖ σώματι καὶ ἐν εἰδώλῳ δοῦναι τὴν δίκην. ἰσχυρότερον μὲν γὰρ ἀνθρώπου θεός. τοῦ δὲ θεοῦ παντὸς διακόσμου, σκιὰ τὸ ἀνθρώπινον. ἀλλ' ὅπερ εἰσὶν ἐν ταῖς πολιτείαις οἱ δήμιοι, χεῖρον τῶν νόμων, τὴν αὐτὴν καὶ ποινῶν χρείαν τῇ φύσει τοῦ κόσμου παρέχονται. δαίμονές εἰσι καθαρτήριον τέχνην ἔχοντες τῶν ταῖς ψυχαῖς, ὧν οἱ κναφεῖς τῶν τοῖς ἱματίοις τοῖς πιναροῖς. ἀλλ' εἴ τις ἱματίοις αἴσθησις ἦν, τί ἂν οἴει πάσχειν αὐτά, λακτιζόμενα, στιζόμενα καὶ πάντα τρόπον κναπτόμενα, διὰ πόσων ἂν ὀδυνῶν ἐκπεπλῦσθαι κηλίδας ἀρχαίας καὶ προσπεπηκότα ὁμόργματα. εὖ γὰρ λέγουσιν ὅτι πολλοῖς ὁ ῥύπος, οὕτως ἐνέφυ σφόδρα διὰ τοῦ βάθους, ὡς ἀναπέπλακτος εἶναι. καὶ φθάνει διαφθαρέντα, πρὶν εἰς τὴν φύσιν ἐπανελθεῖν, ὅτι τὸ πάθος αὐτοῖς γέγονε φύσις, ἢ διὰ χρόνου πλῆθος, ἢ διὰ μέγεθος. οὕτω δὲ ἔχουσα ψυχὴ καλῶς ἂν ἔχειν εἶναι φθαρτή. νῦν δὲ τὰ μὲν ἁμαρτήματα, λόγον ἔχει πρὸς ἀνεκπλύτους κηλῖδας. ἡ ψυχὴ δὲ οὐκ ἔτι πρὸς θοἰμάτιον ἐκεῖνο τὸ πιαρόν τε καὶ οὐκ ἀντέχον. ἀλλὰ θάνατος οὖσα, τὴν δίκην ἀθάνατον, ὅταν ἁμαρτῇ δυσσοποι εἴτε καὶ ἀναπόνιπτα. ἀλλ' ἐν ᾧ γάρ τις ἥμαρτε βίῳ δίκας δίδωσι, οὐ πάνυ προσπεπηκὸς ἔχει καὶ προσιζῆσαν τὸ πάθος. ἄλλως ἂν εἴ ποι τις ἀρτιβαφὴς οὖσα ψυχὴ, τάχιστα πλύνεται. διὸ δοτέον ἐστὶν ὡς ἐν διὰ τάχους τὴν δίκην. καὶ τιμωροῖς ἀνθρώποις, ἀλλὰ καὶ δαίμοσι. λέγεται δέ τις λόγος ὃς με πείθει, τοὺς ἠδικημένους κυρίους εἶναι, μακροτέρας τε ποιεῖν. καὶ ἐπιτέμνειν τὰς τιμωρίας, διὸ παραπλήσιον ἐστὶν ἕνα κακόν τι μέγα ἐργάσασθαι καὶ

πολλοὺς

τὸ ἄλλως κατὰ μικρὸν ἀδικοῦσι. ἐπέξεισι δὲ ἕκαστος ἐν τῷ μέρει. καὶ δεῖ
πᾶσιν ὑπηρετῆσαι τὴν δίκην, ὅταν δέ τις ἰάσιμον ᾖ, μέγα τι γὰρ ὁ
δικαστὴς δύναται, τὸ τοσοῦτον προσεπιτιθέναι τὴν ψυχὴν, ὡς ἤδη
παρ' αὐτῶν τῶν ἠδικημένων ἔλεον εὑρέσθαι. ὥστε τοίνυν εἰκὸς
ἔστι τῆς μακαρίτιδος Αἰμυλίου ψυχῆς συγγνωμονεστέρας τυχεῖν.
ἐγὼ μὲν οὖν οἶμαι μᾶλλον δὲ, οἶδα σαφῶς, ὡς ἅπας ἱκέτης αἰδέ-
σιμος, ὅστις ἑαυτὸν τετιμώρηται. καθάπερ ἤδη παρὰ μικρὸν εἰς ἀπο-
λογίας ἁμαρτήματος καταστὰς, αὐτῷ γὰρ φθάσαι τὴν αἰτίαν ὁ-
μολογῆσαι, καὶ φῆσαι κολάσεως ἄξιον εἶναι, τὴν κόλασιν δέξο-
νται τό. τὸ δὲ ἐνδυσωπεῖσθαι τοῖς δι' ἅ τις ἠδίκησεν, εἴτε χρήμασιν
εἴτε σώμασι, βαρυθυμότερον τὸν ἠδικημένον καθίστησι. καὶ τίς ἂν
γένοιτο τοῦ σώματος ἐξελθὼν, εὐθὺ ὑπὸ βιαίας δίκης, ἢ ἕτερον τρό-
πον, κἄπειτα αὐτὴν τὴν ψυχὴν, αὐτῇ τῇ ψυχῇ θεασάμενος,
οὐχ ὅσης ἀριθμεῖσθαι συμπλοκῆς ἀλλ' ἐγκεκολαμμένον ἔχοντος τοῖς
σημεῖα τὰ τῆς πράξεως, ἐκ λιγγιάσεως ἐπανορθώσεις ἐξελέγξεις τοῦ ἦ ἱκέ-
τῃ τῇ δίκῃ, ἦ σὺ κἀγώ. καὶ πῶς ὃν οὐ προσκαθαίρει μετάνοια δημοσιεύ-
θέντα. ἀλλ' ἀνδρειότερον ὦ γυναῖκες. γυναικεῖος γὰρ εἶ ἧς. ἦ τὸ μὲν ἡδονῶν
ὑπεροπτέον, ὡς ἀδικοῦντες ἐποιησάμεθα. τοὺς δὲ αὐτοὺς ἐπαισχυν-
τέον. ἀλλὰ τῷ δικαστῇ μὲν ὁμολογητέον τὴν πρᾶξιν. ἐξιλαστέον δὲ
τῇ προσαυτίκα τίσει, τὰς κατωπινάς. μεγίστου δὲ ὄντος ἀγαθοῦ τοῦ
μὴ ἁμαρτεῖν, δεύτερον ἀγαθὸν τὸ δικαιωθῆναι. ὅστις δὲ χρόνον πο-
λὺν ἀδικῶν ἀκόλαστος μένει, τοῦτον καὶ δεῖ νομίζειν τὸν ἀτυχέστατον,
ὃν μήτε θεὸς μήτ' ἄνθρωπος κήδεται. σκόπει δὲ καὶ ταύτῃ. τὸ ἀκόλαστον εἶ-
ναι πρὸς κακοῦ, ἢ λέγεται ἦ ἀκούεται. οὐκοῦν τὸ κεκολάσθαι πρὸς ἀγαθοῦ.
τῷ δὲ ἐναντίῳ τὸ ἐναντίον ὁ λόγος μένει. εἰ μὲν οὖν ἐγὼ παρὼν ἐτύγ

χανον, οὐδὲν ἂν ἔλασσον πρᾶγμα ἔχειν ἀπερυθριῶντα καὶ σαυτὸν κα-
ταγγέλλοντα. ἀλλ᾽ ἐμαυτὸν ἂν ἔταξα συνηγορήσοντά σοι καὶ προσή-
γαγον ἂν σε καθότι περ ἐξῆν τοῖς νόμοις. ἀνόντος μὲν ἃ αὖτις εἶ-
πεν, ὡς συνίστορος ἰωάννου κατηγορεῖ. σὺ δ᾽ ἂν ἠπίστασο, τἀληθές. ὅτι
φειδοῖ καὶ κηδεμονίᾳ τῇ σῇ, τὴν κατηγορίαν εἱλόμην, ἵν᾽ ὡς ἐν
κακοῖς ἄμεινον πράξειας. ἀλλὰ ταῦτα μέν, ἐπειδὴ κοινὰ γέγονεν,
ὃ μὴ γένοιτο, σοῦ τε ἕνεκα καὶ τῆς πόλεως. ἅπασα γὰρ ἂν εἴη μια-
ρὰ τῷ φόνῳ, τολμηθέντος αἵματος ὁμογνίου. εἰ δὲ οὐ καθαρὸς τὰς
χεῖρας εἶ συνῴμην, εἰ δὲ οὕτως, ἐπόραγοι μέν, οἱ ταῦτα συνθέντες
ἐπὶ σοί, κἀκείνους δὲ περιμένει τὰ κατὰ γῆς κολαστήρια. ὡς οὐχ
ἕτερος οὕτω τρόπος θεομισής, ὡς ὁ λογοποιὸς ὁ τιτρώσκων ἐξ ἀφα-
νοῦς. ἀγνέστατος γὰρ ὤν, μέγιστα κακὰ διαπράττεται. καὶ λέ-
γεται τοῖς αὐτοῖς μοῖραν κινδύνοις προσκεῖσθαι. καὶ τῶν ἐν τῇ τέ-
χνῃ τοῦ τεῖναι τὸ κράτιστον. ἐπεὶ καὶ πρὸς ἄλλα πολλὰ σοφισταὶ γί-
νονται καὶ εὐμήχανοι. ὥστε αὐτοῖς ἄλλων φήμας τῶν τοῖς οὐκ οὖσι ποι-
ῶν, τοῦτο ἐκεῖνο, μηδὲ ἐπανέρῃ, μηδὲ διστάσῃς. ἀλλὰ καὶ στερεώ-
τατος εἶναι δοκῇ, θαρρῶν ἀποφαίνου τὸν ἄνδρα, ἡμίγυμνον. αὐτο-
σχηματιασώτην τῆς κότυος. σοὶ δὲ ἔξεστιν ἀπὸ τῶν λόγων τούτων,
ἀποφῆναι συκοφαντοῦσαν τὴν δόξαν, ἑαυτόν τε καὶ τοὺς σοὺς ἐ-
πιδόντας τῇ δίκῃ. εἰπὲ γὰρ εἰσελθὼν ὡς ἐμοῦ κατηγοροῖεν τινες εἰσὶν
ἀφανεῖς. οἱ προκατεγνωκότες αὐτῶν, ἀξιοῦσι λανθάνειν. κατη-
γοροῦσι δὲ ὅμως πολλὰ καὶ χαλεπά, καὶ κινδυνεύουσι πείθειν ἐνίους.
οὕτως εἰσὶν ἐπίβουλοι, καὶ δεινοὶ παραδοῦναι λόγοι τῇ φήμῃ. κατα-
διελθὼν τὰς αἰτίας, ἐν αἷς ἀκούεις κακῶς γάμον καὶ φόνον ἀνδρός,
ἐπειδὴ ταῦτα λόγον εἶναί τινα φασὶ παρὰ σοῦ τὸν κατασχέντα και-
θετον ἐξεργάσασθαι τὸν φόνον, τοῦτο ἅμα προσάγων διώθητι τοῦ
δικαστηρίου

λιπαρῶν καὶ προσαιτῶν, μὴ ἀνεξέταστος ἀπελθεῖν, μηδὲ ἐρή-
μην ἁλῶναι. οὐ γὰρ δὴ κρατιστεύει ἡγεμόνων ἱερεὺς δι᾽ ὅτι γραφὴν
ἐς τοὐμφανὲς οὐδεὶς ἀπηνέγκατο, παρὰ τοῦτό σε δεῖ ποιήσα-
σθαι, τὸ μὴ διὰ τέλος ἐλθεῖν βασάνου, μετιόντα καὶ θηρώμενον
τὴν ἀλήθειαν. ὁ διαβεβλημένος ἀσύνταλος, οὐ τόσον δ᾽ ἔστιν. ἔχεις τὸν ἄν-
δρα. χρῶ τῷ σώματι τούτῳ, ἐπιγέγονε, τήμερον ἀναφανῆναι γὰρ δεῖ
κατήγορον αὐτοῦ τε κἀμὲ, καὶ μὲν ἔτι τοσοῦ λέγοντος, μὴ πείθηταί
σοι, καὶ τοῦθ᾽ ἅλις ἔχει πρός γε ἡμᾶς τοὺς ἀνθρώπους. εἰ δὲ φι-
λανθρωπότερός τε εἴη καὶ χαριέστερός σοι τὴν περὶ τούτων ἀκρόασιν, ἀ-
πεὶ ἐνταῦθ᾽ ἔδει τὸ λαμπρῶς ἀπολογήσασθαι καὶ τοὺς λογοποι-
οὺς καταισχῦναί τε καὶ καταστάσαι. τὸν γὰρ δὴ ἀσύνταλον τοῦ-
τον, οὐδὲ ἥσει τρυφᾶν. ἀλλὰ καὶ δεθήσεται ἢ κρεμάσεται. καὶ τῷ
ὀλέθρῳ διορυγήσεται. δεῖ τοι γὰρ ἐλέγξαι προαιρεῖσθαι οἱ βασα-
νισταί. καί τινες αὐτοῖς ὄνυχες εἰσὶν ἐξευρημένοι, συλλογισμῶν
ἐπιστημονικῶν, ἔχοντες δύναμιν. ὥστε ὅτι ἂν ἐκείνων κρατούντων
ἀναφανῇ, τοῦτ᾽ ἔστιν αὐτὸ τἀληθές. ἂν οὕτως ἀπολυθῇς, μηδὲν ἀ-
δικῶν, ἄπει τοῦ δικαστηρίου νενικηκὼς καὶ γαῦρος. δίκαιός τε ὢν καὶ
δοκῶν. εἰ δὲ ἐγὼ μὲν εἰσηγησαίμην ἅπασι λυσιτελεῖν οἶμαι, σὺ δὲ οὐ
ποιήσεις, οὐδὲ πρὸς τὸν δικαστὴν πρόσει, τὸ μὲν ἀληθές, εἴτε καὶ
δ᾽ ἂν ἢ δίκη. πάντως ὁ διὰ πάντων ἥκων ὀφθαλμὸς τοῦ θεοῦ, καὶ
λιβύλην ἑώρα, καὶ φάραγγα ἐκείνην. καὶ θρόου ἐκεῖνον. εἴτε τὸν ὄν-
τος. εἴτε τὸν ἐπιπόνητον. καὶ τὸν αἱμυλίου δρόμον. καὶ ὅ,τι ἔπε-
θε καὶ ὑφεῖ, καὶ ὅ,τι εἶπε, καὶ ὅ,τι ἤκουσεν. εἰ δή τι καὶ εἶπε καὶ ἤκου-
σε. καὶ οἶδεν, ὅτι εἰ καὶ τύχοις μὲν ἀναίτιος σὺ καὶ καθαρὸς τῶν
θεῶν, μήτε πράξας μήτε βουλεύσας ἔργον ἐξάγιστον, ἀλλὰ ἡ-
μῖν γε τοῖς ἀνθρώποις οὔπω καθαρός, ἕως ἀναπολόγητος ᾖς.

οὐδὲ ἐμβαλοῦμέν σοι δεξιάν. οὐδὲ ἀπὸ τῆς αὐτῆς στησόμεθα τῆς εὐμυλίου ἢ ἀλάστορας δεδιότες. ἐνθυμούμενοι ἢ ἡμῶν, ἐπαμόρξῃ τὴν προσβολήν. εἰσὶ καὶ ἡμῖν οἰκεῖαι κηλῖδες. οὐ δεῖ καὶ προσεραΐζεσθαι.

Ὀλυμπίῳ.

λ Ὑποῦσι τὴν ἐκκλησίαν, ἀλλότριοι πονηροί. διαβέβηκα πάντων. οἱ πάτταλοι γὰρ παττάλους ἐκκρούονται.

Ἀναστασίῳ.

ὁ Υἱὸς ἄμασις μὲν καλὸς φύλαξαι μὲν ἐπιδακρῦσαι τῷ πολυκράτει τὰς συμφοράς, ἃς ἐσομένας προειδὼς τοῖς ἄλλοις εὐτυχοῦντι κήρυκα πέμψας τὴν φιλίαν ἀπείπατο, δῆλον ἐποίησεν ὅτι καὶ ἐδάκρυσεν, εἰ προὔλαβεν ἡ συμφορὰ τὴν ἀπόρρησιν. σὺ δὲ ἡμῖν, ἕως μὲν οὐ προσεκόπτομεν τῇ τύχῃ, συνέμενες. ἔπειτα συναπῆρας αὐτῇ. λέγει γὰρ ἡ φήμη, διὰ τῶν ἀπὸ θρᾴκης ἡκόντων, οὐδὲν οὔτε φρονεῖν σε περὶ ἡμῶν οὔτε λέγειν ἐπιεικές. τούτῳ μὲν οὖν, οὐκ ἔστιν ὅλως φιλίαν ἐπεκπεῖν. ἀλλ' ἔχθραν αἰπεῖν. ἤρκει δὲ εἰ καὶ ἄρα τὸ μὴ συνανιᾶσθαι. τὸ δὲ καὶ προσανιᾶσαι, νὴ ἔρρω Δελφῶν οὔτε ἀμαθοῦς. ἢ τὸ πολλῶς ἀνθρωπίνων. ἀλλὰ σοὶ ἢ ἴσως ὑπὲρ τῶν σεαυτοῦ πραγμάτων ἔσκεπται κάλλιον, πλὴν τὸ ποιητέον. μόνον ἐγχείρων πιέσω. ἥμισυ γὰρ ἂν εἴη κακόν, εἰ καὶ οἷς πάσχω κακῶς· ἢ δύο εἶναι τοῖς φίλοις.

Θεοτίμῳ.

ἀ Ῥίθμει καὶ πέτρον ὀργὴν πεντυπτέλεως. ἀνθρώπων οὐ πέχρη μετιόντα τὸ λύειν τοὺς νόμους. καίτοι καὶ τὸν οὕτω μετιόντα, μισῶ. καὶ ὁ θεὸς σύνοιδε. καὶ ὁ Διοσκουρίδης. ἀλλ' οὗτος ἔτι νεανικώτερος ἐκείνου τἀνδρός. ὅτου γὰρ ἐπιθυμήσει χρήματος, πρῶτον ἁρπάσας, εἶθ' ἑαυτὸν ποιησάμενος, ἔπειτα πράτ-

τει τὴν

πει τὴν δίκην καὶ ἀλλὰ τῇ ψήφῳ, κρατεῖ τῇ χειρί. οὕτως ἐποίησε πρῴην, ἥρπασε κεφαλὴν μισεῖν ἐγχειρίσας τὸ τοῖς αὐτὴν. ὁ μὲν, ἤλεγξεν. ὁ δὲ, οὐκ ἀπέδωκεν, ἀλλὰ καὶ προσηπείλησε τοῖς δημίοις πληγάς. πρὸς ὃ νεμεσήσας ἐγὼ, καὶ νομίσας οὐκ εἶναι βιώσιμον, ὅπου τινὲς ἰδιῶται χεῖρας ἔχουσι μείζους τῶν νόμων, παρεσκεύασα λαμπροτάτους ἄνδρας ἕξαντας ἀποφάσει, βοηθῆσαι τῇ καταστάσει τῆς πολιτείας. εἰ γὰρ προὐχώρησεν αὐτῷ, πολλοὺς ἂν ἐν τοσ ὀλίγου πέτρους ἐθεασάμεθα. ἐν ᾧ χάριν ἔχω τῷ θαυμαστῷ μαρτυρίῳ, καὶ συνηγμαρκότι μάλιστα, καὶ προθυμότατα πάντων ὑπηρετήσαντι. αὐτῷ ἂν ἀγαθὸν αὐτῷ τι γένοιτο παρὰ τοῦ θεοῦ. παρὰ δὲ ἀνθεμίου καλῶς ἂν ἔχοι τὸ μὴ κακόν τι λαβεῖν, ἐπειδὴ πρὸς αὐτὸν, ὥσπερ ὑπείλησεν ἀποτίσειεν. ἀλλ' ἵνα μὴ γένηται τοῦτο, δέομαι πάνυ δέομαι, σοῦ τε αὐτοῦ, καὶ διὰ σοῦ τοῦ θαυμασίου ἀνδρὸς καὶ φιλοσόφου τρωΐλου κωλύσαντε τὸν ἀλιτήριον ἄνθρωπον τὴν διὰ τῶν νόμων ὑπὸ τοὺς νόμους ἐλθεῖν. ἐμοὶ καὶ περὶ τῆς πόλεως μέλει, καὶ τοῦ μὴ γενέσθαι φίλῳ συμφορᾶς αἴτιον. τὸ δ' ὅπως ἄν τις συκοφάντης ἀνακοπείη, οὐκ ἐμὸν εὑρεῖν. ἀλλὰ σόν. ὦ πρὸς τὰ καλὰ πάντων σὺ ποριμώτατε.

## Πυλαιμένει.

κ Αλῶς ποιεῖς εἰς τὴν ἔχουσαν τὸν βασιλέα πόλιν ἐπανελθών. εἰ γὰρ κἂν τοῖς ἰσαύρων ὄρεσιν, ἡ ἀγαθή σοι τύχη συνῆν, ἀλλ' ἔστιν εὐτυχία παρὰ τὸν τόπον εὐτυχεστέρα. ἐμοὶ δέ τι καὶ ἰδίᾳ διαφέρει, τὸ παραυτίκα σε προσιέναι τὰ βασίλεια. οὗ διατρίβων, καὶ λήψῃ καὶ πέμψεις ἐπιστολὰς, τὸ τιμαλφέστατον ἐμοὶ τῶν ἀπὸ θρᾴκης ἀγωγίμων.

Θεοτίμῳ.

π Αἰῶνα καλὰ τῆς Σιμωνίδου συνουσίας Ἱέρων ἀπέλαυσεν, ἢ Σιμωνίδης Ἱέρωνος. καὶ ναὶ, μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σὸν, οὔτε σὲ πλέον ἐμακάρισα τῆς Ἀνθεμίου τοῦ μεγάλου φιλίας, ἢ τῆς σῆς αὐτὸν ἐκεῖνον τὸν μέγαν Ἀνθέμιον. ἀνδρὶ γὰρ ἔχοντι δύναμιν, τί κτῆμα κάλλιον, ἢ φίλος ἦθος ἀκαπήλευτον παρεχόμενος. οἷον ἐγὼ Θεότιμον οἶδα τὴν πρὸς ταύτην τὴν θεοφιλῆ κεφαλήν. ἀλλὰ τοῦτο μὲν σὺ, Σιμωνίδου πλέον ποιεῖς. Σιμωνίδης γὰρ αὐτὸς ὡμολόγει, πρὸς ἀργύριον διαλέγεσθαι. ἐκεῖνο δὲ κοινὸν, ὅτι καὶ Σιμωνίδης Ἱέρωνα τῇ διαδοχῇ τοῦ χρόνου συνέστησε. καὶ διὰ τῆς Θεοτίμου ποιήσεως, ἔστ᾽ ἂν Ἕλληνες ὦσι, πολὺς Ἀνθέμιος ἐν ταῖς τῶν λόγων διατριβαῖς. ἀλλὰ τὸ μὲν Ῥωμαίων, ἐκεῖνος αὔξει. σὺ δὲ ἐκείνου τὸ ὄνομα. ποιητικὴν γὰρ ἔδωκεν ὁ θεὸς τὰ μεγέθη τὴν ἔκλαμψιν. ἧς τὸ καλὸν, εἰς σὲ περιῆκε.

Τῷ ἀδελφῷ.

α Πέπτωκέ φησί τις Ἰωάννης αἱμύλιον. ἕτερος δὲ, τοὺς πολιτευομένους ἐχθροὺς, ἐπ᾽ αὐτῷ ταῦτα συμπλάσαι. τὸ μὲν οὖν ἀληθὲς, οὐδὲν ἧττον καὶ ὁ χρόνος εὑρήσει. ἐγὼ δὲ καὶ τοῦ ἀδήλου τοῦ πράγματος ὄντος, οἶμαι δεῖν ἅπαντας ἐξῆς ἀποτροπιάζεσθαι. τὸν μὲν, ὅτι τοσοῦτός ἐστιν, ὥστε εἰ καὶ μὴ πεποίηκεν, ἀλλ᾽ ἐποίησεν ἄν. καὶ τοῖς ἑαυτοῦ τρόποις πρέπουσαν αἰτίαν ἐδέξατο. τοὺς δὲ, καὶ μὴ πλάσαντας, ὅτι συνέπλασαν ἄν. καὶ πρὸς αὐτῶν τὸ ἐγχείρημα. ὡς ἔστιν ἦθος ἀνοίκειον ὑποψίᾳ τινί. κἂν εἰ συνωμόται πολλοὶ μαρτυροῖεν, οὐδὲν αὐτοῖς ἔσται πλέον εἰς πίστιν. οἷον εἴ τις ἑταιρήσεως διώκοι τὸν αἴαντα, γέλως ἂν εἴη πλατύς. ὁ δὲ Ἀλέξανδρος, εἰ μὴ θῆλυς, ἀλλὰ θηλυδρίας γοῦν. καὶ τὴν αἰτίαν ἐχώρει.

τὸν οἶσαι

τὴν σύμφοιτον δὲ καὶ τὴν ὀδυνασίαν, μισῶ καὶ γὰρ εἴ τι ἂν λέγοιεν ἀληθὲς, ἀλλὰ τοιοῦτοί γε ἦσαν, οἷοι τὰ πλείω, ψεύδεσθαι. ἐγὼ δὲ οἷς ἀτυχῶ, λίαν εὐτυχῶ, πλὴν τῶν τοιούτων ἐχθρῶν καὶ φίλων στερούμενος. διαπέπεισθαί μοι τὰ πρὸς ἅπαντας. οὐδὲν ἐμοὶ πρὸς ἐκείνων ὄνειμα. ξένος ἐν ξένοις βιώσω. ὁ τρόπος ἡμᾶς πρὸς τοῦτον διῴκησεν. ὀδύρομαι δὲ τὸ κλεινὸν ἔδαφος τῆς κυρήνης ὃ, πάλαι μὲν εἶχον καρνεάδαι τε καὶ ἀρίστιπποι. νυνὶ δὲ ἰωάννης τε καὶ ἰούλιοι, μεθ' ὧν τὰ συνκαίρως γινόμενος, συγκαίρως ἀποδημῶ. σὺ δὲ ἀλλὰ μὴ δὲ γράφειν ἔτι μοι περὶ τῶν ἐκεῖθεν πραγμάτων τινός. μὴ δὲ συνιστάναι τοὺς ἔχοντας δίκας οὐ γὰρ ἂν ἐπιδοίην ἐμαυτὸν, ἐπὶ τούτων τινί. ἀτυχέστατος μὲν τἄλλα εἴην, εἰ τῶν μὲν ἀγαθῶν, τῆς φιλτάτης πατρίδος στεροίμην, μετέχοιμι δὲ αὐτῆς λοιπῶν καὶ πραγμάτων, ἀφελκόντων με τῆς ἐν φιλοσοφίᾳ ῥᾳστώνης. καὶ πενίαν τῆς ἀπραξίας ὡς κέρδος ἑλόμενος, τἀλλότρια κακὰ προῖκα πειράσωμαι.

Τοῦ αὐτοῦ.

α. Ῥαΐζουσιν ἐκ φυκιοῦντος ἀρχομένης ἕω, Δέλλιος ὁ ἵας τῷ κατ' ἐρυθρὰν κόλπῳ προσέσχομεν. ἐν διαζεύξαντες δὲ, ὅσον ὕδωρ πιεῖν ἢ ὑδρεύσασθαι, πλησίον ἐπ' αὐτὴν ἐκδιδόασι τὴν πόρρω καὶ τοῦ ἐλιδίσου ῥεύματος, ἐπισπευδόντων τῶν κυβερνητῶν, αὖθις ἀνήχθημεν. πνεύματι δὲ χρησάμενοι μετρίῳ μὲν, ἀλλ' ἐκ πρύμνης ἀεὶ, καὶ μέγα οὐδὲν ἐφικέσθαι ἡμέρας αὐτῆς ἐλπίσαντες, ἐλάθομεν ἐξηνυκότες ὅσον ἔδει. καὶ πέμπτῃ ποιοῦντες, πεφρυκτὸν ἰδόντες, ὃν αἴρουσιν ἀπὸ πύργου τοῖς καταιρομένοις σύνθημα, θᾶττον ἢ λόγος ἀποβιβασθέντες ἦμεν ἐν τῇ νήσῳ τῇ φάρῳ. λυπηρὰ δὲ ἦν οὕτως, ἐν ᾗ μήτε δένδρον ἐστὶν αὐτοφυὲς, μήτε κρήνη. αἰγιαλὲς τινές.

Τῷ αὐτῷ.

ν Κἄν τις Ἀθήνηθεν λέγεται κρηπιδοπώλης ἄνθρωπος παρ' οὗ μοι δοκεῖς καὶ πέρυσιν ἐωνῆσθαι τὰς ἀναξυρίδας ἐμβάδας. νῦν δέ φασιν αὐτὸν ἐπὶ μεῖζον ἐμπορεύεσθαι· κομίζονται στολὰς ἀττικουργεῖς. σοί τι θέλεις γε πρέποντα καὶ ἡμῖν ἀναβολὰς εἰς τὴν ὥραν τοῦ ἔτους. πρὶν ἂν οὖν ἀπώσας φθάσειεν ἀποδόμενος, ἢ τοὺς τὰ καλλίονος ἐργασίας, οἱ γὰρ πρῶτοι τυγχάνοντες, οὐχ ὑπὲρ τῶν κατόπιν, ἀλλ' ὑπὲρ ἑαυτῶν ἐκεῖθεν ἀξιοῦσι βουλεύεσθαι, ὡς κάλλιστοι τὸν ξένον, καὶ πρίω μοι τρεῖς ἢ τέτταρας τῶν ἀναβολῶν. πάντως ὅτι ἂν ὑπὲρ τὰ τιμῆς καταθῇ, παρ' ἐμοῦ σοι πολλαπλάσιον κείσεται. Τῷ αὐτῷ.

Ἡ τῆς ἐπιστολῆς ἀνοικειότητα κατηγορεῖ τοῦ διακομί-
μ ζοντος· ἀλλ' ὁ θαυμαστὸς Ἀκάκιος, οἶδα μὲν ὅσα κἀγώ,
ἐρεῖ δὲ καὶ ὧν οἶδα πλείονα, γάρ, τί σὺ δ' ἐραστὴς εἶναι. καὶ τὴν γλῶτταν ἔχειν νικῶσαν τὰ πράγματα. ὥστε τὴν ἐπιστολὴν παρὰ νόμον τοῦ προσειπεῖν σε πλέον, ἢ τῇ χρείᾳ χαρίζομαι. τὸ δὲ παγγέλλαί σοι περὶ τοῦ υἱοῦ Διοσκορίου, τοῦτο μὲν ὡς ὑγιαίνει. τοῦτο δ' ὡς ἀναγινώσκει, ἃ πρόσκειται τοῖς βιβλίοις, τοῦτο δὲ ἐπιστολῆς ὑπαρχέτω τιμή. ἡμεῖς δὲ αὐτοῦ, συμμοιρίαν ἀδελφῶν παρεχόμεθα. προσθέντες Ἡσυχίου ζεῦγος ἀδελφῶν ἀρρένων οὓς εὐτυχεῖς ποιήσειεν ὁ θεός, αὐτοῖς τε καὶ ἀδελφοῖς· καὶ γονέων οἴκῳ, καὶ λοιπῶν γένει, καὶ ταῖς πατρίσι πόλεσι. Τῷ αὐτῷ.

σ Υἱοὶ πατέρων μὲν καὶ ἰδιῶται καὶ ἱερεῖς, πλαττόμενοί τι-
νας ὀνείρους, οὓς αὐτοὶ καλοῦσιν ἀποκαλύψεις, ἐοίκασιν ὑπέρ μοι δώσειν κακόν, ἂν μὴ τάχιστα τὰς ἱερὰς Ἀθήνας καταλαβεῖν μοι γένηται. ὁσάκις ἂν οὖν ἐντυχεῖν σοι γένοιτο, ναυκλήρῳ Πειραι-

κῶ γρα

καὶ, γράφε πρὸς ἡμᾶς. ἐκεῖ γὰρ ἐντευξόμεθα ταῖς ἐπιστολαῖς. ὀνήσομαι δὲ οὐ μόνον τοῦτο τὸ ἐπὶ τὰς ἀθήρας ὁδοῦ, τὸ τῶν παρόντων ἀπηλλάχθαι δεινῶν, ἀλλὰ καὶ τὸ μηκέτι τοὺς ἐκεῖθεν ἥκοντας ἐπὶ λόγοις προσκυνεῖν. οἳ μηδὲν ἡμῶν τῶν θνητῶν διαφέρουσιν. οὔκουν εἰς σύνεσίν γε τῶν Ἀριστοτέλους καὶ Πλάτωνος. ἀναστρέφονται δὲ ἡμῖν, ὥσπερ ἐν ἡμιόνοις ἡμίθεοι. διότι τεθέανται τὴν ἀκαδημίαν καὶ τὸ λύκειον. καὶ τὴν ἐν ᾗ Ζήνων ἐφιλοσόφει ποικίλην, νῦν οὐκέτι οὖσαν ποικίλην. ὁ γὰρ ἀνθύπατος τὰς σανίδας ἀφείλετο. ἔπειτα ἐκώλυσεν αὐτοὺς ἐπὶ σοφίᾳ μεῖζον φρονεῖν.

Τῷ αὐτῷ.

ε Λύσας τὸ πρυμνήσιον. καὶ γὰρ τοὺς ἡμιόνους, ἕστηκα παρὰ τὴν ζεφυρεῖ πνευσόμενα. τῆς ἀπήνης δὲ ἀποβαίνοντος, ἤδη σοι τὸ ἱστίον ἦρται καὶ κατὰ πρύμναν ὁ ἄνεμος. ἀλλὰ τοῖς, τοῖς ὀφθαλμοῖς ὑμᾶς ἐφόσσον δακρυροοῦντες προὔπεμψα, καὶ πολλὰ τοῖς ἀνέμοις ὑπὲρ τῆς ἐρωμένης ψυχῆς διείλεγμαι, συνιστὰς αὐτοῖς τὸ σκάφος, ὅτι μοι τὸ τιμαλφέστατον φορτίον πεπίστευται. οἱ δέ, ἃ γάρ εἰσιν ἀνέραστοι τῶν καλῶν, ὑπέσχοντό μοι τὴν σὴν κομιδήν τε καὶ ἀνακομιδήν. ἔγωγε μὲν οὖν ἀγαθοὶ δαίμονες ὄντες, οὐκ ἄν ποτε ψεύσαιντο. σὺ δὲ ὥσπερ αὐτῶν ἐδεήθης τῶν ἐνθένδε, ἐκεῖσε πορθμευόντων, δεήθητι καὶ ἐκεῖθεν ἐνθάδε. πολὺ γὰρ ἂν ἡδίους τότε σοι παραγγέλοιντο.

Τῷ αὐτῷ.

α Διεκεῖς με ὦ θεία καὶ ἱερὰ κεφαλή. ψυχὴν ἁπλῆν ἀεὶ καὶ τὸ συνηθείας ἁλώσιμον, οὐ σέσωκας μὲν εἰς τὸ διαφερόντως ἀγαπᾶν σέ τε καὶ τὴν ἀδελφιδῆν, ἀφελόμενος διὰ σαυτοῦ τε καὶ τῆς ἀδελφιδῆς. ἱκανὴν μὲν οὖν ἔχων, διὰ πολλὴν ἐθεασάμην εἰκόνα. καὶ παρῆν μοι διὰ τῆς νεανίδος ὁ θεῖος αὐτῆς. νῦν δέ, ἅπαντα τὰ φίλα φροῦδα. καὶ μέμφομαι τῇ φύσει, διὰ τὴν ἀμεξίαν τῶν εἰς τὸ ἀδικεῖσθαι

ῥᾳστώνης. ἢ τί φιλοσοφίας ὄφελος, εἰς ἀρρενωπότερον ἀνακτήσομαι καὶ τὸ λοιπὸν σφενδαμνίνῳ μοι ἢ ἀκλινεστέρῳ συνέσεσθε.

## Κατὰ Ἀνδρονίκου.

α΄ Ἱκανοποιοὶ δυνάμεις ἐν κόσμῳ, συντελοῦσι μὲν τῇ χρείᾳ τῆς προνοίας. κολάζουσι γὰρ τοὺς ἀξίους κολάζεσθαι, εἰσὶ δ' ὅμως θεομισεῖς τε καὶ ἀπρόσποιοι. ἑτέρῳ γάρ φησιν ἔθνος ἐφ' ὑμᾶς ἀφήσω· πείσεσθε τόσα καὶ τόσα. ἢ πλουτῶν, αὐτοῖς ἐκείνοις, οἷς ἐπιστρατεύσῃ, φησὶν ἐπεξελεύσεσθαι, ὅτι παραλαβόντες ὑμᾶς οὐκ ἠλέησαν. οὐδὲ ἀνθρωπίνως ἐχρήσαντο. αὐτὰς μὲν γὰρ οὐκ ἐξεμελέτησαν τὰς ἱερὰς συλλαβάς. ἰσχυρίζομαι δὲ, ὥς ἐστιν, οὗ τῶν βιβλίων ὁ θεὸς ταῦτα λέγων περιίπται. καὶ οὐκ εἶπε μὲν οὕτως· οὐκ ἐποίησε δὲ, ἀλλὰ βαβυλώνιος βασιλεὺς, ἱερουσαλὴμ μὲν τὴν πόλιν κατέσκαψε. τὸ δὲ ἔθνος, ἐξηνδραποδίσατο. ὁ δὲ αὐτὸς οὗτος, οὐκ εἰς μακρὰν ἐμεμήνει· καὶ γέγονε δίκη θεοῦ ἐξερημωθῆναι τὴν πόλιν, ὡς εἰ καὶ γέγονεν ἐν τῷ τὸ πρῶτον πόλις, ἀναστηθῆναι. ἆρα τολμητέον ἐρέσθαι θεόν; διατί σὺ μὲν ἀνίστης ἄνδρας, τοὺς τοὺς ἡμαρτηκότας σοι τιμωρῆσαι. ὅταν δὲ ὑπηρετήσωσι τῷ θείῳ βουλήματι, τῶν γίνονται δήμιοι τούτοις, ἐφ' οὓς κατεπέμποντο, δέον ἐκτίσαι χάριν τῆς ὑπουργίας τότε δὴ μάλιστα καὶ κολάζονται. ἀλλ' ἢ κεκίνηκεν ἡμᾶς εἰς ἀπόκρισιν ὧν αὐτοῦ πυνθανόμεθα. Ἐπειδὴ παρὰ βεβλαμμένος τῇ διατάξει τοῦ θείου νόμου, παρῆλθεν εἰς ἀνθρώπους κακά. τὰ δὲ κακοποιὰ διαφερόντως κακά. περιουσία γὰρ φύσεως καὶ δραστήρια γίνονται. ἐπεὶ δ' οὖν ἅπαξ γέγονε τὰ κακὰ, τῆς θείας σοφίας καὶ ἀρετῆς ἡ δυνάμεως ἔργον ἐστὶν, οὐ μόνον τὸ ἀγαθοποιεῖν, φύσις γὰρ ὡς εἰπεῖν αὕτη θεοῦ, ὡς τοῦ πυρὸς τὸ θερμαίνειν, καὶ τοῦ φωτὸς τὸ φωτίζειν, ἀλλὰ κἀκεῖνο μάλιστα τὸ διὰ κακῶν ἐπιμορφῶσαι

πρὸς

πρός τινων, ἀγαθόν τι καὶ χρηστὸν τέλος ἀποτελεῖν, καὶ ὠφελίμας
τοῖς δοκοῦσι φαύλοις χρῆσθαι. καὶ γὰρ σοφίας ἐστὶν εὐμηχάνου,
καὶ τοῖς κακοῖς ἐν δέοντι χρήσασθαι. ὅπερ οὖν δεῖται κολαστῶν,
χρῆται νῦν μὲν ἀγγελάρχαις ἀπειθῶν, δαίμοσι νῦν δὲ ὧν ἔργα λοι-
μοί. καὶ νῦν μὲν ἔθνεσι βαρβάρων. νῦν δὲ ἄρχοντι πονηρῷ, καὶ κα-
θάπαξ εἰπεῖν, τοῖς ἐπιτηδείοις εἰς τὸ κακῶσαι κακά, δημοσίαις
φύσεσι. μισεῖ δὲ ὅμως αὐτάς, ὅτι πρὸς τοῦτο γεγόνασιν ἐπι-
τήδειοι. οὐ γὰρ ἐποίησεν ὁ θεὸς ὄργανα συμφορῶν. ἀλλ' ὑφ' ἑαυ-
τῶν εἰς τοῦτο ταχθεῖσιν ἑτοίμως ἐχρήσατο. καὶ διότι πρὸς τοῦτο
σὺ γέγονας χρήσιμος, αὐτὸ τοῦτό ἐστιν, ὃ καὶ παντάπασιν ἀποικό-
πτει τοῦ θεοῦ. οὕτω καὶ σκεῦος τὸ μὲν ἄτιμον. τὸ δέ, τίμιόν ἐστί τε καὶ
νομίζεται. κρίνεται γὰρ ἑκάτερον πρὸς ἥν τινα χρείαν παρέχε-
ται. τράπεζα μέν, ἱερὸν χρῆμα. δι' ἧς ὁ θεὸς τιμᾶται φίλιός τε
καὶ ξένιος. καὶ τὸν Ἀβραὰμ ἡ φιλοξενία, θεοῦ πεποίηκεν ἑστιάτο-
ρα. μάστιξ δὲ ἀποτρόπαιον. θυμῷ γὰρ ὑπηρετεῖται. καίτοι ἤδη
χρησάμενος αὐτῇ, μετενόησε. τῶν μέν τοι κολαζομένων ὁ θεὸς
κήδεται. οὐδὲ γὰρ οὐδὲ τοῦτο μικρόν, ἐπισκοπῆς ἀξιωθῆναι θε-
οῦ, καὶ καθαίρεσθαι διὰ δίκης τὰ ἁμαρτήματα. αἱ δὲ τιμωροὶ
φύσεις, αἱ παντάπασιν ἀπόστροφοι τοῦ θεοῦ. τὸ γὰρ ἀφανιστικόν,
τοῦ δημιουργοῦ δήπου πολέμιον. οὐ γὰρ οὐδὲ διαλύεται τὴν συνω-
μίαν ὁ τιμωρός. ἢ δαίμων, ἢ ἄνθρωπος, ὡς λειτουργίαν τινά, ταύ-
την εἰσφέρων θεῷ. ἀλλὰ τῇ μοχθηρίᾳ τῆς φύσεως χαριζόμενος
τὰς κοινὰς συμφορὰς ἐπεξέρχεται. οὐ τοίνυν ἐπειδὴ δυστυχεῖν
ἔδει τὴν πόλιν, σὺ δὲ τοῦτ' εἰργάσω, παρὰ τοῦτό σε δεῖ διαδρᾶ-
ναι τὴν δίκην. ταύτην γὰρ αὖ τὴν ἀπολογίαν καὶ Ἰούδας ἀπελο-
γήσατο. ἔδει γὰρ ὑπὲρ τῶν ἁπάντων ἁμαρτίας σταυρωθῆναι χριστόν, ἀλ-

λέλεκται μὲν φησὶν οὐδὲ, διὸ οὐ γίνεται, καὶ καλὸν ἦν τῷ ἀνθρώπῳ εἰ μὴ ἐγένετο. οὐκοῦν τὸ μὲν ὁρώμενον, ἀγχόνη τὴν προδοσίαν αὐτοῦ διεδέξατο· τὸ δ' οὐχ ὁρώμενον, οὐδ' ἂν ἐπινοήσειέ τις. οὐ γάρ ἐστιν ἐπίνοιαν ἀνθρώπων χωρῆσαι, τίνα γένοιτ' ἂν τῷ χριστοῦ προδότῃ τὰ κολαστήρια. τὸ γὰρ δὴ γενέσθαι ὑπηρετῆσαι τῷ χριστόν, οὐκ ἀστείας ἀπολογίας ἐστί. δεῖ τοίνυν ὅσον οὐδέπω καὶ αὐσυελαυνὺς καὶ ἀνδρόνικον, ὑπὲρ ὧν εἰς ἡμᾶς εἰργάσαντο, δίκην ἀξίαν κομίσασθαι. καὶ γὰρ τὴν ἀκέλδα τὴν λυμηναμένην ἡμῶν τοὺς κήπους, ἣ μέχρι μὲν καλάμης τὸ λήιον, μέχρι δὲ φλοιοῦ τὰ φυτὰ δαπανήσασαν, καταποντιστὴς ἄνεμος ἄρας, ὥσπερ εἰς μέσον τὸ πέλαγος. ταύτῃ μὲν οὖν τῇ πληγῇ, τὸν μόνον ἀντέταξεν ὁ θεός. καὶ ἐπαῦ συνελαυνὺς ἡ δίκη τις ἤρηται παρ' αὐτοῦ στρατηγός. ὡς εἴγε τοῦτο ἡμῖν εἴρηται, τῶν παρ' αὐτοῦ πώποτε στρατηγῶν, ὁ εὐσεβέστατόν τε καὶ δικαιότατον. τοῦτον ὑπὸ τῶν κατ' αὐτὸν τροπαίων, μακαρίσαι μοι γένοιτο· μακάριος γάρ φησιν, ὃς ἀνταποδώσει τὸ ἀνταπόδομα αὐτοῖς. μακάριος ὃς ἐδαφιεῖ τὰ νήπια αὐτῶν πρὸς τὴν πέτραν. τίς δὲ ἄρα· τίς ὄλεθρος περιμένει τὸν παλαμναῖον ἐν χώρας ἀνδρόνικον. τίς ἀξία γένοιτ' ἂν δίκη, ψυχῆς κακοεργάτιδος. ὡς ἐμοὶ τῶν πλησίον ἁπάντων αὐτὸς μετῆλθε τὰς ἁμαρτίας ἡμῶν ὁ θεός, ἀνδρόνικός ἐστι μακρῷ πάντων βαρύτερος. πρὸς δὲ τοῖς κοιναῖς συμφοραῖς, οὗτος ἐμόν ἐστι κακὸν ἴδιον. διὰ τοῦτον μὲ πεισεν ὁ πειράζων, ἵνα δραπετεύσω τοῦ θυσιαστηρίου τὴν λειτουργίαν. ἐπανακτέον δέ μοι μικρὸν αὖθις τὸν λόγον. ἵνοις ἴστε, προσθεὶς ἂν μὴ παύητες πυθόσηκε τι, ἀκόλουθον ὑμῖν τὴν διδασκαλίαν τῶν περὶ ἐμὲ πραγμάτων ποιήσωμαι. τὸ γὰρ πρὸς τὰ μετὰ ταῦτά μοι καλῶς ἔχει τούτων ὑμᾶς ἀκροατὰς μοι γενέσθαι. ἐμοὶ παιδόθεν

παρέστη

παρέσῃ θεῖον ἀγαθὸν εἶναι, σχολὴ καὶ τοῦ ζῆν εὐμάρεια. τοῦ δ' ὅ, ταῖς
θείαις φύσεσι προσήκει, τοῦτ' ἴσ' ἔφη· αὐτὸ τοῦ εἶναι, τὸ τὸν νοῦν ἐκ τῶν ἔξω
φέρειν καὶ συνεῖναι τῷ θεῷ, τὸν ἔχοντά τε αὐτὴν καὶ καθ' αὑτὸν μόνον.
ὅσα δὴ πολιτικά ἐστιν ἢ γίνεται πράγματα, τούτων ἐλάχιστον ἐγὼ με-
τέχω· καὶ ὅσα μειρακίοις, καὶ ὅσα νέοις, καὶ εἰς ἄνδρα παραγγεί-
λας, οὐδέν τι παιδείου πρὸς ἀπραγμοσύνην παρήλλαξα. ἀλ-
λ' ὥσπερ ἐν πανηγύρει σεμνῇ διεξάγω τὸν βίον, διὰ πάσης ἡλικί-
ας, ἵλεω καὶ ἀκύμαντον τῆς ψυχῆς ἐτήρησα τὴν διάθεσιν. οὐ
μὴν διὰ τοῦτο αὐτοῖς ἀσυντελῆ με πεποίηκεν ὁ θεός, ἀλλὰ πολλάκις
ἡμῖν τὰ ἰδιωτικὰ πολλοὶ εἰς δέον ἐχρήσαντο. ἐδίδου γὰρ ὁ θεός, δύ-
νασθαί τε τὰ μέγιστα καὶ τὰ κάλλιστα βούλεσθαι. τούτων οὐδὲν ἐμὲ τῆς φι-
λοσοφίας ἀφεῖλκεν. οὐ δὲ τὴν εὐδαίμονά μοι σχολὴν ὑπετέμνε-
το. τὸ γὰρ ἐθισμῷ καὶ μόχθῳ καὶ μόλις ποιεῖν, τοῦτό ἐστιν ὃ δαπα-
νᾷ τὸν χρόνον. καὶ τὴν ψυχὴν ἐμβαπτίζει μερίμναις πραγμά-
των ὅτῳ δὲ εἰπεῖν μόνον καθήκει, ἡ πειθὼ δὲ ἕπεται, καὶ ὁ λόγος ἀ-
νυσιμώτατός ἐστι παρὰ τοῖς ἀκούουσι, τοῖς φιλοδώροις ἡμαρτων, ἵ-
να δυστυχίας τις ἐλευθερωθῇ. τίμιον ζῷον ὁ ἄνθρωπος. τίμι-
ον γὰρ εἰ δι' αὐτὸν ἐσταυρώθη Χριστός. ἐμοὶ δὲ τὸ πείθειν ἀνθρώπους εἰς
τὸν μέχρι τοῦ παρόντος ἐνιαυτόν, τάχα μὲν θεῖος κλῆρος ἐγένε-
το· τάχα δὲ μόλις πραγμάτων ἀπόμοιρος, ἐπετύγχανον. νῦν
γὰρ δὴ τὸ πρᾶγμα ἔοικεν ἐκλελέχθαι μετὰ πολλῶν, ἅτινα σα-
φῶς ἴσῃ τοῦ θεοῦ, καὶ τοῦ παρεπίθου αὐτῷ. καὶ ἔζων μετὰ ἀγα-
θῶν τῶν ἐλπίδων, ὥσπερ ἐν ἱερῷ περιβόλῳ τῷ κόσμῳ, ζῷον
ἄφετον ἀνειμένον ζῶν εὐχῇ καὶ βιβλίῳ καὶ θήρᾳ μερίζων
τὸν βίον. ἵνα γὰρ ὑγιαίνῃ ψυχή τε καὶ σῶμα, τὸ μήτι δεῖ ποιεῖν.
τὸ ἦ, αἰτεῖν τὸν θεόν. μετὰ τοιαύτης εὐμαρείας εἵλκυσα τοὺς ἐνι-

αὐτούς, τοὺς μέχρι τῆς ἱερωσύνης αἱρέσεως. πρὸς τὴν ἐμὴν παρὰ τοὺς πώποτε ἀφλότατος γέγονα. μαρτύρομαι τὸν ἐπὶ πᾶσι θεὸν ὃν οὐ δι᾽ ὑμᾶς ἐγὼ τὰς ἀπορρήτους ἐβάστασα τελετάς, δίχα τῶν ἀνθρωπίνων περιόδων τε καὶ σπουδῶν, αὐτὴν κατὰ μόνας ἐν τοῖς ἄλλοις καιροῖς τε καὶ τόποις προσῆλθον θεῷ. καὶ προσκυνήσας καὶ γονυπετὴς ἱκέτης γενόμενος, θάνατον ἀντὶ ἱερωσύνης ᾑρούμην. αἰδὼς γάρ τίς με καὶ φιλία κατεῖχε τῆς ἐν φιλοσοφίᾳ σχολῆς, ὑπὲρ ἧς ἅπαντα δρᾶν ᾤμην ὑπομένειν τε καὶ λέγειν. ἀλλ᾽ ἐπειδὴ τῶν μὲν ἀνθρώπων ἐκράτουν, τοῦ θεοῦ δὲ ἡττώμην, ὡς κοινὴ φήμη, τὸν ἀξιούμενον εἶναι συνώνυμον θεοῦ, ἔφερον, ἀλλὰ δυσηνιώντως τὴν καινοτομίαν τοῦ βίου. δρασμὸν δὲ ἐπιθέμενον, ἐλπὶς ἀγαθῶν καὶ φόβος χειρόνων ἀνέκοψε. καὶ λεγόντων ἤκουσα γερόντων ἱερῶν ὅτι με θεὸς ποιμαίνει. καί τις τῶν λέξεων εἶπεν, ὡς ἱλαρόν ἐστι τὸ πνεῦμα τὸ ἅγιον. καὶ ἱλαρύνει τοὺς μετόχους αὐτοῦ. καὶ προσέθηκεν, ὡς ἀμφισβητήσαι ἡμῖν πρὸς θεὸν δαίμονες, οὓς λυπῶν προσχωρήσας τῇ μερίδι τῇ κρείττονι. ἀλλὰ κἄν τι προσβάλλωσι χαλεπὸν, οὐκ ἀμελεῖται φησὶ φιλόσοφος ἱερωμένος. ἐγὼ μὲν οὖν, οὐ γὰρ ῥᾴδιός εἰμι χαυνωθῆναι καὶ λαμπρόν τι λογίσασθαι περὶ ἐμαυτοῦ, τὴν ἀτυχίαν ᾐτιασάμην. ἀλλ᾽ οὐχ ὑπὸ φθόνου δαίμονος. ὃ δ᾽ οἶμαί μοι προσῆκεν ἀρετὴν, ἥτις αὖ τοὺς βασάνους ἐκίνησεν. ἀλλ᾽ ἐφόβει μὴ μᾶλλον δίκας ὄφλοιτο παρ᾽ ἀξίαν ἀψαυσθῆς μυστηρίων θεοῦ. καὶ ταύτην τὴν ἀτυχίαν ἐμαντευόμην, εἰς τὴν ἐκ κατὰ μικρὸν ὤλισθον. ἀλλὰ παρὴν ἐνθάδε. καὶ τὰ δεινὰ πάντα περὶ ἦν. καὶ χρηστὸς πάντων Ἀνδρόνικος δαίμων ἀρχὴ ἀπλήστου συμφορᾶς. καὶ ἐλεεινοῖς λειψάνοις ἐγκεῖμαι. ἐκ πάντων κατὰ τῆς ἀγορᾶς ἀνδρῶν οἰμωγαί. γυναικῶν ὀλολυγαί, παίδων ὀλοφυρμοί, σχῆμα ἐλεεινὸν ἑαλωκυίας αὐτῇ περιτέθεικεν. ἧς τὸ κάλλιστον μέρος ἀποτεμόμενος, τίσεως χωρίον ὀνομασθῆναι γέγονεν αἴτιος,

τὴν στοὰν

τὴν στοὰν τὴν βασίλειον τὸ πάλαι κεστήριον, ἀποδείξας βασανι-
στήριον, ταύτην δαίμοσι ποινίμοις, οἷς ἑαυτὸν ἄρας προσένειμε
βωμὸν καὶ τράπεζαν παρέθηκεν. ὦ πόσους αὐτοὺς πολιτῶν εἱστία-
σε δάκρυσι. ποῖοι ταυροσκῦθαι, τίνες λακεδαιμόνιοι, τοσούτω
τῷ διὰ τῶν μαστίγων αἵματι τὴν παρ᾽ αὐτοῖς ἐτίμησαν ἄρτεμιν.
δρόμος ἁπάντων εὐθὺς ἐπ᾽ ἐμέ. καὶ πανταχόθεν εὐθὺς ἐβαλλό-
μην, ἀκοῇ τὰ θέας κακῶν. νουθετήσας, οὐκ ἔπεισα. ἐπιτιμήσας,
ἠρέθισα. ὁ πονηρὸς καιρός, ἤλεγξεν ἡμῶν τὴν ἀσθένειαν, ἣν μέ-
χρι νῦν ἐκρύπτεν ἀπὸ τῶν ἀνθρώπων θεός. συγχαιρουμένων γὰρ ἀεὶ
τιμὴν καρπωσάμενος, παρέχειν ὑποψίαν τῇ πατρίδι δυνά-
μενος. καὶ τοῦτο τὸ χαλεπώτατον τῶν συμβεβηκότων ἐστί μοι.
πρὸς γὰρ τὴν ἐλπίδα τῶν ἠγνοηκότων μεκρίνομαι. οὐδὲ γὰρ πεί-
θω λέγων αὐτοὺς ὡς οὐ δύναμαι. ἀπαξιοῦμαι πάντα τὰ δίκαια
δυνάσθαι. περίεστιν οὖν αἰσχύνεσθαι καὶ λυπεῖσθαι. πάθος εὐθὺς ἐν
ψυχῇ. καὶ ποικιλία φροντίδων. καὶ εἰδωλοποιία πραγμάτων.
ἢ μακρὰν ὁ θεὸς ἐκ δαιμόνων εἰσὶ προσβολαὶ τὰ γινόμενα δι᾽ ἀνθρωποῖ
κε, πάντ᾽ ἐποίησαν ὅσον ἐβούλοντο. οὐκ ἔτι γοῦν συνήθους ἐν εὐχαῖς τῆς εὐ
θυμίας ᾐσθόμην. ἀλλὰ τὸ μὲν σχῆμα, εὐχῆς. ἐγὼ δὲ καὶ περιη-
νέχθην ἁπανταχοῦ τῶν πραγμάτων, ὀργῇ καὶ λύπῃ καὶ πάσι
πάθεσι μεριζόμενος. καίτοι διὰ τοῦ τῷ θεῷ συγγινόμεθα. πλοῦ-
τα δὲ ἀνθρώπεια τὰ πρὸς ἀνθρώπους ὑπηρετεῖ. ἐπείνων ἐν εὐχαῖς
ἀπροσεξίαν ἠτύχηκα καὶ παραπόδας ἡ πεῖρα, γὰρ ἔτοι τοῦ βίου
μεταβολῆς οὐ ταύτῃ μόνον εἰς καιρὸν ἀπολέλαυκα, ἐξ ἀπροσε-
ξίας εὑράμενος πράγματα, ἀλλὰ πένθος τὸ μέχρι πρώην δια-
γνόμενος, νεκρὸν ἐπεῖδον, οὐ προαποθανεῖν ηὐχόμην. οὕτω πι-
κροῖς ἡμᾶς ἡ πόλις ἐπιβατηρίοις ἐξένισεν, ὡς ἅμα τοῖς ἀνθρώ-

ποις τὰ πράγματα· νῦν μὲν ἄνω· νῦν δὲ κάτω χωρεῖ· καὶ ῥοῦς ἦ-
κε φέρων ἀθρόα πολλά. νῦν μὲν αἴσια. νῦν δὲ ἀπαίσια· ἀλλ' ἐπεισ-
ῆλθέ μοι συνέπεσεν ἀποβαλεῖν τῶν παιδίων τὸ φίλτατον, καὶ, ἐργα-
σάμενον αὐτὸς τι δεινὸν ἐμαυτόν. οὕτως ἑαλώκειν τοῦ πάθους. ἐγὼ
γέρων τὰ μὲν ἄλλα ἄῤῥην εἰμί. λέγω δὲ ἐν εἰδόσι. καὶ πολλὰ δουλα-
του λόγου· συνηθείας δὲ οὕτω τοιαύτης, ὡς ταύτῃ κρατεῖν τὴν ἀλο-
γίαν τοῦ λόγου. οὐκοῦν οὐδὲ τοῖς ἐκ φιλοσοφίας δόγμασι τοῦ πα-
ρόντος πάθους ἐκράτησα. ἀλλ' Ἀνδρόνικος ἀντιπεπλήγαμεν. καὶ
πρὸς τοῖς κοινοῖς συμφοραῖς τὸν νοῦν ἔχειν ἐποίησε. καὶ γεγόνασί
μοι συμφοραὶ παραμυθίαι τῶν συμφορῶν. πρὸς ἑαυτοὺς ἀνθέλ-
κουσαι· καὶ πάθος ἐκκρούουσαι. συνεπιτίθεται δή μοι τῇ πικρᾷ
τῶν παρόντων αἰσθήσει, μνήμη τῶν παρελθόντων ἀγαθῶν, ἐξ οἵ-
ων ἄρα, ἐν οἵοις γέγονα μέν. καὶ ζῶ πονηρῶς ἅμα πάντων ἀφῃρη-
μένος. τὸ μὲν οὖν μέγιστον τῶν κακῶν, ὅ μοι δύσελπιν εἶναι τὸν
βίον ποιεῖ, οὐκ εἰωθὼς ἀποτυγχάνειν ἐν ἱκεσίαις θεοῦ, νῦν πρῶτον
οἶδα μάτην εὐξάμενος. εἶτα τὴν μὲν οἰκίαν, καλῶς πρότερον οὖ-
σαν ὁρῶ. τὴν δὲ πατρίδα δυστυχοῦσαν, οἰκεῖν ἀναγκάζομαι. πο-
σὶ δὲ ἐκκείμενος ἐφῶ προσανακλάεσθαι, καὶ τὰ κατ' αὐτὸν ἕκα-
στον ὀλοφύρεσθαι, ἔλεον αὐτοῖς ἀνόνητον ἐλεῶ. καὶ πρόσεστι τὸ αἰ-
σχύνεσθαι, ὅτι πολίτην ἄνδρα χρησάμενον συμφοραῖς καὶ κλαπέν-
τα χρυσίον δημόσιον, ἀπαιτήσας στατῆρας ὑπὲρ μυρίους, ἐγνώκειν
ἀναβολὴν μηδὲ δοὺς ἀποκτεῖναι διὰ χιλίους. μᾶλλον δὲ δι' ἐμέ.
δι' ἐμὲ γὰρ αὐτὸν ἔχει καθείρξας, εἰς ἀνεπιχείρητον φρούριον, ἐν
οἷον τοὺς Τιτᾶνας δεδέσθαι ποιητῶν παῖδες φαντάζονται. καὶ ἵνα
μὴ ἀφαιρεθῇ φησὶ παρ' ἐμοῦ, δι' ὃ πέμπτην ταύτην ἡμέραν ἄσιτον
εἶναι τὸν ἄνδρα, εἰσαγωγῆς ἄρτων ἀπηγορευμένης τοῖς δεσμοφύλα-
ξιν.

ξιν. ἀλλὰ πρώην αὐτοῦ κεκραγότος ἅπαντες ἠκούσατε, ὡς ὠφελι-
μώτερος ἔσται τῶν χιλίων στρατιωτῶν ἀποθανὼν ὁ πολιτευόμενος. διὸ
καὶ τοὺς προσιόντας αὐτῷ τῇ τῶν χωρίων ὠνῇ, φοβεῖ καὶ ταράττει καὶ
πάντα τρόπον ἀφίστησιν. οὐ γὰρ οἶμαι δεῖ τοῦ χρυσίου. τοῦ δὲ τεθνά-
ναι τὸν ἄνδρα δεῖ. ἐγὼ δὲ ὅτι ἰσχυρός εἰμι πρὸς τὸ τείχεσιν ἐρυμνοῖς
προσβαλεῖν, ὅτε εὐμήχανος προσερπύσαι. καὶ τῆς συμφορᾶς ἐξελέ-
σθαι τὸν ἄνδρα. παρέλκουσι δὲ φασί τινες, οὐδεὶς οὐδένα. οἱ γὰρ ὑπηρέται,
φύσει μὲν εἰσὶν οἵτινές εἰσι. νῦν δὲ καὶ πρὸς τὰ πράγματα ζῶσιν ἀνδρό-
νικον. ὃς ὑπὲρ τῶν τὴν ἐκκλησίαν ἀτιμῶν προκαθέζεται. τὸν μὲν οὖν
εἰς ἡμᾶς αὐτοῦ, λόγος οὐδείς. ὡς ἐγὼ καὶ, χαίρειν εἰδείην αὐτῷ, τὴν
διὰ τὸν ἀτιμίαν δεχόμενος μαρτύρια. ἀναμνήσθητε γὰρ ὑμεῖς, τίς ἦν
πρὸς ἐμὲ, τὸν εἰ μηδὲν ἄλλο τὸν δὲ ἐκείνου γενόμενος. ἀπευρυνθέντος τὸ
καταγαγόντος δωρεὰς εἰς σπορτήν. μέχρι τοῦ μὲν παιδὸς αἱ διαδο-
χαὶ τοῖς δημοσίοις ἐνεκολάφθησαν κύρβεσιν, αὐτὸς οὐκ ἔχων εἰπεῖν, ὄ-
νομα πάππου. ἀλλὰ γὰρ πατρὸς φασὶ, πλὴν ὅσον εἰκάσαι. ἀποθνήσκο-
μένου δὲ ὑπὲρ τῆς ἡγεμονικῆς ἀπήνης ἀλλάμενος. ὅστις οὖν τὴν ἐν πόλει
λαμπρότητα τεθαυμακὼς, αἰσχυνέσθω τοῖς ἐλλείμμασιν. ἀλλ' ἐγέγραπτο
μέχρι τῆς ἱερωσύνης, καὶ τιμῆς ἐνεφορήθην, καὶ ἀτιμίας οὐκ ἐγευσά-
μην. μηνὶ δὲ οὔτ' ἂν ἡδεῖν τιμώμενος, οὔτε καταφρονούμενος ἄχθομαι.
οὐδέτερον γὰρ αὐτῶν ἔτι παρὰ τοῦ τοιούτου εἰς ἐμὲ δοκεῖ γίνεσθαι.
ἀλλ' ἑκάτερον εἰς ἀναφορὰν τοῦ θεοῦ. διόπερ ὁ πάντα τολμῶν οὗτος
αὐτὸς, ὡς οὐδὲν ὅτε λέγων, ὅτι ποῦ παρεκίνησεν, ἀφθεὶς ἀφ' ἡμῶν, αὐ-
τῶν διακηρύττει τῶν θεῶν. καὶ φωνὰς ἀφῆκεν ὑπὸ συνεστώτων καὶ πε-
ριεστώτων λαῶν, ἃς αὐτίκα, τῆς πρὸς ἅπαντα χοῦ γῆς ἐκκλησία, ἐπι-
στολῆς ἀναγινωσκομένης ἀκούσεσθε. τοιοῦτον γὰρ ἐστὶ φύσις ἀπαιδευ-
τος ἐπειλημμένη δυνάμεως τῇ κεφαλῇ τὸν οὐρανὸν ἐξαράσσειν ἐπι-

χειρός. ἔστω. δυνάσθω. κεχρήσθω. τῇ φύσει. τῷ καιρῷ. ἀποκτιν-
νύτω. διὰ τῶν πολεμίων ὅμως τινὰ βάλλεσθαι. ἡμῖν δ᾽ ἀπέχει, μένουσιν
τῶν τῆς τάξεως, ἐφ᾽ ἧς ἡμᾶς ἔταξεν ὁ θεός, ἀπηλλάχθαι μὲν τῆς
κοινωνίας τῶν πονηρῶν. ἀνῦσαι δ᾽ ἀκοὰς βλασφημοσύνης ἀλε-
γεινῆς. ἀπεγνῶμαι δὲ προστασίας ἀδικουμένων, ἀπολελοιπμένος
τῷ δήμῳ διὰ τῆς ματαίας ἐπιχειρήσεως. ὁ νοῦ μέγεθος ἔχοντος ἦν
καὶ πρὸ πείρας ποιῆσαι. νῦν δὲ περιεμείναμεν ὑμᾶς ἐκ τῶν
πραγμάτων συμψήφους ποιήσασθαι, ὅτι πολιτικὴν ἀρετὴν ἱε-
ρωσύνῃ συνάπτειν, τὸ κλώθειν ἐστὶ τὰ ἀσύγκλωστα. ὁ πάλαι χρό-
νος ἤνεγκε τοὺς αὐτοὺς ἱερέας τε καὶ κριτάς. καὶ γὰρ αἰγύπτιοι
καὶ τὸ ἑβραίων ἔθνος, χρόνον συχνὸν ὑπὸ τῶν ἱερέων ἐβασιλεύθη-
σαν. εἶτ᾽ ἐπειδή μοι δοκεῖ τὸ θεῖον ἔργον ἀνθρωπίνως ἐπράττετο, δι-
ώρισεν ὁ θεὸς τοὺς βίους. καὶ ὁ μέν, ἱερός. ὁ δέ, ἡγεμονικὸς ἀπε-
δείχθη. τοὺς μὲν γάρ, εἰς ὕλην ἐπέστρεψε. τοὺς δέ, συνέταξεν ἑαυ-
τῷ. τετάχαται δέ, οἱ μέν, ἐν τοῖς πράγμασιν. ἡμεῖς δὲ ἐν εὐχαῖς εἶ-
ναι. τὸ δὲ καλὸν ἀπαιτεῖ παρ᾽ ἀμφοῖν ὁ θεός. πῶς οὖν ἐπαινετέος· τὸ
δὲ συνάπτειν πειρᾶ, τὰ κεχωρισμένα παρὰ τοῦ θεοῦ, ὃς οὐδὲ δι-
οικεῖν ἡμᾶς, ἀλλὰ παραδοικεῖν ἀξιοῖ. οὗ τί γένοιτ᾽ ἂν ἀθλιώτε-
ρον. προστάτου σοι δεῖ; βάδιζε παρὰ τὸν ἐπιτροπεύοντα τῶν νό-
μων τῆς πολιτείας. τοῦ θεοῦ σοί τι δεῖ; ἴθι παρὰ τὸν ἱερέα τῆς πό-
λεως. οὐχ ὡς ἐνταῦθεν ὂν τὸ πάντως ἐπιτυχεῖν. ἀλλ᾽ ὡς ἐγὼ προθυ-
μήσομαι. ἂν δὲ ἐπιτρέπῃ τις ἠρεμεῖν, τάχα ποτὲ καὶ δυνήσομαι.
ἅμα γὰρ ἀποστρέφεται τὴν ὕλην, καὶ πρὸς θεὸν ἐπιστρέφεται.
θεωρία τέλος ἐστὶν ἱερωσύνης, μὴ ψευδομένης τὸ ὄνομα. θεωρία δὲ
καὶ πρᾶξις, οὐκ ἀξιοῦσι συγγίνεσθαι. ὁρμὴ μὲν γάρ, ὁρμὴ πράξεων.
οὐδεμία δὲ ἀπαθής. ἀλλὰ δεῖ κενὴν εἶναι παθῶν τὴν ψυχὴν

τὴν μέλ

τὴν μέλλουσαν ἔσεσθαι δοχεῖον θεοῦ. μὴ καθαρῷ γὰρ φησὶ καθαροῦ ἐφάπτεσθαι, μὴ οὐ θεμιτὸν ᾖ, σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ θεός. σχολῆς δεῖ τῷ μετὰ φιλοσοφίας ἱερατεύοντι. οὐ καταδικάζω τῶν ἐπισκόπων τοὺς ἐν τοῖς πράγμασιν. ἀλλ' ἐμαυτὸν εἰδὼς μόλις ἐκ θατέρου ἐξικνούμενον, ἄγαμαι τῶν δυναμένων ἑκάτερα. ἐμὴ δύναμις οὐκ ἔστι δυσὶ κυρίοις δουλεύειν. ἐν δ' εἰσί τινες, οἳ μηδὲ ἀπὸ τῆς συγκαταβάσεως βλάπτονται, δύναιντο δ' ἂν καὶ ἱερᾶσθαι, καὶ πόλεων προστατεῖν. ἀκτὶς ἡλίου κἂν ὁμιλήσῃ βορβόρῳ, μένει καθαρὰ καὶ ἀμόλυντος. ἐγὼ δὲ ταυτὸ τοῦ γε παθῶν, πηγῶν καὶ θαλάττης δεήσομαι. καὶ εἰ δυνατὸν ἦν ἀγγέλῳ, πλεῖν ἢ τριάκοντα ἐνιαυτοὺς συνανθρωπεύσαντι, μηδὲν ἀπολαῦσαι τῆς ὕλης κακὸν εἰς προσπάθειαν, τί δεῖ καταβῆναι τὸν υἱὸν τοῦ θεοῦ. ἀλλ' ἔστι περιουσία δυνάμεως, ὁμιλῆσαι τοῖς χείροσι, μένειν ἐπὶ τῆς φύσεως, καὶ μηδένα τρόπον παθαίνεσθαι. τοῦτο θεοῦ μόνου ὕμνος ἐστίν. ἀνθρώπῳ δὲ παραίτησις γίνεται δι' εὐλαβουμένῳ τῆς φύσεως αὐτοῦ τὴν ἀσθένειαν, κατὰ τούτους ὑμῖν ἐγὼ τοὺς ὅρους συνίσταμαι. οὐ μὴν γὰρ ἐκείνους καιρούς, ἐμαυτὸν ἀφαιρήσομαι ὡς ὅταν δέῃ κατιόντα, κατιέναι. τουτέστι διὰ τῆς τυχούσης ἐπιστροφῆς, ἀγαθόν τι μέγα ποιεῖν. οὕτω καὶ ὁ θεὸς πολιτεύεται. τὸ προσπεπτωκέναι δέδιε τὸ διάφορον. οὐ μή τι θεία φύσις ἀνέχεται, μήποτέ τις ἑαυτὸν ἀπευθύνῃ πρὸς τὸν θεόν. εἰ γέγραμμαι χρημάτων ἐκ τῆς μάτων ἐπιμελής, εἰ συνίστημι λογισμοὺς δεχομένων τῆς καθημέραν ἢ κατ' ἔτος διαπάνης, ἔπειτα ἐν τοῖς ὑμετέροις τοῦ χρόνου φείδομαι, ἀλαζών εἰμι καὶ οὐκ ἀξιῶ συγγινώσκεσθαι. εἰ δὲ ἀμελήσας τῶν οἴκοι πρότερον, τῇ κατὰ ῥοῦν ἐνεργείᾳ συνέταξα τὴν ζωήν, τί δέομαι εἰ τῶν ἴσων ὑμᾶς ἀξιῶ. ἀλλ' ἐπεὶ τούτοις ὑμᾶς οὐκ ἀρέ-

σκόμεν, ὡς ὄντων ἑτέρων οἳ δύνανται κατὰ ταυτὸν ἐν ἀμφοῖν εὖ διαπό-
νεσθαι, ἔξεστι βελτίοσι τὸ λοιπὸν τῆς πόλεως καὶ τοῖς ἐκκλησίαις
κἀμὲ μόνον ἐκδιαζόμεθα τὴν ἱερωσύνην. μήποτε δυνηθείη τοσοῦτον αὐ-
θρόνικος. ἀγαθῶς γὰρ ἐγὼ φιλόσοφος ἐγενόμην δημόσιος, οὐ θεατροσκη-
νικὸν ἐπεθέμην, οὐδὲ διδασκαλεῖον ἤνοιξα, καὶ οὐδὲν ἧττον εἶναι
καὶ εἶναι φιλόσοφος, οὕτως οὐδ᾽ ἱερεὺς δημόσιος εἶναι βούλομαι. ἐχ
ἄπους ἅπαντα δύναται. ἐγὼ συγγενόμενος ἐμαυτῷ, καὶ διὰ τὸ τῶν
θεῶν, καταβὰς ἀπὸ θεωρίας, δύναμαι συνουσίας οὐκ ἀηδεστέρας τυχ-
εῖν, πρὸς ἕνα καὶ δύο. καὶ οὐδὲ τούτοις ἀπαλαίους, ἀλλ᾽ εἴ τινές εἰσιν, ἢ
φύσεως λαχόντες, ἢ ἀγωγῆς εὐτυχήσαντες, ὥσπερ οὖν τεθαυμα-
κέναι πρὸ σώματος. ἀγαθὰ δὲ διὰ πολλῶν πραγμάτων ἁπτόμενος.
μετὰ γὰρ ἐμαυτοῦ ῥᾳστώνης, γενοίμην ἄν, τῷ καιρῷ χρήσιμος.
καταχωννύμενος δὲ ὑπὸ τούτων, ἐμαυτοῦ ἐπιλήσμων εἰμί, καὶ
τῶν πραγμάτων ζημίαν τίω. οὐ γὰρ ῥᾷστα μισοῦντα καλῶς τι ποιεῖν.
ἀγαθὸ μὴ παρὰ τῇ γνώμῃ δεδογμένα ποιῶν, ἄθυμος ἔρχεται πρὸς τὴν
πρᾶξιν ἧς προσήκει δεῖ. ὅστις δὲ πρὸς μελαγχολίαν οἰκείως ἔχει, καὶ οὐκ
ἔστιν ὅπως ἐπὶ τῶν χολάζοντι χρήσαιτο, αὐτὸ δὲ τὸ πᾶν ὅπερ ἐστὶ δημο-
φιλέστατος αὐτός, πολυχωροτάτη φύσει καὶ τοῖς ἁπάντων ἀρκοῦσα
φροντίσιν, ὅστις ἐπειδὴ πέφυκεν οὕτω καὶ βούλεται, ὁ τοιοῦτος καὶ
χαίρειν εὐδείη τοῖς ἑλκύσασιν αὐτὸν ἐφ᾽ ἑαυτοῖς περιστάσεσιν. ὑποθέ-
σεις γὰρ αὐτοῦ τῇ φύσει χαρίζονται. καὶ μέγιστον εἰς τὸ κατορθοῦν ἐ-
φόδιον ἡ φιλία τοῦ πράγματος. διαμαρτητέος οὖν ἅπασιν ὑμῖν ὁ λυ-
σιτελέστερος αὐτός. καὶ αὐθαιρετέος ἡμῶν οἱ μόνοι μόλις σωζόμε-
θα. τί κεκράγατε. οὐ διότι μήπω γέγονεν, ἀξιοῦσι μὴ δὲ νῦν γενέ-
σθαι. πολλὰ τῶν δεόντων ὁ χρόνος διευρὼν διωρθώσατο. ἐχ ἅπαν-
τα πρὸς τὰ παραδείγματα γίνεται. καὶ τῶν γινομένων ἕκαστον, ἀρχὴν ἔσχε.
καὶ πρὶν γενέσθαι μήπω γινόμενον ἦν. ἀξιώτερον ἐστὶ προτιμηθῆναι

τῆς συνηθείας τὸ χρήσιμον. ἡμεῖς ἀρχὴν δὲ μὴ ἔθεσθε βελτίονι. αὐ-
θαιρετώτερος οὖν ἡμῶν, ἢ μεθ' ἡμῶν αἱρετέος. πάντως δὲ αἱρετέος ὁ αὐτὸς
ὅστις ἂν ᾖ, πάντως ἐμοῦ τὰ πολιτικὰ μακρῷ φανεῖται σοφώτε-
ρος καὶ δυνήσεται τὰ δύστηνα ταυτασί, ὑπὲρ ὑμῶν διομιλεῖν καὶ
μεταχειρίζεσθαι. οὐκοῦν ἐμὲ μήπω δοκεῖ, τοῦτο μὲν, εἰσαῦθις ἀναθώ-
μεθα. δέξεσθαι γὰρ ὑπὲρ αὐτοῦ κατὰ μόνας καὶ μετὰ ἀλλήλων βουλεύ-
σεσθε. νυνὶ δὲ οἷς τὸ συνέδριον μετῆλθε, τὴν ἀνδρονίκου μανίαν
ἀκούσατε.

Πρὸς τοὺς ἐπισκόπους.

α Νδρόνικον τὸν Βερονικέα τὸν κακὴν τῆς πόλεως μοῖ-
ραν καὶ φύντα καὶ τραφέντα, καὶ αὐξηθέντα καὶ τὴν ἀρχὴν τῆς ἐνεγκού-
σης αὐτὸν ἀρνησάμενον, μήτε εὐχέσθω τις, μήτε καλείτω χριστιανόν·
ἀλλ' ὡς ἀλιτήριος ὢν τοῦ θεοῦ, πάσης ἐκκλησίας ἀπεληλάσθω πα-
νέστιος. οὐ διότι γέγονε τῆς πόλεως ἐσχάτη πληγή, μετὰ σει-
σμόν. μετὰ ἀκρίδα. μετὰ λιμόν. μετὰ πῦρ. μετὰ πόλεμον, ἐ-
πεξελθὼν ἀκριβῶς τοῖς ἐκείνων ἐγκαταλείμμασιν, ἄτοπα κολα-
στηρίων γένη καὶ σχήματα, πρῶτος εἰς τὴν χώραν εἰσενεγκών, εἰ δὲ δεῖ εἰ-
πεῖν, ὅτι καὶ μόνος χρησάμενος δακτυλήθραν καὶ ποδοστράβην καὶ πιε-
στῆρα καὶ ῥινολαβίδα καὶ ὠτάγραν καὶ χειλοστρόφιον, ὧν οἱ προ-
λαβόντες τὴν πεῖράν τε καὶ τὴν θέαν καὶ τῷ πολέμῳ προσαπολόμε-
νοι, περὶ τῶν κακῶν περιόντων ἐμακαρίσθησαν, ἀλλ' ὅτι πρῶτος
περὶ ἡμῖν ἢ μόνος, ἔργῳ καὶ λόγῳ τὸν χριστὸν ἐβλασφήμησεν. ἔργῳ
μὲν ἀφεὶς τῇ θύρᾳ τῆς ἐκκλησίας προσεπαττάλευσεν ἑαυτοῦ δια-
τάγματα. τοῖς μὲν ὑπ' αὐτοῦ παρανομουμένοις, τὸ ἄσυλον ἀπάγων
ἀποκλείων τὴν ἱκετείαν. ἀνατεινόμενος τοῖς ἱερεῦσι τοῦ θεοῦ, ταῦτ',
ἃ καὶ Φάλαρις ὁ ἀκραγαντῖνος, καὶ Κεφρὴν ὁ αἰγύπτιος, καὶ
Σενναχηρεὶμ ὁ βαβυλώνιος ὤκνησεν ὁ πέμψας εἰς ἱερουσαλὴμ

τοὺς ὀρθοδοξοῦντας ἐξ εἰκίας καὶ τῷ θεῷ, ἐκείνην ἐγὼ τὴν ἡμέραν ἐνηροχέναι φημὶ τὸν δεύτερον σταυρὸν τοῦ θεοῦ. τῶν γὰρ ὀνειδισμῶν τοῦ χριστοῦ, τὸ λοίδορον ἐκεῖνο βιβλίον ἀπὸ τῆς ἱερᾶς θύρας ἐκρέμματο. καὶ τοῦτο ἐπεῖδεν ἥλιος καὶ ἀνέγνωσαν ἄνθρωποι. οὐ τιβερίου κλαυδίου τῆς πολιτείας ἐπιτροπεύοντος, ἀφοῦ πιλάτος τὴν ἰουδαίων ἡγεμονίαν ἐστάλη, ἀλλὰ τοῦ εὐσεβοῦς Θεοδοσίου ἐγγονοῦ τὰ σκῆπτρα ῥωμαίων ἐχούσης, ἀφ᾽ ἧς, ἔλαθεν Ἀνδρόνικος ἑαυτῷ μνηστεύσας ἀρχὴν, ὑπὸ τοῦ Πιλάτου φρονήματι. γέλως ἦν τοῖς παρέχουσι τῶν ἑτεροδόξων τὰ γράμματα. καθὰ παρὰ ἰουδαίοις τὰ παραγεγραμμένα σταυρῷ τοῦ χριστοῦ. καίτοι γε τὸ ἐπίγραμμα τοῦ σταυροῦ, γεγονὸς ἀπὸ γνώμης οὐκ εὐσεβοῦς, σεμνὸν ἦν ἐπὶ λέξεως, δι᾽ οὗ βασιλεὺς ὁ χριστὸς ἐκηρύττετο. ἐνταῦθα δὲ ἡ γλῶττα τῇ γνώμῃ συνέβαινε. τὰ δὲ μετὰ ταῦτα τῶν πρώην ἐστηλιτευμένων βαρύτερα. ἐπειδὴ γὰρ ἦν τινα κατ᾽ ἐχθροῦ πρόφασιν εὑράμενος, ἐχθρὰ δὲ ἦν αὐτοῖς, ὅτι γάμους ὁ μὲν ἑαυτοῦ ἔδειξεν, ὁ δὲ ἐκώλυσεν, ἐκείνοις αὐτὸν τοῖς ἀποτροπαίοις κολαστηρίοις ᾐκίζετο, ἃ μὴ παραδοθείη τῇ διαδοχῇ τοῦ χρόνου. μετ᾽ αὐτοῦ γὰρ ὥσπερ ἤρξαντο, παύσαιντο καὶ γένοιντο τοῖς μεθ᾽ ἡμᾶς ἀκοὴ ταῦτα τῆς ἡγεμονίας ἀνδρονίκου συνθήματα. ἐπειδὴ οὖν ἀνὴρ εὐγενὴς, τῶν ἀδικῶν, ἀλλὰ τυχὼν ἐπ᾽ αὐτοῖς κατετείνετο, καὶ ταῦτα τὸ τῆς μεσημβρίας ἐδρᾶτο καθερώτατον, ἵν᾽ ὑπὸ μόνοις μάρτυσι τοῖς δημίοις ἀπόλοιτο, τὴν ἐκκλησίαν ἐγνωσμένην αὐτῷ συμπαθῆ, κατὰ ἄλλο μὲν οὐδὲν, ὅτι δὲ μαθόντες, εὐθὺς ὡς εἴχομεν διεδράμομεν, ἐφ᾽ ᾧ παραμυθήσασθαι καὶ συνδιενέγκαι τὴν συμφοράν, λυπηρὰ πρὸς τὴν ἀκοήν, ἅτις ἐπίσκοπος ἂν ἐλεῆσαι τε τόλμησεν, ἄνθρωπον ἀπηχθημένον αὐτῷ. καὶ πολλὰ καὶ παράνομα νεανιευσάμενος,

σάμενος, τοῦ θρασυτάτου τῶν ὑπηρετῶν Θόαντος αὐτὸν ἐρεθίζον-
τος, ᾧ χρῆται πρὸς τὰς δημοσίας συμφορὰς ὀργάνῳ, πέρας ἐπέ-
θηκε τῇ μανίᾳ, τὴν ἄθεον ταύτην φωνὴν εἰπὼν, ὅτι μάτην ἐπὶ τὴν
ἐκκλησίαν ἤλπισε· καὶ οὐδεὶς ἂν ἐξαιρεθείη τῶν Ἀνδρονίκου χει-
ρῶν, οὐδ' ἂν εἴ τις τῶν ποδῶν κρατήσειεν αὐτοῦ τοῦ Χριστοῦ. ταύτην
ἀπαιδεύτῳ γνώμῃ, τρὶς ἀνεφθέγξατο τὴν φωνήν. μεθ' ἣν οὐ-
κέτι νουθετητέος ὁ ἄνθρωπος. ἀλλ' ὥσπερ μέλος ἀνιάτως ἔχον ἀ-
ποκοπτέος ἡμῶν, ἵνα μὴ τῆς κοινωνίας καὶ τὸ ὑγιαῖνον συμφθείρῃ.
ὁ γὰρ μολυσμὸς, διαδόσιμος γίνεται, καὶ ὁ θίγων ἐναγοῦς, ἀπολαύει
τῆς προστροπῆς. Δεῖ δὲ εἶναι καὶ γνώμῃ καὶ σώματι, καθαροὺς τῷ
θεῷ. ἐπὶ τούτοις, ἡ Πτολεμαΐδος ἐκκλησία, τάδε πρὸς τὰς ἁπαν-
ταχοῦ τῆς ἑαυτῆς ἀδελφὰς διατάττεται. Ἀνδρονίκῳ καὶ τοῖς αὐ-
τοῦ, Θόαντι καὶ τοῖς αὐτοῦ, μηδὲν ἀνοιγνύσθω τέμενος τοῦ θεοῦ. ἅ-
πας αὐτοῖς ἱερὸς ἀποκεκλείσθω καὶ σηκὸς καὶ περίβολος. οὐκ ἔ-
στι τῷ διαβόλῳ μέρος ἐν παραδείσῳ. ὃς κἂν λάθῃ διαδὺς, ἐξε-
λαύνεται. παραινοῦμεν οὖν καὶ ἰδιώτῃ παντὶ καὶ ἄρχοντι, μήτε ὁ-
μορόφιον αὐτῷ, μήτε ὁμοτράπεζον γίνεσθαι. ἱερεῦσι δὲ διαφε-
ρόντως, οἳ μήτε ζῶντας αὐτοὺς προσεροῦσι. μήτε τελευτήσαντας,
συμπροπέμψουσιν. εἰ δέ τις ὡς μικροπολῖτιν ἀποσκυβαλίσει
τὴν ἐκκλησίαν, καὶ δέξεται τοὺς ἀποκηρύκτους αὐτῆς, ὡς οὐκ ἀ-
νάγκη τῇ πένῃ πεπείθεσθαι, ἴστω σχίσας τὴν ἐκκλησίαν ἣν μίαν ὁ
Χριστὸς εἶναι βούλεται. ὁ δὲ τοιοῦτος, εἴτε λευίτης ἐστὶν, εἴτε πρεσβύ-
τερος, εἴτε ἐπίσκοπος, παρ' ἡμῖν ἐν Ἀνδρονίκου μοίρᾳ τετάξεται.
καὶ οὔτε ἐμβαλοῦμεν αὐτῷ δεξιὰν, οὔτε ἀπὸ τῆς αὐτῆς ποτὲ σιτησό-
μεθα. πολλοῦ δὲ δεήσομεν κοινωνῆσαι, τῆς ἀπορρήτου τελετῆς,
τοῖς ἐθελήσασιν ἔχειν μερίδα μετὰ Ἀνδρονίκου καὶ Θόαντος.

ω̄ Δέδωκα τὴν ἐπιστολὴν καὶ φιλόσοφός ἐστι τὴν ψυχὴν ἀγαθὸς ῥήτωρ τὴν τέχνην· ἕως μὲν Ἀνύσιός τε παρῆν, καὶ πόλεμος ἦν, ἔτι παρ' ἡμῖν ταύτην εἰργάζετο. ἐπεὶ δὲ ὁ μετὰ σὲ χρόνος τοῖς πολεμίοις ἡμᾶς ἀποδόμενος, δι' ἡμῶν εἰρήνην ἐποίησεν, ἔγνωκε πλεῖν εἰς ἑτέραν ἀγοράν, ὅπου γλῶττα ὠνίος τὸ ῥητόρων ἀγώνισμον, τὸν ῥήτορα συνήθειμον ποιεῖ. μνήστευσον αὐτῷ φιλίαν ἀνδρός, λαχόντος ἄρχειν ἐθνῶν. καὶ νὴ μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σόν, ὃ μὴ αἰτήσεις τὴν χάριν, ἕξεις ταύτῃ σοι χάριν ὅταν ἐπανήκῃ μετὰ τὴν πεῖραν.

Αὐξεντίῳ.

ᾱ Νῦν γράφω μέσος φιλίας ἀδικουμένης, καὶ θεῶν καὶ θείων ἀνδρῶν δικαζόντων, ἀπάσαις αἱρήσω. τίς γὰρ παρενθήκη σοι γέγονε τῆς πρὸς τὸν ἀδελφὸν δυσμενείας. ἐπειδὴ γὰρ ἐκεῖνος, οὐδ' ἐμοὶ δοκοῦν, ἐπολιτεύετο κατὰ σαββατίου τοῦ μακαρίτη Φαύω, σὺ δὲ αὐτὸν λέγων οὐκ ἔπεισας, ἔτρεψας ἐπ' ἐμὲ τὴν ὀργήν. καὶ ἐποίεις κακὸν ὅσον ἠδύνω. κἀγώ, τότε μὲν ἐξῆν, ἐδεξάμην τὴν πρόκλησιν τῆς διαφορᾶς. νυνὶ δὲ οὔτε ἔξεστιν, οὔτε βούλομαι. ἥ τε γὰρ ἡλικία καλῶς ποιοῦσα μαραίνεταί μοι τὸ φιλότιμον. καὶ ἱεροὶ φασὶ νόμοι κωλύουσιν. ἅμα δὲ ὑπομιμνήσκομαι καὶ κοινῶν τροφῶν καὶ παιδείας. καὶ τῆς ἐν κυρίῳ διατριβῆς, ἃ χρὴ νομίσαι τῶν σαββατίου δικῶν ἰσχυρότερα. ἄρχου δὲ φιλίας ἀγαθοῦ πράγματος. καὶ χαῖρε παρ' ἐμοῦ ζημίαν ἡγουμένου τὸν χρόνον ὃν ἐσιώπησα, πῶς οἴει καὶ τότε δακνόμενος. ἀλλ' ἕνεκα ἀμφοτέρων, ὡς οἷόν τε. τοιοῦτον δέ ἐστι τὸ διαφιλοτιμεῖσθαι κακόν.

Γυλαμένῃ.

β Ἀπέδωκα μεγάλην τῶν αἰγυπτίων ἔχουσαν ὑπερβεβληκότως στρωμνήν, ἀγόραν αὐτὴν ἐνταῦθα μόνην στρωμνήν, Ἀστέριος ὁ πατὴρ γράφω, ἰδών.

ἰδών, ἔτι σε παρ' ἡμῖν ὁ πηνίκα με πρὸ τῶν μεγάλων ἀρχείων
ἔδει καθεύδειν. ταύτην ὑπεχόμην δεξιάν, ἀπολείψειν αὐτὴν δῶρον·
οὐ παρ' ἣν πρὸς τὴν θρακῶν χιόνα παραβαλλόμενον, τοιαῦτα χα-
ρίζεται. νῦν οὖν ἐκπέμπω. τότε γὰρ οὐ κατέλιπον. σὺ δὲ δώσεις
αὐτῷ, μετὰ τῆς ἀπολογίας. ἧς αὐτὸς ἔστη μάρτυς ἂν ὑπομνησθῇς
τῶν καιρῶν. καὶ πρόγονον, καθ' οὓς ἀνεχώρουν τοῦ ἄστεος. ἔσειεν ὁ
θεὸς τῆς ἡμέρας πολλάκις. καὶ πρὸς ἱκετηρίας ἦσαν οἱ ἄνθρωποι
πρηνεῖς οἱ πλείους. τὸ γὰρ ἔδαφος ἐκραδαίνετο. ἐν ᾧ νομίσας ἐγὼ
τὴν θάλατταν τῆς γῆς ἀσφαλέστερον καὶ τὸ πέλαγος, κατατεί-
νω δρόμον ἐπὶ τὸν λιμένα, μηδενὶ λόγον δοὺς, ὅτι μὴ τῷ μακαρί-
τῃ Φωτίῳ, καὶ τοῦτον πόρρωθεν ἐγκραγὼν, καὶ τῇ χειρὶ σημήνας,
ὅτι οἰχήσομαι. ὁ δὲ, αὐρηλιανὸν φίλον ἄνδρα καὶ ὕπατον ἀφεὶς
ἀπροσαύδητον, ἀπολελόγηται περὶ τῶν αὐτῶν, πρὸς τὸν ἑταῖρον
ἀστεῖον. τότε μὲν οὕτως ἐγένετο. εἰ δὲ μετὰ τὴν ἐμὴν ἐκεῖθεν ἀ-
ποδημίαν, τρίτον τουτονὶ στόλον ἡ ναῦς ἐς τὰ περὶ θρᾴκης χωρία
στέλλεται, ἀλλὰ νῦν πρῶτον ὑπ' ἐμοῦ στέλλεται. μὴ οὖν ὅτε τὸ πρῶ-
τον ἔξεστιν, ἀποδίδωμι διὰ σοῦ τὸ χρέος. χάρισαί μοι τὸν ἄνθρωπον δε-
δυρών. τοὔνομα μὲν δὴ καὶ τὸ ἐπιτήδευμα, φθαίνω δηλώσας. ἀλλὰ
δεῖ πλείω προσθεῖναι γνωρίσματα. γένοιτο γὰρ αὖθις, ὁμώνυμος
καὶ ὁμότεχνος. χαλεπῶς δὲ ἅπερ τὰ τοιαῦτα συγκυρεῖ. ἀνὰ γί-
νοιτο γὰρ ἐν τῷ χρόνῳ, σύρος τὸ γένος. μέλας τὸ χρῶμα. τὸ πρόσω-
πον ἰσχνός. τὸ μέγεθος μέτριος. οἰκεῖ παρὰ τὴν βασιλικὴν οἰκίαν
οὐ τὴν δημοσίαν. ἀνὰ τὴν κατόπιν αὐτῆς, ἥτις Ἀβλαβὶς μὲν πρό-
τερον ἦν. νῦν δὲ Πλακιδίας ἐστὶ τῆς τοῦ βασιλέως ἀδελφῆς. εἰ δὲ μετῴ-
κισε, γινόμενον γὰρ, οὐ δὲ, ἀλλὰ Μάρκον ζητήσεις φανερώτατον ἄν-
δρα, τὸν ἐκ τῆς ὑπάρχου τάξεως. οὗτος ὁ τότε τῆς συμμορίας

ἄρχων τῆς τοι χειρόγραφον ἐπὶ τὸν ἀστεῖον ἐχούσης. εὑρήσεις οὖν διὰ Μάρκου τὴν συμμισθίαν. ἧς οὐκ ἦν ἀστεῖος ἕκαστος. ἀλλ' εἰ αὐτοῖς τρίτος. ἢ τέταρτος. νυνὶ δὲ καὶ, πρῶτος ἂν εἴη. τούτῳ δώσεις τὴν ταχεῖαν ταύτην ἐλπίδα. καὶ πρὸς αὐτὸν ἐρεῖς, ἅττα ἡμεῖς περὶ τοῦ χρόνου πρὸς σέ. εἰ δὲ βούλει, καὶ τὴν ἐπιστολὴν αὐτὴν ἀναγνώσεις. σχολὴν γὰρ ἡμῖν ὁ πόλεμος οὐ δίδωσι, τοῦ καὶ πρὸς ἐκεῖνον ἐπιστεῖλαι. εἶναι δὲ δικαίους, οὐδὲν ἴσως κωλύει. μήποτε τοσοῦτον δυνηθείη τὰ ὅπλα.

Τῷ ἡγεμόνι.

μ Ιαθὸς ἀρετῆς ἔπαινος. ὃν εἰσφέρομεν Μαρκελλίνῳ τῷ λαμπροτάτῳ. νῦν ὅτε πέπαυται τῆς ἀρχῆς. νῦν ὅτε κολακείας ἀπόστη ὑπόνοια. ὅστις παραλαβὼν πλημμελοῦσαν τὰς πόλεις ἔξωθεν μὲν, ὑπὸ πλήθους καὶ μανίας βαρβαρικῆς, ἔνδοθεν δὲ ὑπὸ στρατιωτικῆς ἀταξίας καὶ τῆς τῶν ταξιαρχῶν πλεονεξίας, ὥσπερ θεὸς ἐπιφανεὶς, μάχῃ μὲν μιᾷ τοὺς πολεμίους, ἐπιμελείᾳ δὲ καθημερινῇ τοὺς ὑπηκόους σωφρονεστέρους ἐποίησε. καὶ παρέσχεν ὥσπερ ἐπὶ τῶν φόνων τῶν δήμων, εἰρήνην ταῖς πόλεσιν. ὑπὲρ δὲ ἱερῶν, ἃ δοκεῖ ἐν ταῖς νόμιμα πεποίηκεν ὁ θεός. οὐκ ἐπεβούλευσε πλούτῳ. πενίαν οὐχ ὕβρισε. τοῖς πρὸς θεὸν εὐσεβής. τοῖς πρὸς πληττομένους, δίκαιος. τοῖς πρὸς δεομένους φιλάνθρωπος. διὰ τοῦτο φιλόσοφος ἱεροὺς ἐπαινῶν αὐτὸν, οὐκ αἰσχύνεται. παρ' ὧν μηδεὶς εὕρετο μαρτυρίαν χάριτι δεδικασμένην. παρεῖναι μὲν οὖν ὑμῖν, καὶ τὸ δικαστήριον ἐβουλόμεθα. καὶ κοινῇ καὶ καθ' ἕνα πολεμαίων ἕκαστος, ἀντεισηνέγκαμεν ἂν, αὐτὸ τὸ δυνατὸν, εἰ μὴ τὸν δίκαιον ἔρανον. ὅτι λόγος ἔργων παντελῶς ἥττων ἐστί. πάντως ἂν ἐγώ τε τότε τοῦ κοινοῦ προηγόρευσα. ἐπεὶ δὲ τυγχάνω ὢν ὑπερόριος, ἐν γράμμασιν αὐτοῦ τὴν μαρτυρίαν κατατιθέμεθα. οὐκ ἐνοχληθέντες. ἀλλ' ἐνοχλήσαντες.

τῷ

χ Ρῆσθαι δεῖ ταῖς τῶν δυνατῶν φιλίαις· οὐ καταχρῆ-
σθαι. Τῷ αὐτῷ.

μ Ἡ αἴτει μεγάλα· ἵνα μὴ δυοῖν θάτερον, ἢ τυγχάνωμ λυ-
πῇς, ἢ μὴ τυγχάνωμ λυπῇ.

Τῷ ἀδελφῷ.

α Μφω τοὺς Διονυσίους ἀπέστειλα· ἵνα τῶν βιβλίων, τὸ
μὲν ὡς εἰληφώς· τὸ δ᾽ ἀπειληφώς. Θεοφίλῳ.

π Εὐσῶν τινα πυθέσθαι σου προελόμενος, ὑπὲρ οὗ πεύσομαι,
προαφηγήσασθαι βούλομαι. Ἀλέξανδρος ἀπὸ βουλῆς κυ-
ρηναῖος· ἔτι μειράκιον ὢν εἰς μοναδικὸν βίον ἐτέλεσε. τῆς δὲ ἡλι-
κίας συμπροϊούσης τῆς μοναδικῆς κατὰ τὸν βίον ἐνστάσεως, ἠξιώ-
θη μὲν ἐκκλησιαστικῆς διακονίας. ἠξιώθη δὲ τοῦ, πρεσβύτερος
εἶναι. κατὰ δέ τινα χρείαν τῶν στρατοπέδων γενόμενος, καὶ Ἰωάννῃ
τῷ μακαρίτῃ συστὰς, τιμᾶσθαι γὰρ παρ᾽ ἡμῶν ἡ μνήμη τοῦ τελευτή-
σαντος, ὅτι πᾶσα δυσμένεια τῷ βίῳ τούτῳ συναποτίθεται, τούτῳ
συστὰς, πρὶν μὲν στασιασθῆναι τὰς ἐκκλησίας, ὑπὸ τῆς ἐκείνου χειρὸς
ἐπισκόπους ἀνεδέχετο τῆς Βιθυνῶν βασινουπόλεως. συμβάσης δὲ τῆς
διαφορᾶς, διέμεινε τῷ χειροτονήσαντι φίλος· καὶ γίνεται τῶν ἐκείνου
στασιωτῶν. ἐπεὶ δὲ ἡ συνοδικὴ γνώμη κατίσχυσε, χρόνον μέν τινα συ-
νέμεινεν ἐνστάσει· τὸ δ᾽ αὖ διηγεῖσθαι εἰδότι, μάταιον δὲ αὐτῷ διῳκη-
κότι, τὰ περὶ τὰς γενομένας διαταγάς. ἐπεί τι καὶ βιβλίον ἀνέγνων σο-
φὸν, ὃ πρὸς τὸν μακάριον ἐμὲ δοκεῖν Ἀττικὸν ἔγραψας, ἐνάστων
αὐτὸν τῇ καταδοχῇ τοῦ ἀνδρός· τὰ μὲν δὴ μέχρι τούτου, Ἀλεξάν-
δρα πρὸς τοὺς συναπεστάτας κοινά. ἴδιον δὲ, ὃ μετ᾽ ὀλίγον, ὅτι τοῦτο
μὲν ἔτος ἤδη τρίτον δὴ ἦν, μετὰ τὴν ἀμνηστίαν καὶ τὰς διαταγάς. ὁ

ἢ, ἣν ἐβάδισε τὴν εὐθὺ Βιθυνίας, τῆς συλλαχούσης αὐτὸν καθέδρας ἐλάβετο. μετὰ δὲ πρὸς ἡμῖν, ὡς πρὸς μηδὲν αὐτῷ διαφέρον, ἀλ καίτις ὡς ἰδιώτῃ προσφέρηται. ἐγὼ μὲν οὖν ὅτε πόρρωθεν ἐνετράφην τοῖς νόμοις τοῖς ἱεροῖς, ὅτε ἤδη μοι καθῆκε πολλὰ μεμαθηκέναι περὶ ὧν ἕως γέγονεν ὅτι τοῦ καταλόγου αἰσθόμενος δὲ γέροντας ἐνίους, οὐδ' αὐτοὺς μέντοι σαφὲς εἰδέναι προσποιουμένους, ἀπεδεξάμην ἀκόντως δὲ μὴ λάθωσι πρός τινα κανόνα τῆς ἐκκλησίας προσκρούσαντες, καὶ διὰ τοῦτο παντάπασιν ἀπηνέστερον αὐτῷ προσενηνεγμένους, καὶ ὑπὲρ ἀσαφοῦς ὑπονοίας ἀτιμίαν σαφῆ τοῦ ξένου κατασκεδάσαντας, οἳ μηδὲ κοινῆς στέγης ἠνέσχοντο, οὔτε ἐμεμψάμην, οὔτε ἐμιμησάμην αὐτούς. οἶδα οὖν ἥπως ἐποίησα περισεβασμιώτατε, ἐκκλησίας μὲν, οὐκ ἐδεξάμην αὐτόν. τὸ δὲ τραπέζης ἱερᾶς ἐκοινώνησαν οἴκοι δὲ ἴσα καὶ τοῖς ἀναιτίοις ἐτίμησα. ὅστις ὁ τρόπος ἐστὶ τῶν ἐπιχωρίων ὁ ὑμός. ὅταν γάρ τις αὐτῶν ἐφέστιος ἡμῖν γένηται, παντὶ τῷ τοῦ ἔργου καὶ λόγου τιμὴν ἔχοντος ἐξισώμεθα, φλυαρεῖν ἡγούμενοι τοὺς δυσχεραίνοντας, ὅτι τὰ μικρὰ τῆς πόλεως καταβαλόμενοι δὲ κακά. καίτοι διὰ τοῦτο τὰς ἁπάντων φροντίδας κατωμαδὸν ἀράμενος φέρω. καὶ μόνος ὑπὲρ τῆς ἁπάντων ἀσχολοῦμαι σχολῆς. ἀλλ' ἐν καλῷ μοι κείσεται παρὰ τῷ θεῷ, πλεονεκτεῖν μὲν πόνοις, μειονεκτεῖν δὲ τιμῶν. καὶ τὸν Ἀλέξανδρον δὲ τοῦτον, ὅταν μὲν εἰς ἐκκλησίαν προΐω, βουλοίμην μὲν ἄν, μηδὲ μόθεν τῆς ἀγορᾶς ἰδεῖν. συμβὰν δὲ ἰδεῖν, ἑτέρωσε τρέπω τοὺς ὀφθαλμούς, καὶ εὐθὺς ἐπανθεῖ μοι κατὰ τῆς παρειᾶς ἐρύθημα. ὑπερβάντι δὲ τὴν οἰκείαν αὐλήν, καὶ γενόμενον ὁμορόφιον, ἅπασι τοῖς εἰκόσι τιμῶ. τί δήποτε τοῦτο ἀσύμφωνός εἰμι πρὸς ἐμαυτὸν ἰδίᾳ καὶ δημοσίᾳ. ἐν οὐδετέρῳ τῶν καιρῶν δεδογμένα ποιῶν. ἀλλὰ τὸ μὲν, εἴκω τῷ νόμῳ. τὸ δὲ, τῇ φύ-

σει

σαι χαρίζομαι, ῥέπουσαν πρὸς τὸ φιλαίτιον. καίτοι καὶ, ἀποβιασαίμην τὴν φύσιν, ἔτι σαφὲς ἐπίσταμαι ὑπὲρ τοῦ νόμου. αὐτὸ δὴ τοῦτο δεῖ τὸ ἐρώτημα, πρὸς ὃ δεῖ τὴν αὐθεντίαν τῆς ἀποστολικῆς διαδοχῆς ἀποκρίνασθαι ἁπλῶς καὶ σαφῶς καὶ ἅπερ πυνθάνομαι. Ἀλεξάνδρου ἐπισκόπου χρεὼν μείζω ἢ μή.

## Τοῦ αὐτοῦ.

ε Γὼ καὶ βούλομαι καὶ ἀνάγκη μοι θεία, νόμον ἡγεῖσθαι, πᾶν ὅτι ἂν ἐκεῖνος ὁ θρόνος θεσπίσῃ. διὰ τοῦτο καὶ πρόθυμον ἀσχολίαν παραιτησάμενος, καὶ νοσοκομούμενος ἔτι τὸ σῶμα πρὸς τοὺς πόνους ἐκβιασάμενος, καὶ διαβὰς τὴν ὕποπτον, ὡς ἀνύποπτον, ἣν διετείχισεν ὅπλα πολέμια, γέγονα κατὰ Παλαιβίσκα τε καὶ Ὕδρακα. κῶμαι δὲ αὗται Πενταπόλεως. καὶ τῆς διψηρᾶς Λιβύης αὐτὰ τὰ μεθόρια. ἐν αἷς τόν, πεδήμοι ἐκκλησίαις. καὶ γράμματα, τὰ μὲν, ἀνέγνων, τὰ δὲ, ἀπέδωκα, τὰ μὲν γὰρ ἦν πρὸς αὐτούς, τὰ δὲ, περὶ αὐτῶν πρὸς ἐμέ, καὶ λόγοις διεξελθὼν ἐπιτηδείους εἰς ἀρχαιρεσίαν ἐς τὸ καὶ πεῖσαι, καὶ εἰ προχωροίη βιάσασθαι, προσθέσθαι τὴν περὶ ἐπισκόπου σκέψιν, οὐκ ἐξενίκησα τοῦ δήμου τὴν περὶ τὸν εὐλαβέστατον Παῦλον σπουδήν. ἀξιῶ πεισθῆναι παρὰ πατρός. οὐκ ἦν μοι βουλομένῳ μαθεῖν τὴν δεδραμένην. πολλὰ τιμῶντί με τῷ δήμῳ προσέκοψα. τοὺς φανερωτάτους αὐτῶν, εἴ τις ἀνέκραγε μεῖζον, εἴ τις δυσχεραινόμενος κρηπῖδα καὶ ἐπαναβὰς αὐτῇ, καὶ πρόγερος ἠξίωσεν εἶναι καὶ λόγον ἀπέτεινεν, ὡς ὠνίους ὡς συνωμότας, ὑπὲρ τῶν χεροῖν παραδιδοὺς, ἐκκυλισθῆναι τῆς ἐκκλησίας ὠθουμένους, προσέταξα. συγχυθέντα δὲ αὖθις, καὶ πολλάκις ἀναλαβών τε καὶ καταστήσας τὸν δῆμον, διὰ πάσης ἦλθον ἐν λόγοις ὁδοῦ,

τὸν ἀρχιερατικὸν ἐκεῖνον θρόνον ἀποσεμνύνων, καὶ πείθων ὅτι διὰ τῆς εἰς ὑμᾶς ἀθετήσεως καὶ τιμῆς, ὁ θεὸς ἀθετεῖται δὴ καὶ τιμᾶται. οἱ δὲ, εὐφήμῳ τε φωνῇ τὸ μακάριον ὄνομα τῆς σῆς θεοσεβείας ἐπικαλέσαντο. ἀναστάντες, ἱκέτευον ὡς πρὸς παρόντα τοῖς ἐκβοήσεσι τε καὶ ταῖς ὀλοφύρσεσι ποιούμενοι. τὸ μὲν οὖν τῶν ἀνδρῶν, εἰ καὶ πέρα προσδοκίας, ἀλλ' ἔλαττον ἦν. αἱ δὲ γυναῖκες, πρᾶγμα δυσμεταχείριστον. χεῖρας αἴρουσαι. βρέφη προτείνουσαι. καὶ μύουσαι τοὺς ὀφθαλμοὺς, ἵνα μὴ εἰς ἔρημον τοῦ συνήθους προστάτου τὸν θρόνον ἐνατενίσειεν, μικρὸν ἐδέησαν τοὺς τἀναντία πολιτευομένους ἡμᾶς, εἰς πάθος παραπλήσιον ἐκκαλέσασθαι. ὅπερ ἵνα μὴ πάθω, φοβηθεὶς, ᾐσθανόμην γὰρ ἀγόμενος, ἔλυσα τὴν ἐκκλησίαν. καὶ εἰς τετάρτην ἡμέραν ἐπήγγελλα ἐπαρασάμενος τὰς παλαμναιοτάτας ἀρὰς, εἴτις ἐμμίσθως, εἴτις κατὰ χρείαν, ἢ χάριν ἢ ὅλως, ἰδίᾳ τι διαφέρον αὐτῷ φθέγξαιτο τῶν ἡκόντων εἰς τὴν τῆς ἐκκλησίας παρακοήν. ἧκεν ἡ κυρία. καὶ ὁ δῆμος παρῆν, πάλιν ἐν στάσει καὶ ἐναγώνιος, ὃς οὐδὲ περιέμενε πεῦσιν. ἀλλ' εὐθὺς ἦν ἀπάντων κυκεὼν φωνὴ παμμιγὴς, ὑπὸ τοῦ λίαν ἐνηχεῖν ταῖς ἀκοαῖς, ἀδιάκριτος. κατασιγαζόντων δὲ τῶν ἱεροκηρύκων, εἰς ῥῆσιν αὐτοῖς ἀπετελεύτησεν ἡ βοή. καὶ ἦν ἀκούσματα σκυθρωπῶν. ἀνδρῶν οἰμωγαί. γυναικῶν ὀλολυγαί. παίδων ὀλοφυρμοί. ὁ μὲν, ἔφη πατέρα ποθεῖν. ὁ δὲ, ἀδελφόν. οὕτως ἐμερίζετο ταῖς ἡλικίαις τὰ τῆς συγγενείας ὀνόματα. ἐμοῦ δέ τι μεταξὺ λέγειν ἐπιχειροῦντος, ἀναδείκνυται γραμμάτιον ἐκ μέσου τοῦ πλήθους. καὶ ἐνδύχεταί τις εἰς κοινὸν αὐτὸ πᾶσιν ἀναγνωσθῆναι. τὸ δὲ, ἦν ἐνορκισμὸς πρὸς ἐμὲ παύσασθαι σιωπῇ τοῦ πλήθους ἀποπειρώμενον. καὶ ἀναθέσθαι τὸ σκέμμα, μέχρις ἂν αὐτοῖς δὴ γένηται πρὸς

τὴν

τὴν μακαριωτάτην σὴν κεφαλὴν ὑπὲρ τούτου ψήφισμα πέμ-
ψαι καὶ πρεσβυτῶν. μᾶλλον δὲ ἐμοῦ κατεπείγοντο πεισθῆναι, συν-
ηγορίαν ἐν γράμμασιν ὑπὲρ ἐδιδάχθην διδάσκοντα. ἐλέγετο
τοίνυν καὶ ἐν συνεδρίῳ παρὰ τῶν πρεσβυτέρων, καὶ δημοσίᾳ πα-
ρὰ τοῦ πλήθους, καὶ τὸ γράμμα τοῦτο αὐτὰ ταῦτα καθ' ἕκαστον δι-
εξῄει, πάτριον εἶναι καὶ ἀποστολικόν, ἐρυθριᾶν δεῖν εἶναι καὶ τούτους
τοὺς ἐκκλησίας. ἀποστασιάσαι δὲ αὐτοὺς πρὸς ὡρίωνα τὸν μακάρι-
ον, πόρρωτέρω τε ὄντα πρεσβυτῶν, καὶ αἰτίαν ἔχοντα, πρᾶότα-
τον εἶναι. τοῦτο γὰρ ἤδη καὶ λοιδόρημα γέγονεν ὑπὸ τῶν ἀξιούντων ἱε-
ρωσύνην προσεστάναι εἶναι τοὺς ἀνθρώπους καὶ πολυπράγμονα. καὶ
ἐπειδὴ παρέτεινε ζῶν, οὐκ ἀναχέσθαι περιμεῖναι τοῦ δικαίου τὴν
τελευτήν. ἀλλὰ προβαλέσθαι τὸν μακαρίτην Σιδήριον. ἐδόκει
γὰρ οὗτος νέος τε εἶναι. καὶ ῥέκτης ἀνὴρ ἀπὸ τῶν παρὰ βασιλεῖ βαλ-
λιστῶν(?) στρατείας. ἥκων κατὰ χρείαν ἀγρῶν αὐτοῖς ἐν τῷ ἐπιμελείας
οἷος ἐχθρούς τε κακῶσαι, καὶ φίλους ὀνῆσαι. τότε δὲ καὶ ἐκράτει, τὰ
τῆς αἱρέσεως. πλῆθος γὰρ πεῖσαι, καὶ καιρὸν ἔχει ἡ δεινότης, ὀργα-
νον οὖσα φρονήσεως. τοῦτον εἶναι καὶ μόνον ἀποδείξασθαι παλαιβί-
σκης ἐπίσκοπον. ἀλλ' οὐδὲ τοῦτον ἐνθέσμως. ἐκ θέσμως μὲν οὖν, ὅ-
σα γε τῶν γερόντων ἠκούσαμεν, εἰ μήτε ἐν ἀλεξανδρείᾳ κατέστη, μή-
τε παρὰ τρίτων ἐνθάδε, καὶ εἰς τὸ σύνθημα τῆς χειροτονίας ἐκεῖθεν ἐ-
δίδοτο. μόνον γὰρ φασὶ δὴ τὸν μακάριον Φίλωνα, τοῦτο ὁσίως τὴν τε
σιοισφέως(?) ἀνάρρησιν. Φίλων ἐγένετο κυρηναῖος, ἐπὶ παλαιότερος
ὁ τοῦ νεωτέρου θεῖός τε καὶ ὁμώνυμος. τὰ μὲν ἄλλα, ὁποῖοι ἂν τὸ
τοιοῦτο παίδευμα τοῦ χριστοῦ. τὰ δὲ εἰς τὸ ἄρχειν καὶ ἄρχεσθαι, θαρραλε-
ώτερος μᾶλλον, ἢ νομιμώτερος. ἀλλὰ γὰρ αἰτοῦμαι συγγνώμην,
ἐπὶ τῷ λόγῳ τὴν ἱερὰν τοῦ πρεσβύτου ψυχήν. τοῦτον ἥκοντα μό-

ρον ἀποδεῖξαι τε καὶ ἐπὶ τοῦ θρόνου καθίσαι τὸν μακαρίτην Σι-
δήριον. ἀλλ' ἀνάγκη γὰρ ἐν καιροῖς ἀπαρρησιάστοις τὴν ἀκρί-
βειαν παραβαίνεσθαι. διὰ τοῦτο τὸν πάμμεγαν Ἀθανάσιον συγ-
χωρῆσαι τε τῷ καιρῷ. καὶ μετ' οὐ πολὺ δεήσειν ἐν Πτολεμαΐδι τὸν
ἐνόντα σμικρὸν ἔτι τῆς ὀρθοδοξίας ἀναθήρασθαι ἀνάψαι τε καὶ ἐπὶ
πλέον ἐξάψαι, τὸν ἄνδρα τοῦτον ὡς μείζοσι πράγμασιν ἐπιτή-
δειον, ἐκεῖ διαβῆναι κελεῦσαι, τὴν μητροπολῖτιν ἐκκλησίαν ὑπο-
προπεύσοντα. γήρας δ' αὐτὸν εἰς τὰς κωμήτιδας ἐπανήγαγεν.
οὗ καταλύσαντος, οὐκ ἔσχε διάδοχον, ὃς οὐδὲ αὐτὸς ὑπῆλθεν ἑτέρου
διαδοχήν. παλαίβισκα δὲ καὶ ὕδραξ, εἰς τὴν ἀρχαίαν τάξιν ἐπαν-
χθησαν. καὶ πρὸς τὸ ἐρυθρὸν ἀνελήφθησαν, δόγματι φασὶ τῆς σε-
βασμίας σου κεφαλῆς. καὶ τούτῳ δὴ μάλιστα πάντων ἐνέκειν-
το. τῷ μὴ δεῖν ἀθετεῖσθαι τὸν παρὰ σοῦ θρονισμόν. γράμματα
μὲν οὖν, ἤτησα γὰρ, οὐκ εἶχον ἀποδεικνύναι. ἐπισκόπους δὲ τῆς συνέ-
δρου ἀνίστασαν μάρτυρας. οὗτοι δὲ ἔφασαν, ἐπιστολῇ πειθαρ-
χοῦντες ἐκεῖθεν ἡκούσῃ, πεῦσιν περὶ Γαύλου προτεῖναι τῷ δήμῳ.
καὶ δόξαν ἅπασιν ἐπίσκοπον ἔχειν, ἀνενεγκεῖν περὶ αὐτοῦ. τοὺς δὲ
θρονιστὰς ἑτέρους γενέσθαι. καὶ ἐμοὶ δίδως εἰπεῖν, περισεβασμιώ-
τατε, ἐκεῖνος ἦν ὄντως ὁ καιρὸς ὁ τῆς σκέψεως. τὸ γὰρ ἀφε-
λέσθαι, τοῦ μὴ χαρίσασθαι λυπηρότερον. ἀλλὰ κρατείτω τὸ νῦν
ὅτι ἂν δόξῃ τῇ πατρικῇ σου κεφαλῇ. εἰ γὰρ τὸ δόξαν τότε, δί-
καιον αὐτοῖς γέγονε, καὶ τοῦτο προΐσχονται, τὸ μηκέτι δοκεῖν, τὸ δί-
καιον μετατίθησιν. ὥσθ' ὅτι ἂν σκοπῶς, τοῦτο τῷ πλήθει δίκαιον ἡ-
γεῖται. ἀκοὴ δὲ ζωὴ καὶ θάνατος ἡ παρακοή. διόπερ οὐκ ἀνταίρουσι χεῖ-
ρας. αἰ ἱκετεύουσι μὴ γενέσθαι ζῶντος αὐτοῖς ἔτι τοῦ πατρὸς, ὀρφα-
νοί. ἔστι δὲ τῆς λέξεως λέγουσι. καὶ γὰρ τὸν νεανίσκον οὐκ οἶδα ὑπὲρ
ἐπαινέσαι

ἐπαγγέλοιμι αὖ τῆς παρὰ πάντων εὐνοίας, ἢ μακαρίσαιμι. ἢ δὲ τέχνης γε καὶ δυνάμεως, ἢ χάριτος θείας, οὕτω τοὺς αὐτοὺς ἐξομαλίσαι καὶ καταδημαγωγῆσαι τὸ πλῆθος, ὥστε τὸν χωρὶς αὐτοῦ βίον, ἀβίωτον ἅπασιν εἶναι. διὸ δόξῃ μὲν, περὶ αὐτῶν τῇ φιλανθρώπῳ σου φύσει φιλανθρωπότερα. ἐμοὶ δὲ ἐπανιτέον εἰς ἄστυ. καὶ ἣν περιμένω τοῦ χρηστέου τὸ σύνθημα. ἃ δ' οὖν ἐν ταῖς τέσσαρσιν ἡμέραις διῳκησάμην, ἃ σὺν τοῖς τῇ δι' ὀλίγων διέγραψα, τούτων οὐκ ἀσυνήσεις, ὅτι μάλα τούπορ ἕκαστον εὕρετο. καὶ μὴ θαυμάσῃς εἴ ποτε τὸν αὐτὸν δίς τε καὶ τρὶς εἰπεῖν μοι συμβαίη. οὐ γὰρ ἐπὶ τοῖς αὐτοῖς ἑκάτερα. τοῦ πράγματος δὲ ἐπαμείβεται καὶ λέγεται. ὥσπερ ἐν τοῖς κατὰ Χριστὸν ἀδελφοῖς, καλὸν μὲν εἰ μηδέποτε φύοιτο. φυεῖσαν δὲ καλὸν εἰ μετὰ μικρὸν παύοιτο. δι' αὐτὸ δὴ τοῦτο καὶ γράμματι καταπεμφθέντι πειθόμενοι, διὰ τῶν ἡγουμένων. καὶ δέδωκα τοὺς ἀκοὰς ἀμφισβητήσει τοιάδε. ἐν ὑψηλῷ τῇ κώμῃ, χωρίον ἐστί. καὶ κώμης αὐτὸ τὸ μετεωρότατον. ὃ πάλαι μὲν ἦν φρούριον ἐρυμνότατον. καταστείσαντος δὲ τοῦ θεοῦ γέγονεν ἐκλελειμμένον ἐρείπιον. τέως μὲν οὖν ὀλίγοις τισὶ τῶν ἑαυτοῦ μερῶν, εἰς ἑκατέρας χρείας διεσχημάτιστο. οἱ γὰρ προόντες ἐπὶ τῶν πολεμίων καιροὶ, διότι δυνάμει τ' αὖ ἐκτειχισθῆναι, καὶ εἰς τὴν ἀρχαίαν χρείαν ἐπανελθεῖν, τοῦ παντὸς ἄξιον αὐτὸ τοῖς κεκτημένοις παρέχειν. τότε τοῖς ἀδελφοῖς ἡμῶν, ἤδη δὲ καὶ ἁγίοις, τοῖς εὐλαβεστάτοις ἐπισκόποις Διοσκόρῳ καὶ Παύλῳ τὸ περιμάχητον ἦν. ἐν αἰτίᾳ γὰρ ἐπεποίητο τὸν ἐρυθρύτην ὁ δαρδανίτης τῶν βελοτόπια σκέψασθαι, ὅπως αὐτὸ μὴ προσῆκε περιποιήσαιτο. καθοσιώσαντα μὲν τῷ θεῷ τὸν ναὸν ἀγοράσαι, ἁρπάσαντα δὲ ἔπειτα τὴν τῆς εὐσεβείας ὑπόθεσιν, ἤδη χερσὶ βιαίᾳ προστῆναι τοῦ πανουργήματος. πρὸς ταῦτα ὁ εὐλαβέστατος Παῦλος ἐπεχείρησε μὲν ἀντιλογίας κομίσαι τινὰς, ὅτι τε προκατειλῆφθαι τὸν λόφον, καὶ ἐκκλησίας παλαίτερον ἀποδέδεικτο,

πρὶν τὸν εὐλαβέστατον Διόσκορον ἀποδειχθῆναι τοῦ χωρίου δικαστή-
την. ἀλλὰ οὐ μὴν μαλακώτερόν τις ἀπήντησε τῆς ζητήσεως, τὸ γὰρ
τἀληθὲς εὔδηλον γίνεται. ὥσπερ οὖν ἅπαν τοῦτο πέφηνεν ἕωλον.
τὸ δ' ἐν ἐπιδρομῇ τότε πολεμίων εἰς συμφυγόντας ἀνθρώπους, εὔ-
ξασθαι τἀναγκαῖα, τοῦτο τὸν τόπον οὐ καθιεροῖ. ἢ πάντα μὲν ὄρη.
πόσαι δὲ φάραγγες, ἐκκλησίαι. καὶ οὐδὲν ὅτι φρούριον ἐκ φόρου
τοῦ δημοσίου εἶναι. ἐν οἷς ἅπασιν ὅταν οἱ πολέμιοι προνομεύσωσιν, εὐ-
χαὶ καὶ μοναστήρια γίνονται. οἰκίαι δὲ ὅσαι κατὰ τοὺς ἀθέους τῶν δ'
ἀρείων καιρούς, εὐχὰς ἐδέξαντο καὶ μυστήρια. ἀλλ' οὐδὲν ἧττον εἰσιν
ἰδιώτιδες. φυγὴ γὰρ καὶ ἐκεῖνο. καὶ οἱ ἐκεῖνοι πολέμιοι. ἀλλ' εἰ γὰρ τὸν και-
ρὸν ἐζήτουν, τῆς καθιδρύσεως, τῶν παραδιδόντων, τῶν παρασυγχωρούν-
των. τῶν κυρίων ἐγένετο. ἀπεδέχθη λαμπρῶς ἅπαντα τἀναν-
τία. τῶν ἐπισκόπων ὁ μὲν, ᾔτει λαβεῖν. ὁ δὲ, οὐκ ἐδίδου κύριος
ὤν. τέλος ὁ μὲν, ᾤχετο τὰς κλεῖς ἔχων. ὁ δὲ, ἀνοίξας αὐτὸς καὶ τρυπή-
σας εἰς φορητὰς καθιεροῖ μικρὸν οἰκίσκον, ἐν λόφῳ πλατεῖ. ἀλ-
λ' οὐ γάρ ἐστι τὸ ἱερατεῖον ἀλλὰ τὸν οἰκίσκον, εἰ μὴ διόλου κλίνει τὸ παλαι-
τὸς. ὥστε τέχνη τίς ἦν ἐφ' ὧν τὸν λόφον περιεχαρακῶσαι. ἐδόκει δέ μοι τὸ
πρᾶγμα δεινὸν εἶναι. καὶ πέρα δεινοῦ, καὶ ἀγανακτητέον, ὁ μὲν μὲν ὑ-
πὲρ τῶν νόμων τῶν ἱερῶν, ὁ μὲν δὲ καὶ ὑπὲρ τῶν δικαίων τῆς πολιτείας. συγχυ-
θῆναι γὰρ ἅμα πάντα, τοῦτο μὲν, εἰ τρόπος καὶ νόμος ἐπινοηθείη δη-
μεύσεως. τοῦτο δὲ, εἰ διὰ τῶν παραιτησαμένων τὰ ἐναγέστατα κρίνοιτο. εὐ-
χὴ καὶ τράπεζα καὶ καταπέτασμα μυστικὸν, ἐφόδου βιαίας ὄργανα.
καὶ περὶ τούτων ἤδη καὶ ἐν ἄστει διέγνωσο. καὶ συνέτυχε δὲ οὕτως, ὥστε πρὸ
λίαν ἅπαντας ἐπισκόπους ἐν τῇ Πτολεμαΐδι τότε συνειλεγμέ-
νους κατὰ τήνδε σκέψιν πολιτικήν. ἀκροώμεθα δὲ, τὴν μὲν πρᾶξιν ἐ-
μίσουν. τὴν δὲ μετάστασιν ᾤκνουν. ἐγὼ δὲ τὴν δεισιδαιμονίαν ἀξιῶ

διαστέλλειν

διαστέλλειν ἀπὸ τῆς δυσσεβείας. κακία γὰρ ὄντως, ἀρετῆς προσωπεῖον περικειμένη· ἣν φιλοσοφία τὸ τρίτον ἔσχατον τῆς ἀθεΐας εἶδος ἔφρασεν. οὐδὲν οὖν ἱερὸν οὐδὲ ὅσιον ἥκιστα, τὸ μὴ δικαίως τε καὶ ὁσίως γινόμενον. οὐκοῦν ἐπιτήδειοι περιφρονεῖν τὴν λεγομένην καθαίρεσιν. οὐ γὰρ ὄντως τὰ χριστιανῶν, ὥστε ἀπομαγεῖς εἶναι τοῖς δὲ τοῖς τελεστικαῖς ὕλαις τε καὶ φωναῖς, ὥσπερ Ἑλληνικοῖς τισὶ φυσικοῖς ἀκολουθήσουσι τὸ θεῖον, ὅπερ αὖ πάθοι πνεύμασι ἐγκοσμίοις. ἀγνῶς τε περιεῖναι τοῖς ἀπαθέσι καὶ τοῖς οἰκείοις τῷ θεῷ διαθέσεσιν· ὅπου δὲ ὀργὴ καὶ θυμὸς ἀγνώμων, καὶ δύσερι πάθος ἡγεῖται τῆς πράξεως, πῶς ἐκεῖ τὸ πνεῦμα τὸ ἅγιον παραγίνεται. ὧν ἐπεισελθόντων, καὶ συμβῆ προσηνῶς κακὸς ἐξοικίζεται. ἐγὼ μὲν οὖν εἶχον ὡς ἀποφανούμενος τὴν μετάθεσιν. ὁ δὲ, καὶ ἐξηλέγχετο, καὶ πρότερον ὑπεσχημένος· αὐτὴν ὅρκου τὴν ὑπόσχεσιν βεβαιώσαντος. τούτου λαβόμενοι ἀσμένως, οὐδὲ τὴν ἀπόφασιν ἀπεδίδρασκον. αὐτίκα ἕτερον αὐτὸν ἀπέφαινον ἑαυτῷ δικαστὴν, καὶ τὸν οἰκεῖον ὅρον ἐκβιβάζειν ἠνάγκαζον. ἀνατιθεμένου δὲ καὶ διατρίβοντος, ἐπειδὴ τῆς ἐκκλησιαστικῆς ἕνεκα σκέψεως αὐτόθι παραγενομένην, ἐδέησεν ἐπιβαλεῖν τοὺς ὀφθαλμοὺς τῷ τόπῳ, καὶ ἐπιδιαγνῶναι τὰ τῆς ὑποθέσεως. καὶ πάλιν παρῆν ὅμιλος ἐπισκόπων ἐκ τῆς περιοικίδος, ἄγαν κατὰ τὰ ἄλλα χρείας συνειλεγμένων. ἐφ᾽ ὧν ἁπάντων καὶ μοῦ, οὔτε ὅροι διεδείκνυντο. τὴν τοίνυν διαρρήδην τοῦ μελέδου σαφῶς ἀποτεινόμενοι, καὶ μαρτυρία γερόντων, καὶ συγκαταθέσεις τῶν τέως ἀντιλεγόντων, τὸν εὐλαβέστατον Διόσκορον, τοῦ χωρίου δεσπότην ἀπέφηναν. ἐγκειμένου δὲ τοῦ ἀδελφοῦ Διοσκόρου, γέγονεν ἀναγκαῖον καὶ τὸ γραμματεῖον τὸ λοίδορον εἰς κοινὸν ἅπασιν ἀναγνωσθῆναι, ὃ πρὸς τὴν ἁγιότητα τὴν σὴν, ὁ εὐλαβέστατος Παῦλος ἐπεποίηκεν ἐν ἐπιστολῆς εἴδει, κωμῳδίαν ὄντως τὸν ἀδελφὸν ἀνασυρμένην καὶ πλημμελῆ.

ἀφῆς αἰσχύνεσθαι περιῆν, ὅτῳ κακῶς ἀκούσαντι, τῷ δὲ κακῶς ἀ-
γορεύσαντι. ἀλλ᾽ ἔστιν ἄρα καὶ τοῦτο δεύτερον ἀγαθὸν, τὸ αἰσχύνε-
σθαι. τὸ μὲν γὰρ ἀναμάρτητον, θείας ἀντικρὺς ἂν καὶ μοίρας ἢ
φύσεως. τὸ δὲ ἐπὶ τοῖς οὐκ εὖ γινομένοις ἐρύθημα, σωφροσύνης τις
ἂν ἀπεφήνατο. ἅπερ ὑποστὰς, ἐπὶ τοῦ παρόντος πράγματος ὁ εὐ-
λαβέστατος Παῦλος, ἀπὸ τῆς ῥητορείας ἰσχυροτέραν ἀπέφηνε τὴν
ἐξ οἰκείας γνώμης μετάνοιαν. τὸ γὰρ ὁμολογῆσαι τὸ ἁμαρτεῖν, καὶ
φανῆναι τὴν αἰσχρὰν λύπην τὴν ὡς ἐπὶ κακοῖς αὐθαιρέτοις λυ-
πούμενον, πάντως ἡμᾶς εὔνους αὐτῷ καὶ συνδιατιθεμένους πα-
ρέχεται. τὸ μὲν ἡμέτερον, θαυμαστόν. ἀλλ᾽ ὁ εὐλαβέστατος ἐπίσκο-
πος Διόσκορος, ἐπειδὴ τὸν τέως διαφιλοτιμούμενον ταπεινότε-
ρον ἐθεάσατο, τῇ ψήφῳ κρατῶν, ἡττήθη τῇ γνώμῃ. καὶ γέγονεν ἐ-
πὶ τῷ εὐλαβεστάτῳ Παύλῳ, ποιεῖν ὅ,τιπερ βούλοιτο κατασχεῖν
ἢ παραδοῦναι τὸν λόγον τοῦ θαυμαστοῦ Διοσκόρου, πολλὰς ἐνδόν-
τος αἱρέσεσιν, ὧν οὐδεμιᾶς ἂν ἀκοὴν πρὸ τῆς ἐκείνου μετανοίας
ἠνέσχετο. καὶ γὰρ ἀποδοῦναι μόνον τὸν λόγον, καὶ ἀμοιβὴν δοῦναι
πρὸς ἅμα τὸ κτῆμα, καὶ ἄλλα πολλὰ προσεξεῦρεν, ἐπιδαψιλευό-
μενος αὐτῷ πόρους, ἀφ᾽ ὧν αὖτις προλήψεται χρείαν. ὁ δὲ, ταῦτα
μὲν ὤκνει. ἠξίου δὲ ὑπεισελθεῖν αὐτὸς τὴν εἰς τὸν ἀδελφὸν Διόσκο-
ρον γινομένην ζημίαν, καὶ ἐπὶ τοῖς αὐτοῖς αὐτίκα καταστῆναι, δεσπό-
της τοῦ κτήματος. ἐγίνετο πρὸς τῷ λόγῳ καὶ τῶν ἀμπελώνων
καὶ τῶν ἐλαιώνων ἐγκρατής. τῷ δὲ, ἡ μεγαλοφροσύνη κτῆμα ἀν-
τὶ κτήματος, μεῖζον αὐτῷ πλεῖστον περιγέγονε. κοινὸν ἀμφοῖν ἀ-
γαθὸν, ἡ φιλαδελφία. καὶ τὸ ἔσω γίνεσθαι τῶν νόμων τῶν εὐαγ-
γελικῶν, οἳ συνεκτικωτάτην τῶν ἐντολῶν τὴν ἀγαπητικὴν διάθε-
σιν ἀπεφήναντο. ἓν τοῦτο μόνον ἔδει μνήμης ἀξιῶσαι μηνύσαντα
ἀδελφῶν

ἀδελφῶν τοὺς συμβούλους καὶ τὴν ὁμόνοιαν· τὰ μέσω δὲ παραλι-
πεῖν, ὅτις ἐπίσκοπος ὢν, ἥλω τί ποιήσας. ἃ γὰρ οὐκ ἔδει πεπραχέναι,
ταῦτα καλῶς ἔχει διδόναι τῇ λήθῃ. ἀλλ' εἰ μὴ πάντα ἐκ πάν-
των ὁ ἀδελφὸς Διόσκορος ἀποτυγχάνει, ταῖς αἰτήσεσιν αὐτοῦ
δέδωκα τὸ πᾶσιν ἀκριβῶς ἐπεξελθεῖν, ἵνα μηδὲν ἀσυνοήσειεν ἡ σὴ
θεοσέβεια, ἣν οὐ τὸ φαῦλον, ἀλλ' ἀντίπαλον τὸ ἐποίει τὸ, πεισθῆναι, διὰ
τῶν ἀποβάντων, ὅτι μὴ ἐπ' ἀδίκοις ἐφιλονείκησε. κἀγὼ τὸν ἄνδρα
τά τε ἄλλα ἐπαινῶ. πάνυ γάρ μοι πρὸς τρόπον, καὶ διὰ τὸν θρό-
νον αἰδοῦς, ὑπεράγαμαι. καὶ ναὶ μὰ τὴν φίλην σου καὶ σεβασμί-
αν κεφαλὴν, πολλὴν οἶμαι χάριν ὀφείλειν αὐτῷ τοὺς ἐν Ἀλεξαν-
δρείᾳ συμπτώχους, ὧν τοὺς ἀγροὺς ἐκ ποιεῖ ταχὺ πανταχοῦ γινό-
μενος, ἐξ ἀπόρων φόρους εἶναι λέγων, καὶ τοῖς καιροῖς παριστάμενος.
τὰ μὲν περὶ τὴν τῶν ἐπισκόπων στάσιν, οὕτως ἐχώρησεν. ἐπίταγ-
μα δὲ ἦν, ὃ παρ' ἀκούσωμαι καὶ Ἰάσονος, ὃς ἔφη πολλὰ τὰ ἄδι-
κα παρὰ συμπρεσβυτέρου παθεῖν. οὕτως οὖν ἔχει κἀκεῖνα. Λαμ-
πωρίαν μὲν Ἰάσων εἷλεν ἀδικίας. ὁ δὲ, φθάσας, ὁμολογίᾳ τὸν ἔ-
λεγχον, ἔχει τὴν δίκην, ἐκκλησιαστικῶν συνόδων εἰργόμενος. καί-
τοι καὶ δάκρυσιν ἐκ μετανοίας ἀφῆκε. καὶ δημοσίᾳ ἱκέτης αὐτὸν ἐξη-
τήσατο. ἀλλ' ἐγὼ τῷ θεῷ δεδομένῳ ἐνεκαρτέρησα. τὸ δὲ λῦσαι τὴν
αὐθεντίαν, εἰς τὴν ἱερατικὴν καθέδραν ἀνέπεμψα. τοσοῦτον οὖν
ἐμαυτῷ συνεχώρησα. εἰ προσπελάσειε Λαμπωνιανῷ τὸ χρεὼν,
καὶ ἡ κυρία παρεῖναι δοκεῖ, πᾶσιν ἐφῆκα τοῖς τότε παρεσομένοις
πρεσβυτέροις, κοινωνίας αὐτῷ μεταδοῦναι. μηδεὶς δὲ ἀποθάνῃ δεδε-
μένος, ἐμοὶ ἀναχωρισθεὶς ἢ, πάλιν ὑπὸ τοῖς αὐτοῖς ὑπόδικος ἔστω. καὶ πα-
ρὰ τῇ θεοπρεπεστάτῃ σου καὶ ἱλαρωτάτῃ ψυχῇ, περιμενέτω τῆς συγγνώμης
τὸ αἴτημα. οὐδὲ γὰρ οὐδὲ Ἰάσων πάντα ἀναίτιος ἑαυτῷ. προ-

πετῆς αὐτὸς γλῶτταν, ἐνέτυχεν ἀνδρὶ προπετεστέρῳ τὴν χεῖρα. τὸ τοῦτο δὴ τὸ λεγόμενον κουφοτάτου πράγματος λόγον, βαρυτάτην τὴν τιμωρίαν ἐξέτισε. καὶ περὶ τῶν ἐγκλημάτων ἃ διείληφα, ταῦτα Λαμπωνιανὸς ἔχειν ὁμολογεῖ. καὶ οὐδὲν ἀξιοῖ παρὰ τῆς μαναγίας ἀφελέσθαι, τῆς ποιησάσης ἀφανὲς τὸ συμβόλαιον. ἀλλὰ καιρὸν αἰτεῖ, τοὺς καρποὺς ὠνίους γενέσθαι. καὶ ἔφη πάντων ἀμελήσας, εἰ τούτῳ προσέχειν τὸν νοῦν, ὡς ἂν τοῦ πτωχικὰ καταθέσθαι τοῦ χρήματος. νομίσματα δὲ ἦν ἑπτὰ καὶ πεντήκοντα πρὸς τοῖς ἑκατόν. ἀνοιστέον δὲ καὶ περὶ τῶν δεινῶν γινομένων παρ' ἡμῖν, ἵνα γινόμενα παύσηται. ἱερεῖς ἱερέας παρανόμως διώκουσιν. ἐν μὲν τῷ ψιλῷ δέσιν, οὔπω λέγω. πάντως δὲ μετ' ἐπιβούλου τῆς προαιρέσεως. οὐ γὰρ ἵνα λάβωσι δίκας, ἀλλ' ἵνα τοῖς ἄρχουσι τῶν στρατευμάτων, ἄδικα κέρδη μνηστεύσωσιν. ἐπεὶ δὲ τοὺς ἐμοὺς ὤμους ἀναβαίνειν ἀνάγκη, τὰ πάντων φορτία. διὸ δέομαι γράφε καὶ διὰ τούτου μηδενὶ μηδὲν ἐξεῖναι τοῦτο ποιεῖν ἢ δ' ἐμοὶ χαρίζῃ καὶ τοῖς ἀπραγμονεστέροις καὶ κακῶς πάσχουσιν ἀμυνεῖς. ἢ πολὺ πλέον δὴ πενιχρῶς ἔσῃ, τοὺς ἀδικοῦντας αὐτοὺς ἐπὶ τὸ μεῖζον ἀγαθὸν τὸ μείζονος ἀπηλλάχθαι κακοῦ. κακὸν γὰρ μεῖζον τοῦ ἀδικεῖσθαι τὸ ἀδικεῖν. τὸ μὲν γὰρ, ἴδιον ἐστὶ κακόν. τὸ δ' ἀλλότριον. ἀλλ' οὔτ' ἐγὼ κατεμήνυσα τίνος εἰσί, μήτ' αὐτὸς εἰ καὶ μάθοις ἐπ' ὀνόματος ἐξελέγξῃς τινά, ἵνα μὴ ἀπεχθοίμην ἀδελφοῖς, οἷς εἰ τὰ κατὰ πρόσωπον ἰδίᾳ λίαν ἐπιτετίμηκα, συγχωρήσει θεός. ἀλλὰ φανήσεται τὸ πρᾶγμα μόνον μισῶν ἐν τοῖς πρὸς ἐμὲ γράμμασιν. ἐσόμεθα γὰρ σὺν θεῷ μετὰ τὸ πᾶσιν ἄλυπον τὸ μηκέτι προελθεῖν περαιτέρω τὴν ἀσχημοσύνην ἡμῶν. μὴ γὰρ ἔποιμι τῆς ἐκκλησίας. οἰκονομήσασθαι δὲ σὺ ἔτι λοιπὸν, καὶ λόγον πέπαυσμαι. περὶ νόσου νῦν τινὲς βακαύπτοι παρ' ἡμῖν.

αὔξη

ἀνέξῃ γάρ μου μικρὸν ὑποβαρβαρίσαντος, ἵνα διὰ τῆς συνηθεστέρας
τῇ πολιτείᾳ φωνῆς, τὴν ἐκείνων κακίαν ἐμφαντικώτερον παρα-
στήσαιμι. οὗτοι καθέδραν μὲν ἀποδεδειγμένην ἔχειν οὐ βούλον-
ται. οἷς γε τὴν οὖσαν ἀπολελοίπασιν, οὐ κατὰ συμφοράν. ἀλλὰ αὐ-
θαίρετοι μετανάσται γενόμενοι. καρποῦνται δὲ τὰς τιμάς, ἐκεῖ
περινοστοῦντες, ὅπου κερδαλεώτερον. ἐμοὶ δὲ δοκεῖ ὦ πρεσβευσιμ-
ώτατε, χρῆναι τούτοις, ὅσοι τὰς οἰκείας ἐκκλησίας ἀπείπαντο
πᾶσαν ἐκκλησίαν ἀπείπασθαι. καὶ πρὶν ἂν ἀπελθόντων, ἐκεῖ κα-
ταστήσωνται, μηδένα δέχεσθαι θυσιαστηρίῳ. μὴ δὲ εἰς προεδρίαν κα-
λεῖν. ἀλλὰ περιορᾶν ἀγελαίους ἐν ταῖς δημοτικαῖς καθέδραις,
ὅταν εἰς ἐκκλησίαν ἐμβάλωσι. τάχα γὰρ ἐπανέλθοιεν ἐπὶ τῆς
τιμῆς κινδυνεύοντες, ἧς ἀξιοῦσιν ἀπολαύειν ἁπανταχοῦ μᾶλλον,
ἢ οἷ προσήκει. δέξαιντο γὰρ ἐκεῖ μᾶλλον ἢ μηδαμοῦ. καὶ δη-
μοσίᾳ μὲν, οὕτω προσοιστέον αὐτοῖς, ὡς ἄντικρυς ἰδιώταις ἂν καὶ
τῷ σεμνοτάτῳ συνθρόνῳ συνδοκῇ. ἰδίᾳ δὲ τὸ καθῆκον, εἰσόμεθα
πάντως ὅταν ἥκῃ παρὰ τῆς σῆς θεοσεβείας ἀπόκρισις ἐκείνης τῆς πεύ-
σεως ἣν πρώην ἠρώτησα περὶ Ἀλεξάνδρου κυρηναίου μὲν ἀνδρὸς
τὸ γένος, ἱερατευσαμένου δ' ἔν τινι πόλει τῶν βιθυνῶν. ἧς ἐκ πο-
σῶν, κατὰ δή τινα στάσιν ἐξὸν ἐπανελθεῖν, οὐκ ἐπάνεισιν. ἀλλ' ἡ-
μῖν ἐπιχωριάζει. περὶ τούτου γέγραφα πρὸς τὴν σὴν ἁγιότητα, πᾶ-
σι ἀκριβῶς ἐπεξελθὼν τοῖς περὶ αὐτὸν γενομένοις, καὶ γνώμην αἰ-
τῶν, εἴ τι πλέον τὸν ἄνδρα. ἐπεὶ δὲ οὐδὲν ἧκέ μοι περὶ τούτων ἀν-
τίγραφον, ἀμφίβολός εἰμι, πότερον διαπέπτωκεν, ἢ διεκομίσθη
τὰ γράμματα, μέχρι τῆς μακαρίας σου κεφαλῆς, διείλεγμαι
περὶ τούτου πρὸς τὸν θαυμαστὸν Διόσκορον τὸν ἐπίσκοπον. τοῖς τα-
χυγράφοις τὰ ἀντίτυπα δοῦναι τῶν τότε γραφέντων ἐπέταξα, ἵ-
να ἐμὲ τυχαρῆς δεξάμενος τὴν ἐπιστολὴν, ἔχεις παραινοῦς

αἰτῆσαί τε, καὶ πρὸς ἐμὲ διαπέμψασθαι τὰ ἀμοιβαῖα. ἐπὶ πᾶσιν εὔχου περὶ ἐμοῦ· περὶ καταλελειμμένου ἐκ δόξης, καὶ τοῖς πᾶσιν ἐρήμου, καὶ δεομένου συνεργείας τοιαύτης, ὡς αὐτὸς οἴκοθεν περὶ ἐμαυτοῦ τι φθέγξασθαι πρὸς θεόν. ἅπαντα γὰρ εἰς τοὐναντίον μοι περιίσταται διὰ τὴν ῥιψοκίνδυνον τόλμαν, ὅτι ἄνθρωπος ἐν ἁμαρτίαις, ἀπότροφος ἐκκλησίας, ἀγωγὴν ἑτέραν ἠγμένος, θυσιαστηρίων ἡψάμην θεοῦ.

Τῷ αὐτῷ.

ξω Δέδωκα τὴν ἐπιστολήν, στέλλεται μὲν ἐπὶ πρᾶξιν, ἣν οὐχ ὅσιον ἐμοὶ διηγήσασθαι. ὅτι δὲ ἀρετήν, ἐκ νέας ἀσκεῖ, τοῦτο καὶ θέμις εἰπεῖν· καὶ πανταχοῦ πᾶσιν ἀληθές. ὡς μὲν οὖν ἀγαθὸν ἄνδρα, τιμήσεις. ἣν δὲ ἔγραψα γραφήν, οἰκείαν εἱμαρμένην πληροῦται. μὴ δὲ γὰρ δικαίου ποτὲ φόνου προσάψοιο.

Τῷ αὐτῷ.

μ Ἐπεὶ γάρ σοι μέλει περὶ τὰ πόλει. οὐκοῦν ἐν τάξει μὲν ταῖς δημοσίαις ἐπιστολαῖς. ὅτι δὲ κακὰ πλείω καὶ μείζω γέγονεν, ἢ φοβεῖ τὰ γράμματα, λέγοντος ἀκούσῃ τοῦ διακομιστοῦ. στέλλεται μὲν γὰρ ἐπὶ συμμαχίαν, ὡς ἐκεῖθεν αἰτήσων. τὰ δὲ τῶν πολεμίων, οὐδὲ τὴν ἔξοδον αὐτοῦ περιέμεινεν. ἀλλ' ἔφθασαν ἐκχυθέντες ἀθρόον κατὰ τῆς χώρας. πάντα οἴχεται. πάντα ἀνήρηται. αἱ πόλεις ἔτι λοιπαί. τὸ μέχρις οὗ γράφω, λοιπαί. τὸ δὲ εἰς τὴν ἐπιοῦσαν, θεὸς οἶδε. πρὸς ταῦτα εὐχῶν δεῖ τῶν σῶν. εὐχῶν λέγω, τῶν ἐθάδων, τοῦ δυσωπεῖν τὸν θεόν. ἐγὼ πολλάκις ἤδη τά τε ἴδια καὶ τὰ κοινά, μάτην εὐξάμην. τί λέγω μάτην. εἰς τοὐναντίον μοι περιέστη. τοιοῦτόν ἐστιν αἱ ἁμαρτίαι, βαρεῖαί τε καὶ πολλαί.

Πρόκλῳ.

π Ἐρίων ἐσχήκειν μοι γράμματα παρὰ τῆς ἱερᾶς σου χειρός· ἠρίθμησα καὶ τοῦτο μετὰ τῶν συντυχόντων μοι κατ' ἐκεῖνο καιροῦ δυσχερῶν. πολλὰ γὰρ τῶν πολλῶν ἐγὼ περὶ ὧν ἠμελήθην. ἀγαπῶ τῆς χει-

μου

μὸν, ὅ,τι μάλιστα ἦν τῶν εἰς τὴν χορηγίαν ἀφείλετο, τὸ παιδεῖον. ἥμαρτον γὰρ ἄρα, συνόντι μὲν ὑμῖν, δυστυχεῖν. ἀπόντι δέ, χαλεποῦ πειρᾶσθαι τοῦ δαίμονος. γινέσθω δή τις παραμυθία, τὸ δέξασθαι τὰ πατρικῆς συγκεφαλῆς γράμματα, τὸ τιμαλφέστατον ἀνθρωπίνης ἀγώγιμον. Πυλαιμένει.

β Ιστοὶ λόγοι λέγονται περὶ σοῦ. γεωργοῦ ὁμοῦ μὲν ἐπὶ θρᾴκης. ὁμοῦ δὲ εἰς ἰσαύρους γράφω, τοῦ περιτυχεῖν σε πάντως, μιᾷ γέ τινι τῶν ἐπιστολῶν. ὑπόθεσις δὲ ἀμφοῖν, ἀσπάσασθαι τὴν φιλτάτην κεφαλὴν πυλαιμένη τὸν φιλόσοφον. τοῦτο γὰρ ὅτι καὶ βούληται. κἂν μὴ βούληται. οὐ γὰρ, μήποτε καταπιχύσειε τοῦ πεφυκότος. οὐ δύναμαι σβέσει τὸν σπινθῆρα τοῦ θείου πυρός. ἀλλ' ἀνάπτεται, τῆς μοχθηρᾶς ἀγωγῆς ὑπεράνω γινόμενος.

## Τοῖς ἐπισκόποις.

α Νδρόνικος τὴν ἐκκλησίαν ψευσάμενος, ἀληθευούσης αὐτῆς πειραθήτω. πρῴην οὔπω πάνυ πρῴην, ἡμαρτηκὼς εἰς θεόν. ἐξύβρισεν εἰς αὐτούς. ἐφ' οἷς ἀποκλείσαντες αὐτῷ τὴν παρ' ἡμῖν ἐκκλησίαν, ὑπηγορεύσαμεν πρὸς τὴν ὑμετέραν ἀδελφότητα γράμματα, τὴν ἐπὶ τούτῳ γνώμην μηνύοντα. τούτων ἔφθασε τὴν ἀποστολικὴν ἱκετείαν προσποιησάμενος, καὶ μετάνοιαν ὑποσχόμενος, ἣν ἅπαντες ἠξιοῦμεν δέχεσθαι. πλὴν ἐμοῦ. ἐγὼ γὰρ ᾔδειν σαφῶς κατανενοηκέναι τὸν ἄνδρα, πάντα ῥᾴδιον εἰπεῖν καὶ ποιῆσαι. προσεδεχόμην τι τῶν προλέγοι ὡς ἐκ τῆς τυχούσης αἰτίας, εἰς τὴν φύσιν ἐπανελεύσεται. ὅν γε εἰκὸς ἀτολμότερον ἔσεσθαι προσκεκρουκότα ταῖς ἐκκλησίαις πολὺ μᾶλλον, εἰ μηδὲν ὑπῆρχεν αὐτῷ κατ' ἐλπίδα. διὰ τοῦτο μὲν οἷος ἦν ἔχειν περῆσαι τῷ δόγματι. ὡς ἁμαρτία τε πρὸς θεὸν δυσσεβεστέρα βαλλουσα μὲν, ἅπαντα πρὸ τῶν

πολίταις ὠφελιμώτερον. ἀλλ' ἴσως μόνον γὰρ ἀντισχεῖν ἔνια τοῖς ἄλλοις
παλαιοτέροις νεώτερον. προσῆκε δὲ παρ' ἡλικίᾳ ὅσῃ τὸν βίον ἱερωσύνῃ,
τὸν οὐδέπω περιεστηριγμένον τοῦ πράγματος, εἶξαι δεομένοις, μήπω
περιπέμψαι τὰ γράμματα, δέξασθαι δὲ ἐπὶ ῥητοῖς, ἐφ' ᾧ μικρόν
τι μανθάνειν κατὰ τῶν ὁμοτίμων. ἐφ' ᾧ νῦν ἀντὶ πάθους τοῦ βίου
προσήσεται. καὶ μὲν ἔφην ἔσω μένειν τῶν ὅρων οὓς ἔθου, νῦν τε
ὑπερεξόμεθα σου τῆς ἁμαρτίας, καὶ τοῦ λοιποῦ συνάξαιμεθα. ἀνα-
δυομένῳ δὲ τὰ τῆς ὁμολογίας, ἡ δίκη μένει. καὶ εἰς ἅπαντα δη-
μοσιευθήσεται. τοσοῦτον ἀνατεθεῖσα χρόνον, σοὶ ἐλέγξαι σου τὸν τρό-
πον, ἀνεπανόρθωτον. ἔδοξε ταῦτα. καὶ πεῖραν αὐτὸς τε ἐφηδύ-
σειν καὶ ἡμᾶς λήψεσθαι. δέδωκε. καὶ εἰλήφαμεν. ἐπειδὴ ψιλὰ ὅσα γε
ταῖς ὑποθέσεσι διὰ τὸ ἀποκηρύξεως. οὔπω τότε δημόσιος ἐπετόλμητο
οὔπω τότε φόνος ἐνεκεχείρητο. πόσοι διὰ τούτων ἀλῶνται. πόσοι
τῶν πρώην ἐπικτηματικῶν, διὰ τούτων πτωχεύουσι. ἀλλὰ μι-
κρὰ ταῦτα, πρὸς τὸν νῦν μὲν γεγονότα μάγον, κακῶς δὲ ἀπολλό-
μενον. καίτοι παῖς ἀνδρὸς λαμπροτάτου, ἅπασι τοῖς ἐσ λελει-
τουργηκὼς τῇ πόλει, τοῦ πρὸς ἕτερον φθόνου γεγονὼς παρανά-
λωμα. ἠπείγετο χρυσίον. ὁ μὴ διδούς, ἐτύπτετο. καὶ διδούς, ὅτι πό-
ρον ἐξεῦρεν, ἐτύπτετο. τί γὰρ οὐ τοῖς αὐτοῦ φίλοις, ἀλλὰ
τῷ στρατηγῷ τὸν ἀγρὸν ἀπέδοτο. δακρύω μὲν ἐγὼ καὶ τὴν παρα-
νομηθεῖσαν νεότητα, καὶ τὰς ἐπ' αὐτῇ ματαίας ἐλπίδας τῶν πλεῖον.
ἀλλὰ τῆς ἐκείνου νεότητος, τὸ τῆς μὴ πρὸς γῆρας ἐλεεινότερον, ὅτι
δυοῖν ἀρρένων, ὁ μὲν, οἴχεται φυγὰς διὰ ἀνδροφονίαν, καὶ οὐδὲ οἶδεν
οἱ γῆς. τὸν δὲ, οἶδεν οἱ γῆς κατώρυξε. φεῦ τῶν νόμων τῶν συνα-
δικούντων πατροὺς ἄρχειν τῆς ἑαυτῶν. πατροὺς ἐπαρχεῖν δια-
μερίζειν χρήματα. τούτων μὲν οὖν ἑτέρους ἐπιμελητὰς ὁ θεὸς εἶναι βού-
λεται.

λεται. ἡμῖν δὲ ἀπόχρη καθαρεύειν ἐν καθαροῖς, ἐὰν ἄρα δυνώμεθα, μένειν ἔσω τῶν περιβόλων τῶν ἱερῶν, ἐπιμελεῖσθαί τε τοῖς ἐναγίσι τὰ συναγίστατα.

Τρωΐλῳ.

σ Υ γὰρ δὴ ὁ φιλόσοφος εἶ ὁ φιλάνθρωπος, σύ με δεῖ προσσυναπολαῦσαι τῆς ἐνεγκούσης συμφορᾶς. ἣν τιμήσεις μὲν, διὰ πολίτην φιλόσοφον, ἐλεήσεις δὲ, διὰ τὸ τῆς σαυτοῦ φύσεως ἥμερον. δι᾽ ἀμφότερα δὲ, πεσοῦσαν ἀνορθῶσαι πειράσῃ. δυνήσῃ δὲ, ἐπειδὴ σώζειν τὰς πόλεις ἀνθέμιος, καὶ φύσιν ἔχει καὶ τύχην. καὶ τέχνην. ὧν πολλῶν ὑπαρξάντων εἰς τοῦτο παρὰ θεοῦ, τὸ μέγιστον ἀγαθὸν, οἱ φίλοι. καὶ τούτων Τρωΐλος τὸ μέγιστον. ὅπως οὖν μὴ μόνον τὰς ὄψεις ἐπιβάλλῃς, ἀλλὰ καὶ τὸν νοῦν, πάνυ σφόδρα προσέχειν τοῖς γράμμασιν, ὧν ἐγὼ πολλὰ κατέσπεισα δάκρυα. τί δὴ; Φοινίκων μὲν οὐκ ἄρχουσι Φοίνικες. τῆς κοιλοσύρων κοιλόσυροι. αἰγύπτιοι δὲ πάσης μᾶλλον, ἢ τῆς ἑαυτῶν. λίβυες δὲ μόνοι τῆς ἑαυτῶν. ἢ μόνοι λίβυές εἰσιν ἀνδροφόνοι τοι, καὶ χωρεῖν ὁμόσε τοῖς νόμοις ἐγνώκασιν. ὧν ὅτε πλείω καὶ φοβερώτερα τοῖς παραβαίνουσι γέγονε τὰ ἐπιτίμια, τότε μᾶλλον αὐτοῖς αἱ πονηραὶ φύσεις ἐνεκυβίσθησαν. ἔδει μὲν ἀρθῆναι ἀνῃρῆσθαι τὴν πρὸς κυρήνην πεντάπολιν. ὁ δὲ λιμὸς καὶ ὁ πόλεμος, οὔπω ποιεῖ ὅσον ἔδει κατήνυσαν. ἀλλὰ διατρίβουσι καὶ κατὰ μικρὸν ἀπολλύουσιν. οὐκοῦν τὸ λεῖπον εἰς τὸ ταχὺ κατεργάσασθαι προσεξεύρηκα μὲν. καίτοι γε τοῦτ᾽ ἐστίν. ὃ γὰρ παλαίφατον λόγιον ἐπεχρησμῴδησε τῇ τελευτῇ τῆς πενταπόλεως, πατέρων αὐτὸ καὶ πάππων ἠκούσαμεν. ὀ-Φθερεῖ τὰ λιβύων ἡγεμόνων κακότης. αὐτὸ γὰρ τοῦτό ἐστι, τὸ χρησμοῦ τὸ πιμμάχιον. ἀλλ᾽ εἰ καὶ πέπρωται τοῦτο ἀναβολήν τινα τοῦ κακοῦ μηχανήσασθαι. καὶ γὰρ ἡ τῶν ἰατρῶν τέχνη, τὸ μὲν ἀπο

θηριῶν ἀνθρώπων, ἐπειδὴ φύσις ἐστὶν, οὐ καθάπαξ ἥκω λύει· εἰ μή τις δέ τινα διατριβὴν τῶν χειρῶν· ὁμοιόντι αὐτοῦ μὲν καὶ παρὰ τῆς τέχνης τῆς ἀρχικῆς. βοήθησαι τοίνυν τῇ φύσει κατὰ τῆς νόσου. μὴ μέντοι κατασκευαζέτω τὸν ὄλεθρον, μή, δέομαι. μὴ γένοιτο τῶν Ἀνθεμίου τοῦ μεγάλου καιρῶν, ἐπαρχίαν ῥωμαϊκὴν ἐκ μέσης ἀνῃρῆσθαι τῆς διοικήσεως· εἴτε πρὸς αὐτὸν, εἴτε πρὸς τῶν λόγων. οὐ οὐ κατουπεμφθῆναι τὸν νόμον γέγονας αἴτιος, ὧν τοῖς πάλαι τὸν πρόσφατον, ὃς ἀνατείνεται πολλὰ καὶ χαλεπὰ τοῖς μνηστεύουσι τὴν τῆς ἐνεγκούσης ἀρχήν; πῶς οὖν οὐ νεμεσᾷ τοῖς φιλοτιμουμένοις ἐπὶ σοῦ διαῤῥήσσουσι τὰ σὰ πολιτεύματα. εἰ μὲν οὖν οὐ λανθάνουσιν, ἀδικεῖς. εἰ δὲ λανθάνουσιν, ἀμελεῖς. χρὴ δὲ οὐχὶ τὸν ἄνδρα τὸν ἡγεμονικώτατον. ἀλλ᾽ εἰ καὶ τούτῳ μάλιστα προσέχειν τὸν νοῦν. τοὺς ὑπάρξοντας ὡς βελτίστους αἱρεῖσθαι. θεία γὰρ αὕτη καὶ μεγαλοπρεπὴς ἡ πρόνοια, πρὸς ἣν δαπανᾶται φροντὶς εἰς ἐκλογὴν ἀνδρὸς ἀγαθοῦ. ἀλλ᾽ ἐν τούτῳ γάρ ἐστιν ἔθνος ὁλοκλήρου περιηθῆς φροντίδος. τούτων οὖν εὐθὺς ἀπεγνωκέναι προσήκει τῶν ἐναγομένων τοῖς νόμοις, πρὸς ἄρχουσι τῆς ἑαυτῶν. πρὸς ἐφ᾽ ἡμῖν ὡς πρὸ ἐπὶ κτήμασι διαμείζονται χρήματα. στήσατε τὸ κακόν. ἄρχοντας ἡμῖν νομιμωτέρους ἐκπέμψατε. ἀσυνοοῦντας. ἀσυνοουμένους. τοῖς φύσεσιν, οὐ τοῖς περὶ ἕκαστον πάθεσι τὰ πράγματα κρίνοντας, ὡς τὰ νῦν ταῦτα κατὰ πόλεις διαπότης ὁ πρώην ἀντιπολιτευόμενος. καὶ τὴν ἐν πολιτείᾳ διαφορὰν ἀπὸ τοῦ βήματος ἀγωνίζεται. ὅσα δὲ ἄλλα παραβλαστάνει κακά. συκοφαντεῖται συμπόσια. καὶ γυναικὶ δίδοται χάρις ἡ τοῦ πολίτου συμφορά. καὶ κατήγορος ἐκκέλευσθ᾽. ὃς δ᾽ ἂν μὴ γράψηται παρανόμων, ἑάλωκεν. εἰ μὴ καὶ πρὶν ἁλῶναι, τὰ τῶν ἑαλωκότων ὑπέμεινεν. ἐθεα-

σάμεθα

σόμεθα δὲ σιωπῶσαν ἀπὸ τούτου γινόμενον· ὅτι μὴ τὸν ἄρτι που-
σόμενον τῆς ἀρίστης ἀρχῆς, ὑπὸ κλοπῆς δημοσίων ἐδίωκε. μᾶλλον
δὲ τοῦτον οὐδὲ τεθεάμεθα, ἀλλ' ἀπείρητο προσιέναι καθάπερ
τοῖς ἐναγέσι, ἢ τοῖς βασιλέως ἐχθροῖς, ἕως δὴ ἐπράξατο τὸ πᾶν ὅσον
ἐβούλετο. καὶ τὸν ἥλιον εἶδεν ὑπὸ ῥητοῖς ἄνθρωπος ἐφ' οὗ Γεννάδι-
ον ἔγραψεν. ἀλλ' ἥ γε ἡμετέρα περιττὰ πόλις Γενναδίου μὲν τοι σύ-
ρου, πολλὰ ὑπὸ πολλῶν ὤνατο. καὶ τὸ μέγιστον, ὅτι τῷ λόγῳ καὶ πει-
θοῖ τὴν ἀρχὴν ἐπιτρέψας, ἔλαβεν ἡμᾶς τῶν ἀπηνεστάτων τε καὶ
ὀνομαστοτάτων ὑπὸ σκληρότητι πλείονα χρήματα τοῖς δημοσίοις
ψήφοις εἰσενεγκεῖν· ἐφ' οἷς οὐδεὶς ἐδάκρυσεν. ἐφ' οἷς οὐδεὶς ἀπέδο-
το τὸν ἀγρόν. ἐκείνην αὐτὸς εἰς φορὰν εὐσεβῆ δικαίως ἐκάλεσεν,
ἣν οὐχ ὕβρεις ἢ μάστιξ ἠνάγκασε. τὰ δὲ περὶ τῶν πολιτῶν, φοβοῦ-
μαι μνήμης τῶν πεπαυμένων. φοβοῦ τῆς πείρας τῶν ὁρωμένων. οὐ
δὲν οὖν ἀξιοῦμεν καινὸν, ἀλλ' ὑπὲρ τῶν νόμων Ἀνθέμιον ἱκετεύ-
ομεν. ὑπὲρ τῶν νόμων τὸν τούτων φύλακα. ὧν ἄξιοι μὲν αἰδεῖσθαι
τὴν ἀρχαιότητα. νόμου γὰρ δὴ καὶ τοῦτο σεμνότης. εἰ δέ τῳ δοκεῖ, τὰ
διατάγματα τὰ νεώτερα, τὴν ὡς ἂν εἴποι τις ἔμψυχον ἐπὶ βα-
σιλείᾳ ἐπιγραφόμεθα.

## Πυλαιμένει.

ε Πέμψας σοι τὸν λόγον ἀπ' Αἰγύπτου, τῆς ἀκριβοῦς ἐργασίας. ὃν
αὐτὸν μὲν ἐπαινέσῃ Πυλαιμένης ἱκετικωτάτῃ τῇ ἀκοῇ, αὐ-
τὸ τοῦτο τῇ διαδοχῇ τοῦ χρόνου συνέστησεν. εἰ δὲ μηδὲν φανεῖται σπου-
δαῖον, ἔξεστι δήπου παίζειν τὰ παίγνια. Νικάνδρῳ.

τ Οὐ περιγραμμάτων τὸ κλεινόν. πῶς γὰρ οὐ κλεινὸν, ὅπερ ὁ με-
γας ἐπήνεσε Νίκανδρος, τῆς χρυσῆς εἰκὸν ἢ κύπριδος ἢ στρατονίκε

ἐπίστασαι πάντως, ὅτι εἰς ἐμὴν ἀδελφὴν ἐποιήθη παρ' ἐμοῦ τότε, παρὰ τοῦ Στιχουμαθῶν· ταύτῃ τῇ φιλτάτῃ μου τῶν ἀδελφῶν ἣν καὶ διὰ εἰκόνος ἠξίωσα καὶ τοῦ στίχου, Θεοδόσιος ὁ βασιλείως ὑπασπιστὴς σύνοικος, ἕνεκα μὲν τοῦ χρόνου καὶ τῆς ἐν στρατείᾳ προσεδρίας, καὶ ἐπροστάτησε πολλάκις· νῦν δὲ σπουδῇ, πλεῖον δυνάμενοι τῶν ἐνιαυτῶν. ταύτῃ τί οὖν ὄφελος αὐτῷ γενοῦ καὶ τοῖς δίκαιος ἐπὶ τινῶν εἶχεν αὐτῷ πρὸς αὐθέμιον, ὀνειδίζω διὰ τοῦ μεγάλου νικάνδρου.

## Θεοφίλῳ.

Ὁ Ἀβιάταιος, οὗτοι δὲ ὁ δῆμος ἐστι κωμήτης, ἐδέησεν αἱρέσεως ἐπισκόπου τοῦ μακαριωτάτου πατρὸς Ἀθάμαντος τῷ μακρῷ βίῳ τὴν ἱερωσύνην συγκαταλύσαντος. ἐπικαλέσαντο δὲ κἀμέ, κοινωνὸν αὐτοῖς γενέσθαι τοῦ σκέμματος. καὶ συνήχθημεν ἀθρόον σὺν ἐκ πολλῶν καὶ πάντων ἀγαθῶν ποιουμένοις τὴν αἵρεσιν. πολὺ δὲ πλέον αὐτῶν ἴσως συνήχθην, τῆς καλοκαγαθίας, ὅτι καὶ καλῶν ἔδοξεν εἶναι καλλίων. ἐπεὶ γὰρ τοῦτο, ἡ πάνδημος ψῆφος ἀνέχειν. προστεθέντων δὲ καὶ δυοῖν εὐλαβεστάτων ἐπισκόπων τῇ γνώμῃ τοῦ πλήθους, οἷς συνεπέβρακτο, καὶ ὧν τῇ θατέρου χειρὶ πρεσβύτερος ἀπεδέδεκτο, ἐτύγχανον μὲν οὐκ αὐτὸς ἀγνοῶν πάλαι τὸν Ἀρτώνιον. ἀλλὰ διδόσων αὐτὸν ἐγνωκὼς λόγων ἀπειραξεων, διὰ τὸ σοῦ τὸ ἐπαινεῖσαι. προσθεὶς δὲ οἷς ἠπιστάμην καλοῖς, ἃ παρ' ἤκουσα, φέρω κἀγὼ τὴν ἐμαυτοῦ ψῆφον ἐπὶ τὸν ἄνδρα. καὶ γένοιτό μοι βουλομένῳ κοινωνὸν αὐτὸν εἰς τὴν ὁμότιμον ἱερωσύνην προσδέξασθαι. εἶδος οὖν ἔτι δεῖ, τοῦ κυριωτάτου μέντοι, διὰ ἱερᾶς σου χειρός. τούτου μὲν ὁ Ἀβιάταιος δεῖ. ἐμοὶ δὲ εὐχῶν.

αὐν

## Ἀνυσίῳ.

ὁ Ὑκ ἐθέλει παραμένειν ἀλλήλοις τὸ φῶς καὶ τὸ σκότος. ἀλλὰ νόμῳ φύσεως περιΐσταται, ἐπανελθόντες ἀπὸ τῆς σῆς τιμῆς, ἀνδρομίκου κατειλάβομεν.

## Τῷ αὐτῷ.

ὀ Ὑδὲν ἂν γένοιτο περὶ τὴν πόλιν λυσιτελέστερον, τοῦ τοὺς ἀγαθοὺς καὶ ἄνδρας καὶ στρατιώτας οὐννιγάρδας προτετιμῆσθαι πάντων στρατιωτῶν, οὐ τῶν ἐγχωρίων λεγομένων μόνον, ἀλλὰ καὶ ὅσοι πώποτε κατὰ συμμαχίαν τούσδε τοὺς τόπους ἀφίκοντο. ἐκεῖνοι μὲν γὰρ οὐδὲ πώποτε παραπλησίοις ἐλάττοσι τῶν πολεμίων μετὰ τοῦ θαρρεῖν συνηνέχθησαν. οὗτοι δὲ δὶς ἤδη καὶ τρὶς πρὸς ἄνδρας ὑπὲρ χιλίους τὸν ἀριθμὸν, μόνοι τετταράκοντα μετὰ τοῦ θεοῦ καὶ σοῦ στρατηγοῦ, παρετάξαντο. καὶ νίκας τὰς μεγίστας καὶ καλλίστας ἀνείλοντο. τῶν δὲ εἰς ὄψιν αὐτοῖς ἐλθόντων βαρβάρων, τοὺς μὲν, ἀπολωλεκότες τοὺς δ᾽, ἀπεληλακότες, τά τε μετέωρα τῆς χώρας ἔτι περινοστοῦσι. καὶ τὰς εἰσβολὰς τῶν πολεμίων φυλάττουσιν, ὥσπερ σκύλακες αὐλῆς προπηδήσαντες, ἐφ᾽ ὧ θηρίον οὐκ ἐκαλεῖτο τῇ ποίμνῃ. ἀλλ᾽ ἡμεῖς αἰσχυνόμεθα τοὺς ἀριστέας, ἐν αὐτοῖς τοῖς ὑπὲρ ἡμῶν ἱδρῶσι δακρύοντας. οἷα γὰρ καὶ γεγράφασι πρὸς ἡμᾶς, ἐγὼ μὲν οὐκ ἀπαθῶς ἀναγινωσκομένων ἀκήκοα. ἀξιῶ δὲ μὴ δὲ σὲ τὴν ἱκεσίαν αὐτῶν παριδεῖν. δέονται γὰρ διὰ σοῦ μὲν δήμων. βασιλέως δὲ διὰ σοῦ δέησιν, ἣν εἰκὸς ἡμᾶς ἦν, ἐκείνων σιωπώντων ποιήσασθαι, μὴ καταλεγῆναι τοὺς ἄνδρας ἀριθμοῖς. ἐγχωρίοις. ἀχρεῖοι γὰρ ἂν ἑαυτοῖς τε καὶ ἡμῖν γένοιντο, τῶν βασιλικῶν δωρεῶν ἀφῃρημένοι, εἰ μήτε ἵππων ἕξουσι διαδοχὴν, μήτε ὅπλων παρα-

σκηνὴν, μήτε δαπάνην ἀγωνιστικὴν ἀνδράσιν ἀρκοῦσαν. μὴ σύ γε ὦ μετὰ τοῦ τῶν ἀριστεῦ, μὴ περιίδῃς τοὺς στρατιώτας εἰς ἀτιμοτέραν τάξιν χωροῦντας. ἀλλ' οὗτοί τε μενόντων ἄσυλοι τῶν γερῶν ἐν βεβαίῳ τῆς πρότερον ἀξίας, ὃ γένοιτ' ἄν, εἰ διὰ τῆς σῆς ἀναφορᾶς ὁ φιλανθρωπότατος ἡμῶν βασιλεὺς μάθοι, πόσον ὄφελος ἐγένοντο τῇ πενταπόλει, καὶ δεηθείη τι βασιλέως ὑπὲρ ἡμῶν, ἐν τοῖς σοῖς γράμμασι δέησιν ἑτέραν, ἄνδρας ἑκατὸν ἑξήκοντα τοῖς τετταράκοντα τούτοις προστεθῆναι μετὰ θεοῦ, τίς οὐκ ἂν ἀποφήναιτο διακοσίους οὖν ἀγαθοὺς καὶ ῥώμην καὶ χεῖρα τούτοις παραπλησίους, ὧν οὐχ ἥκιστα ἐπαινοῦμεν τὸ πρᾶον τῆς ῥώμης, στρατηγοῦντος, ἀρκέσειν εἰς τὸ διαπολεμηθῆναι βασιλεῖ τὸν ἀσύνετον πόλεμον. ἐπὶ δὲ καταλόγων πολλῶν, ἃ τῆς φοιτώσης κατ' ἐνιαυτὸν δαπάνης, τοῖς ἐνθάδε στρατεύμασι χειρῶν δεῖ τῷ πολέμῳ, καὶ οὐκ ὀνομάτων πολλῶν.

Ἀναστασίῳ.

ὑ Ὑπὲρ ἐμαυτοῦ γέγονα χρήσιμος Εὐαγρίῳ τῷ πρεσβυτέρῳ. ὑπὲρ δὲ ἑτέρῳ τινὶ, τῶν ἀδικουμένων. ἄρχει δὲ παρ' ἡμῖν ὁ Βερονίκιος, Ἀνδρόμικος. ἀπορρὰς αὐτός. παλαμναίαν ἔχων τὴν γνώμην. καὶ γλῶτταν. ὃς εἰ μὲν ἐμοῦ καταφρονεῖ, πρᾶγμα οὐδέν. ἀλλ' αἰσχύνεσθαί μοι δοκεῖ ἢ τὰ θεῖα τιμῆσαι. οὗτος ἀράσσει τῇ κεφαλῇ τὸν οὐρανόν. νὴ τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλὴν, σχῆμα πεντάπολει πένθιμον περιτέθεικε. δακτυλήθρας. καὶ ποδοστράβας ἐξευρὼν, καὶ ξένα ἅττα κολαστήρια κατ' οὐδενὸς τῶν ἀδικούντων. πάνυ γὰρ νῦν ἔξεστι τῷ βουλομένῳ ἀδικεῖν, κατὰ δὲ τῶν συντελούντων ὑπὲρ τῶν οὐσιῶν καὶ τῶν ἄλλων ὁπουοῦν ὀφειλόντων. δεινὸς γὰρ ἀνὴρ ὑποθέσεις ἐξευρίσκειν, τῇ τε ἑαυτοῦ καὶ

τῇ

τῷ ὑπαντὸς φύσει περιττοῦ ὄντος· ὃν ἐπὶ τῶν δεσμωτῶν ὄντα, πολλαῖς ἀ-
παιτήσεσιν ἔταξε τοῦ στρατιωτικοῦ χρυσίου τοῦ καλουμένου τυ-
ρωνικοῦ· καὶ συνῆψε τὰ αὐλακεῖα. καὶ ἀεί τι καινὸν ἐπὶ παλαιῷ κα-
κῷ, ἐφ' ᾧ κατὰ φῦλα καὶ δήμους αἰκίζεσθαι· οὐ γὰρ ῥᾷστιν οὐδὲ τοῖς
ἔχουσι καὶ πλουτοῦσιν, ἀμαστιγώτους ἀναχωρῆσαι· ἀλλ' ἕως ὅπως
οἴκαδε βαδίζῃ τὸ χρυσίον οἴσων, ὁ δεσπότης ἠλόηται καὶ παρενεί-
ους τῶν δακτύλων ἐσφίγγετο. ὅταν δὲ προφάσεως ἀπορῇ δυναμένης
αὐτὸν ἐστιάσαι, Μαξιμῖνος καὶ Κλαυδίας ἔφεδροι. ἐν ἐκείνοις χα-
ρίζεται τῷ πάθει. ἀλλά μοι δοκεῖ τοιοῦτος ὤν, πονηρῶν δαιμό-
νων προσομοίας τυγχάνειν. οἱ βούλονται μὲν ἐπαιρέσθαι καὶ δυστυ-
χεῖν τὰς παλαμναιοτάτας ψυχάς, αἷς ὀργάνοις δύνανται χρῆ-
σθαι, πρὸς τὰς κοινὰς συμφοράς· ἀπὸ τούτων οὖν παρασκευά-
ζουσιν αὐτῷ δόξαν ὡς ἀνδρὶ γενναίῳ. καίτοι πῶς εὔλογον ὅστις ὑ-
περύψωσε τὸν ὑψηλόν, καὶ τὸν ταπεινὸν ἐταπείνωσεν. ἐφ' οὗ πᾶς
μὲν μέτριος καὶ πρᾶος τὸν τρόπον, ἐν καρὸς μοίρᾳ καὶ ἄτιμος.
δύνανται δὲ μόνοι Ζηνᾶς καὶ Ἰούλιος· Ζηνᾶς, ὁ πράξας πέρυσι τοὺς
πολιτικοὺς φόρους· ὃς ἀπειλεῖ τὸν ἐμὸν ἀδελφὸν Ἀναστάσιον, πα-
ρὰ πρεσβείας καὶ διώξεσθαι. καὶ αἱρήσειν. οὗτος μὲν τοι, ἑκόντος
αὐτοῦ δύναται. Ἰούλιος δὲ ἄκοντός τε καὶ κλαίοντος. καὶ κατοῦ-
δρὸς οὕτως, ὡς κατὰ τοῦ ἀνδρονίκου γέγονεν ἰσχυρότερος. ἐγκεκραγὼς
δὲ αὐτῷ δίς που καὶ τρὶς καὶ τοῖς ἐξ ἀμάξης λοιδορησάμενος,
πάντα ἐπανατεινάμενος, ἅπερ ἂν εἰρῆσθαι καὶ περὶ ἐμοῦ τοῦ παν-
τὸς ἂν ἐτιμησάμην, ἀπέδειξε τὸ κάθαρμα μὴ ἀντιλέγοντος. ἐξ
ἐκείνου χρῆται καθάπερ ἀνδραπόδῳ, παρόσον ἀδεῶς οὐδὲ
ἐν ταῖς γωνίαις ὑποψιθυρίζειν κατὰ τοῦ δεσπότου τολμᾷ. τοῦτο
δὲ δήπουθεν ἔξεστι τοῖς οἰκέταις ποιεῖν. Ἀνδρόνικος ἦ, οὐδὲ τοῦτο.

τὸ γὰρ ἀλόγιστον ἀνδρεῖον μὲν οὐδαμοῦ· παρὰ δὲ τοὺς καιρούς, δειλόν τε καὶ θρασὺ γίνεται. τουτέστιν ἁπανταχοῦ πονηρόν. ὁ θαυμά-
σιος Ἥρων, ἀξίως αὐτοῦ πρὸς ὑμᾶς ἐρεῖ τὰ περὶ αὐτοῦ, ἄν γε δὴ διαγένηται. δέδια γὰρ· οὕτως ὑπ' αὐτοῦ τοι συνείληπται τῇ μοχθη-
ρίᾳ τοῦ ἀνθρώπου· καὶ καθ' ἡμέραν ἀπορρήγνυσθαι· καὶ οἷς ἤκου-
σε δεινοῖς· καὶ οἷς ἔπαθεν, ὡς καὶ μόλις ἐλευθερωθεὶς τῆς θυματη-
φόρου συνουσίας, δύσελπις εἶναι τὴν ἑαυτοῦ ζωὴν ἀπολήψεσθαι. καὶ οὔπω τότε Θόας, ἀπὸ τῆς ἐνδοξοτάτης ἀποδημίας παρῆν. νῦν γὰρ οὗτός ἐστιν ὁ πᾶσιν αὐτὸν τοῖς συγγενέσιν ἐπιτειχίσας διακε-
λεύσας, τὸ ἀπόρρητον τῶν ὑπάρχων διακομίσας ἐνύπνιον· ὃ βού-
λεται μὲν τῶν ἐνθάδε τεθνάναι τινάς. βούλεται δὲ δεδέσθαι τι-
νάς. καὶ δέδενται παρ' ἡμῖν ἄνθρωποι, διὰ τὸ ἐνύπνιον τὸ ἀπόρρη-
τον. οἱ δέ, ἀπ' οὐδεμιᾶς φαινομένης αἰτίας ἀποθνήσκουσι· καὶ γὰρ εἰ μηδέπω τεθνήξασιν, ἀλλ' αὐτίκα τεθνήξονται. τὸ μὲν γὰρ ἐπὶ ταῖς μάστιξιν, ἀπολώλασι. τὸ δὲ ἐπὶ τῇ τῶν σωμάτων ἰσχύι, ζῶσι μέν τι μέχρι ταύτης τῆς ἡμέρας, ἐν ᾗ πέμπω τὰ γράμματα. ἀλλ' οὐχ ὑπανήσει φησὶν ὁ μέγας Ἀνθέμιος· οὐδὲ παύσεται πυρέττων ὁ ῥω-
μαίων ὕπαρχος, ἂν μὴ Μαξιμῖνος καὶ Κλεινίας ἀπόλωνται. ταῦ-
τα Θόας ἡ συχνὴ θρυλλεῖ. διὰ τοῦτο οὐδὲ εἷς φέροντος ἀνέχεται Μαξιμίνου. ἀλλ' ἀνασοβεῖ πάντας ὁ Ἀνδρόνικος, τοὺς ὠνου-
μένους τὰ λυκίωσιν· πρόκειται γὰρ οὐ τὸ πληρωθῆναι τὰ δη-
μόσια. ἀλλὰ τοὺς ὑπάρχους ὑπαινίξασθαι. οἱ τινὲς εἰς κληθέντος, οἴκοι Θόαντος μόνου, τοῦ σοφιστοῦ φησὶ μόνου παρόντος, ἐξενηνόχα-
σι πρὸς αὐτὸν τὸ ἐνύπνιον· καὶ οἱ λοιμοὶ δὲ ἐκλελήθασιν ὅσα γε δὴ Θόας ὄμνυσιν, ἕως αὐτὸς ἐκπλεύσας φθάσῃ, καὶ πρὸς Ἀνδρό-
νικον ἐξενέγκῃ τὸ ἀπόρρητον ἵνα μὴ λάθῃ τὰς διαφορὰς τῶν ἀξί-

ον αὐτὶ τοῦ Ἀνθεμίου τεθνεῶσαν τὴν ψυχῆς. εἶτα ἀφ' ὧν ἕτερος ὁ ἰαρ-
ὁρᾷ, μᾶλλον δὲ ἰδεῖν λέγεται, πεντάπολις ὑπερπέπραγε πονή-
ρως. Ἀνδρόνικος γὰρ ὃς τὰ τοιαῦτα τις εὐθὺς καὶ εὐεργέτης τοῦ
δυστυχοῦς τῶν ὑπάρχων οἰκίας ἐσόμενος, μαίνεται ἐκπάγλως πί-
συνος θέαντι. οὐδέ τι οἶδε τίειν ἀνέρας. κρατερὴ δ' ἔλυσσα δέδυκεν.
ἐν τούτοις τῇ περίδι τῶν πραγμάτων ὄντων, οὐκ ἐδέησεν Εὐα-
γρίῳ μάντεως εἰς προαγόρευσιν τοῦ πονηροῦ ἀπαλλάξειν, εἰς τὸ
δικαστήριον ἀπελθόντι. ἀλλ' αὐτὸς Ἀνδρόνικος ἄντικρυς, οὐ πρὸς
τοῦτον οὐδὲ πρὸς ἐκεῖνον, ἀλλὰ πρὸς αὐτὸν Εὐάγριον διήγγε-
λε τὴν γνώμην τὴν ἑαυτοῦ. καὶ ἔχεσθαι τῆς λαφυροπρασίας ἐθελοντὴν
ἐκέλευσεν, ἐὰν σωφρονῇ. πάντως γὰρ ἀποφανεῖται τὴν καταδι-
κάζουσαν. ἀπολελόγημαι δὴ καὶ θεῷ. καὶ τῷ θείῳ Διοσκουρί-
δῃ, καὶ πᾶσιν ἀνθρώποις, ὡς ἔγωγε ἀτιμότερος ἐξ ἐντιμοτέρου γέ-
γονα, τά γε ἀνθρώπινα. ἀσθενέστερος δὲ ἐξ ἰσχυροτέρου. καὶ Ἀνδρόνι-
κος ἁπάντων μὲν ἡμῶν, τὴν δύναμιν ἐθεράπευσε, δι' ἣν οὐ γέγο-
νε δὶς ἐπ' Ἀλεξανδρείας ἀπόδημος. παρόν τι δέ, οὔτω χρῆται, τὴν
τὴν ἱερὰν ὑμῶν κεφαλήν, ὡς ἐπειδή μοι συνέπεσεν ἀποβαλεῖν
τῶν παίδων τὸ φίλτατον, κἂν ἐξήλαγον ἐμαυτὸν κρατηθεὶς ὑ-
πὸ τοῦ πάθους. οἶδα γὰρ ὅτι θῆλυς εἰμὶ περὶ τοῦτο πέρα τοῦ δέον-
τος. νῦν δὲ οὐ λογισμῷ τοῦ πάθους ἐκράτησα. ἀλλ' Ἀνδρόνικος,
ἀντιπεριήγαγε. καὶ πρὸς τὰς κοινὰς συμφορὰς τὸν νοῦν ἔχειν ἐ-
ποίησε. καὶ γεγόνασί μοι συμφοραί, παραμύθιαι τῶν συμφορῶν,
πρὸς ἑαυτὰς ἕλκουσαι. τῷ πάθει πάθος ἐκκρούουσαι, ὁρῶ συμ-
μιγῆς λυπῶν τὴν ἐπὶ τῷ παιδίῳ λύπην. οἶδα ὅτι μοι μαντευτὸς
ἦν θάνατος εἰς κυρίαν τοῦ ἔτους ἡμέραν. καὶ γέγονεν ἐκείνη καθ' ἣν
ἐφασάμην, ἠθόμην μεταβολῆς βίου. ὃς ἄχρι νῦν ἐμπα-

ἐγχωρίσαις αὐτῷ. καὶ τιμῆς ἀνθρωπίνης καὶ πάσης εὐκυθυμίας περὶ οὑτινοσοῦν τῶν πώποτε πεφιλοσοφηκότων ἀπολελαυκὼς οὐχ ἧττον διὰ τὰ θύραθεν, ἢ διὰ τὴν παρασκευὴν τῆς ψυχῆς, ἅμα πάντων ἀφῃρημένος αἰσθάνομαι. τὸ μὲν οὖν μέγιστον τῶν κακῶν ὅ, μοι καὶ δυσέλπιστον τὸν βίον ποιεῖ, οὐκ εἰωθὸς ἀποτυγχάνειν ἐν ἱκετείαις θεοῦ, νῦν πρῶτον οἶδα μάτην εὐξάμενος. ὃς τὴν μὲν οἰκίαν, κακῶς ὁρῶ πράττουσαν. τὴν δὲ πατρίδα δυστυχοῦσαν οἰκεῖν ἀναγκάζομαι. καὶ πᾶσιν ἔκκειμαι ἐφ᾽ ὧν προσανακλαίεσθαι. καὶ κατὰ ταυτὸν ἕκαστον ὀλοφύρεσθαι, προσθήκην ἔχων Ἀνδρόνικον τὸν κολοφῶνα τῶν κακῶν. δι᾽ ὃν οὐδὲ ἀκαρῆ καταδύομαι τὴν σύντροφόν μοι χολήν. ἀλλ᾽ ἐμὲ δεῖ μηδὲν ὄφελος ὄντα μηδενὶ, πάντων προσιόντων, καὶ τὴν ἀσθένειαν ἡμῶν διελεγχόντων, ἀνέχεσθαι. πρὸς ταῦτα δέομαι. πάνυ σφόδρα δέομαι ἀμφοῖν μὲν ὑμῶν· διαφερόντως δὲ σοῦ τῆς φίλης μοι κεφαλῆς, ἀδελφὲ Ἀναστάσιε, σὺ γὰρ δὴ φήμην ἔχεις προστατεῖν ἀνδρὸς λυσιτελοῦντος, ἔστι σοι δύναμις πάρεστιν ὑπὲρ Συνεσίου γὰρ μᾶλλον ἢ ὑπὲρ ἀνθρωπίνου δικαιότερος ἂν εἴης αὐτῇ χρώμενος, ἀπάλλαξον κατηφείας Πτολεμαΐδα τὴν λαχοῦσάν με πόλιν. οὐκ ἐμοῦ γε θέλοντος· οἶδεν ὁ πάντα ὁρῶν ὀφθαλμὸς τοῦ θεοῦ. οὐκ οἶδα ὑπὲρ τίνων ἐκτίνω τοσαύτας δίκας. καὶ ἔστω φησὶ θεῶν ἐπίφθονοι πρότερον ἢ μὲν, ἀποχρώντως τε τετιμωρήμεθα. ἀλλὰ ταύτην τὴν φωρὰν, ἄξιον εἰπεῖν καὶ ὑπὲρ Μαξιμίνου καὶ ὑπὲρ Κλαυδίου· οὓς ἐμοὶ δοκεῖν ἂν καὶ ὅστις ὠμότατος δαιμόνων ἠλέησεν. ἐξηρκέσθωσαν τοῖς λόγοις Θόας τε καὶ Ἀνδρόνικος, οἱ μόνοι δαιμόνων ἀμείλικτοι.

Θεοφίλῳ.

## Θεοφίλῳ.

Γὼ μὲν οἷος ἦν περὶ πρεσβείαν προστάγματι καὶ χεῖρα καὶ γνώμην ὑπηρετεῖν εἰσενεγκεῖν. ἀλλ᾽ οὐκ ἂν οἶμαι καλλίον Ἀμπέλιος ἐσκέψατο περὶ τῶν ἑαυτῷ λυσιτελούντων, ἢ Νίκαιος ὑπὲρ τοῦ πῶς ἀλλοτριωθείη τῶν ἑαυτοῦ. οὔτε γὰρ ἐφθὼς πρότερον ἀπηρεμνοῖδα καλῶς, οὔτε παιδὶ πίσιν ἐπανῆλθεν, οὔτε ἐπιπίσιν αὖθις ἀποδημῶν. πῶς γὰρ ὃν οὔτε εἶδον· οὔτε περὶ αὐτοῦ τι σαφὲς ἀπηγγέλλετο. ἀλλὰ τὴν ἐπιστολὴν τῆς ἱερᾶς σου χειρὸς, ἕτερός τις ἐκόμισε, καὶ ταύτην αὐτῇ ἤτησεν, ὡς ἤδη Νικαίου λύσαντος τὸ προμνήστιον. καὶ ἐγὼ μὲν οὐκ εἶδον αὐτόν. ὁ δ᾽ ἡγεμὼν εἶδεν. ἢ ἤκουσεν. ἀλλὰ κἀκεῖνος οὔτε εἶδεν. οὔτε ἤκουσε. πῶς οὖν δεῖ Νίκαιον νικᾶν ὑπερθεῖν ἀγρῷ διαιτώμενον. ἀλλ᾽ ἀντὶ τούτου πολλὰ καὶ ἀγαθὰ καὶ ὅσα φέρουσιν ὧραι τοῖς γεωργοῖς ἔχοιντο. πλέων δ᾽ αὖ ἦν, εἰ καὶ τῶν μητρῴων ἐκράτησεν.

## Τῇ φιλοσόφῳ.

Ι καὶ μὴ πάντα ὁ δαίμων ἀφελέσθαι με δύναται, ἀλλὰ βούλεταί γε ὅσα γε δύναται, ὃς με ὑμῶν πολλῶν τε καὶ ἐσθλῶν ὀρφανὸν ἔθηκεν, ἀλλὰ τό γε προαιρεῖσθαι τὰ βέλτιστα καὶ τίθεσθαι τοῖς ἀδικουμένοις, οὐκ ἀφαιρήσεται. μὴ γὰρ δὴ τῆς γνώμης ἡμῶν κατισχύσειε. μισῶ μὲν οὖν ἀδικίαν. ἔξεστι γάρ. κωλύειν δὲ βουλοίμην μέν. ἀλλὰ καὶ τοῦτο τῶν ἀφαιρεθέντων ἐστί. καὶ οἴχεται καὶ τοῦτο πρὸ τῶν παίδων. πάλαι ποτ᾽ ἦσαν ἄλκιμοι Μιλήσιοι. ἦν ὅτε κἀγὼ φίλοις ὄφελος ἦν. καὶ σύ με ἐκάλεις ἀλλότριον ἀγαθὸν εἰς ἑτέρους δαπανῶντα, τὴν παρὰ τῶν μεγάλων δυναμένων αἰδῶ. τότε ὥσπερ ἐκεῖνοι χεῖρες ἐμοί. νυνὶ δὲ ἁπάντων ἔρημος ὑπολείπομαι, πλὴν εἴ τι σὺ δύνῃ. καὶ γὰρ δὴ καὶ σὲ μετὰ τῆς ἀρε-

τοῦ, ἀγαθὸν ἄσυλον ἀριθμῷ. σὺ μὲν οὖν ἀεὶ καὶ δύνῃ καὶ δύναιο κάλλιστα χρωμένῃ τῷ δύνασθαι. Νίκαιος δὲ καὶ Φιλόλαος, οἱ καλοὶ κἀγαθοὶ νεανίαι καὶ συγγενεῖς, ὅπως ἐπανέλθοιεν τὴν ἰδίαν γενόμενοι κύριοι, πᾶσι μελέτω τοῖς τὰ σὰ τιμῶσι καὶ ἰδιώταις καὶ ἄρχουσι.

Τῷ ἀδελφῷ.

τ Ινα μὲν τοι τίνα παρὰ τὴν, οἷος αὐτὸς, προσήκει θαυμάζειν. τὸν σώφρονα. τὸν ἐμμελῆ. τὸν παιδείας ἑταῖρον. τὸν προσανέχοντα θεῷ καθάπαξ. τὸν, οἷός ἐστι Γερόντιος. ἔχεις οὖν τὸν ἄνδρα μετὰ τῆς ἐπιστολῆς. ᾧ χρησάμενος, ἐρεῖς οὐ φαῦλον ἐπαινέτην ἐμέ.

Χρυσῇ.

ὀ Υχ ὅτι μοι τῶν παιδίων συγγενής ἐστιν ὁ θαυμασὸς γερόντιος, συνίστημι τὸν νεανίσκον τῇ φιλίᾳ τῇ σῇ. καὶ τοῦτο μὲν δή. ἀλλ' ὅτι πρέπον ἐστὶ τοῦ χρυσοῦ Χρυσοῦν, τοῖς τρόποις, εἰ δεῖ μέτι καὶ ψυχρὸν εἰπεῖν καὶ γοργιαῖον. παντὸς μὲν τοι μᾶλλόν ἐστιν ἀληθὲς εἰπεῖν σε εἶναι ἀπάσης ἀρετῆς ἔσω, καὶ τὸν διδόντα σοι τὴν ἐπιστολὴν, ἀξιώτατον ἀπολαύειν σου τῆς συνουσίας.

Τῷ ἀδελφῷ.

μ Ἡ μὲν ἐπιστολὴ, ἀνοικειότητα κατηγορεῖ τοῦ διακομίζοντος. ἀλλ' ὁ θαυμασὸς Γερόντιος, οἶδε μὲν ὅσα κἀγώ. εἰ δὲ μὴ πρὸς τὸ ψεῦδος ἀνοικείως εἶχε, διηγήσατο ἄν σοι ὧν ἠπίστατο πλείονα, τῷ φιλεῖν ἐμὲ, καὶ τὴν δόξαν ἐπανέχειν ἀρκοῦσαν τῇ γνώμῃ. ὃν αὐτὸς ἰδίως ἡδέως εἶδες ὡς ἐγὼ βούλομαι.

Τῷ αὐτῷ.

δ Ἐδεξο μετὰ τῆς ἐμψύχου καὶ τὴν ἄψυχον ἐπιστολὴν, μετὰ τοῦ θαυμασοῦ Γεροντίου, ταῦτα τὰ γράμματα, νόμῳ τῷ

πλέον

πλέον ἢ τῇ χρείᾳ τοῦ προσειπεῖν σε γινόμενα. ὅτι δὲ ἡμεῖς συζῶμεν τῇ περὶ σοῦ μνήμῃ, μυρίων ἐπιστολῶν μακρῶν μεγαλοφωνότερον ὁ νεανίσκος διηγήσαιτο.

Τῷ αὐτῷ.

ε Γ ιστολὴν ἐπέθηκα τοῦ θαυμασίου Γεροντίου πρὸς τὴν ἱερὰν σου καὶ τριπόθητον κεφαλὴν διὰ πρώτης ἐντεύξεως παρέχουσαν πρόφασιν. τότε μὲν γὰρ αὐτὸν ἴσως δι' ἐμὲ, τιμήσεις· μετὰ δὲ τὴν πεῖραν, ἕτερόν τινα δι' αὐτόν.

Τῷ αὐτῷ.

ϛ Δέδωκα τὴν ἐπιστολὴν, ταμίας οὗτοι καὶ σιτοδότης τοῦ δαλματικοῦ τάγματος· πάντως δὲ ἐγὼ τοὺς δαλμάτας, ἴσα καὶ τοὺς ἱερέας τιμῶ. δῆμος γάρ εἰσι τῆς λαχούσης με πόλεως· μόνα δὲ ταῦτα μηνύσαι πρὸς σέ. σὺ δὲ ἐν τοῖς ἐμοῖς ὡς σαυτοῦ χρήσασθαι.

Πυλαιμένει.

η Ῥιμὰς ὁ τὰς θρᾳκικὰς ἐπιστολὰς κομισάμενος, ἠνώχλησα περὶ φακέλλου τῶν γραμματίων· εἶπον τίς εἴη ὁ κελευόμενος ἐπιγεγραμμένην Πυλαιμένους ὄνομα· ὡς οὐκ ἄξιον ἑτέρῳ βιβλίῳ προσεντυχεῖν. ἀλλ' ἦν οὐδὲν οὐδαμοῦ. εἰ μὲν οὖν τυγχάνεις ἀποδημῶν, ἀλλ' ἐπανέλθοις ταχέως τε καὶ καλῶς. εἰ δὲ ἐπιδημεῖς ἡνίκα παρ' ἡμῖν οἱ συνήθεις Ζωσίμῳ τὰς ἐπιστολὰς ἐπεδίδοσαν, τοῦτ' ἂν εἴη τὸ παράδοξον, εἴ τις ἐγένετο περὶ ἐμὲ Πυλαιμένους μνημονικώτερος.

Τῷ ἀδελφῷ.

τ Ἕως μὲν ἐπραττόμεν, δι' εὐθὺς τοῦ ῥεύματος αὐθυπενεχθέντος, καὶ τὰ κοινὰ λυπεῖ, καὶ τὰ ἴδια. ζῶ τε γὰρ οὐκ ἰδιώτης ἐν χώρᾳ πολεμουμένῃ· κἀμὲ δὲ δεῖ κλαίειν ἀεὶ τὴν ἑκάστου συμφοράν. ἔστι τοῦ μηνὸς πολλάκις ὧν τὰς ἐπάλξεις πηδῶν ὡς ἐφ' οὓς στρατεύσομαι, μεμισθωμένον, οὐκ ἐφῶ προσεύξομαι· τριῶν

ἀρρένων, ἃ ἔτι μοι λείπεται. σὺ δὲ ἐὰν ἐξ οὐρίας πλέῃς καὶ ζῇς ἡδέως, οὐ πάντη ἡμᾶς ὁ δαίμων λυπεῖ.

Θεοφίλῳ.

ϙ Ἴχεται τὸ δίκαιον ἐξ ἀνθρώπων. Ἀνδρόνικος καὶ πρότερον ἠδίκει, καὶ νῦν ἀδικεῖται. τὸ δὲ τῆς ἐκκλησίας ἦθος οἷον, ὑψῶσαι μὲν ταπεινόν· ταπεινῶσαι δὲ ὑψηλόν. τοῦτον δὴ τὸν Ἀνδρόνικον, ἐμίσει μὲν ἐφ' οἷς ἐποίει· διὸ καὶ προήκατο μέχρι τούτων ἐλθεῖν. ἐλεεῖ δὲ νῦν, ἐφ' οἷς ἤδη τοῖς ὑπὲρ κατάραν ὡμίλησεν, ὅτι καὶ τοὺς νῦν ἐνδύνοντας δι' αὐτὸν ἐλυπήσαμεν. ἀλλὰ δέον εἰ μηδέποτε μετὰ τῶν εὐημερούντων στησόμεθα, τοῖς δὲ κλαίουσιν, ἀεὶ συνδακρύσομεν. ἡμεῖς τε οὖν ἐνταῦθα συνενοῦ βήματος αὐτὸν ἐξειλόμεθα, καὶ τἆλλα ἐλάττους αὐτῷ παρὰ τὸ λυ τὰς συμφορὰς ἐποιήσαμεν. καὶ εἰ ἡ σὴ θεοσέβεια φροντίδος αὐτὸν ἀξιώσει, τοῦτο μέγιστον ἐγὼ τεκμήριον δέξομαι, τοῦ μὴ παντάπασι τὸν ἄνθρωπον ἀπογνωσθῆναι παρὰ θεοῦ.

Τρωΐλῳ.

Ἄλλοι μὲν ἀπραγμονεστέρας ἐποιούμην τὰς πρὸς τοὺς

π ἑταίρους ἐντεύξεις. καὶ πορρῶν ἐγγράφων. ἔζων γὰρ ὑπὸ τῶν βιβλίων, τρόπον τινὰ ἀσυντάκτως πάσῃ πόλει καὶ πολιτείᾳ. νυνὶ δέ, ἐπέταξε γὰρ ὁ θεὸς εἰς ἀποδεδειγμένον χωρίον ἔχειν ἐν τῇ πόλει τινὰ τάξιν, καὶ ζῆν οὐκ ἐν διηριθμημένοις ἀνθρώποις, βουλοίμην ἂν ὄφελος εἶναι τοῖς συλλαχοῦσι, καὶ ποιεῖν ἀγαθόν, ὅτι δυναίμην. καὶ ἕκαστον ἰδίᾳ, καὶ τὴν πόλιν κοινῇ, ἵν' ὁρῴην τε καὶ ὁρῴμην ἡδέως παρὰ τῶν ὡς ἂν εἴποι τις συμπλόων τοῦ βίου. ἔστι τοίνυν Μαρτύριος ὄναιτο, τῆς δι' αὐτὸν γινομένης ἐπιστολῆς, ἴθι μοι χαρισάμενος ἐν ἀνδρὶ συνδιημερεύοντι, καὶ νῦν μά-

τοῖς

τινὸς λόγοις τιμᾶν σε παιδείας, πολλάκις εἰς τὸ συνεῖναί μοι πολὺ καὶ τῆς νῦν τοῦ μέρους ἐπιλαμβάνοντι. Τῷ ἀδελφῷ.

κ. Ἀκὼν οὐ μικρὸν ἀπολαύσω τῆς ἀγροικίας. λίαν ἀληθινῶν διάθεσιν δὲ ἴσθι ὅτι καὶ τῶν τῆς Λιβύων ἐσχατιᾶς.

Ἡσυχίῳ.

α Ἀθηναῖοι Θεμιστοκλέα τὸν Νεοκλέους ἐπήνεσαν, ὅτι καίτοι πολιτικῆς δυνάμεως ἐραστὴς παρ' ὁντινοῦν τῶν ἐφ' ἑαυτοῦ γενομένων, ἀπηνήξατο ταύτην ἀρχήν, ἐν ᾗ τῶν ἐχθρῶν οὐδὲν ἔμελλον πλέον ἕξειν οἱ συνεδρεύοντες. σοῦ δὲ ὅτι μὲν ἐπέγνωσαν τὴν ἀρετὴν οἱ καιροί, καὶ διὰ σὲ παρῆλθεν εἰς τὴν πολιτείαν ἀρχῆς ὄνομα καὶ πρᾶγμα καινόν, ἥσθην μὲν ὥσπερ εἰκὸς ἑταίρους ἐκ παλαιοῦ γεγονότας, τῆς ἱερᾶς κοινωνίας ἀλλήλοις ἡμᾶς μνηστευσάσης. ὅτι δὲ ἐν τοῖς βουλευταῖς καὶ τὸν ἐμὸν ἀδελφὸν ἀξιοῖς ἀριθμεῖν, ἀλλ' οὐκ ἀπαλείφεις τὴν οἰκίαν ἀπὸ τοῦ κοινοῦ βιβλίου, καὶ ἔτι κατὰ συμφορὰν ἀρχαίαν προσλήψεσθαι γενομένην, τοῦτο δὲ, οὐ κατὰ Θεμιστοκλέα σε φημὶ ποιεῖν· ἔτι δοκοῦντα τῇ θείᾳ κοινωνίᾳ. Εὐόπτιον δὲ ἐν ἀδελφοῖς ἔδει τετυχηκέναι τοῖς σοῖς, εἴ τι τῷ αὐτῷ τὰ αὐτά. καὶ ἀλλήλοις εἶναι δεῖ τὰ αὐτά. εἰ δὲ διὰ τὸν τῶν περιεχομένων πραγμάτων ὄχλον, τὸ χρεὼν ἠμέλησε μέχρι νῦν, δὲ ἔξοντι θαυμάσιε. καὶ λαβὼν τὴν ἐπιστολὴν ἄνες τὴν πενθερὰν αὐτοῦ τῆς ἀτόπου ζημίας. καὶ τὰ μετὰ ταῦτα, καὶ τὰ πρὸ τοῦ. καὶ ἀπόδος μοι τὸν ἀδελφόν. ὃς εἰ μὲν δι' αὐτὸ τοῦτο ἀποδημεῖ, θεὸς οἶδε. πρὸς ἐμὲ δὲ πάνυ παραμυθούμενος τῶν πολλαῖς, ὧν ἦν αὐτήκοος τῆς συμφορᾶς, οὐδὲν ἕτερον προφασίζεται. Ἀνυσίῳ.

π Ῥώμην ἦν ἔφθασας τὴν βραδεῖαν ἀκοὴν ἀπὸ τῆς Κυρήνης πυθόμενος· καὶ γὰρ μὲν διενοούμην ἢ τάχιστα τοῦτο ὑποχείρια προαπέμψαι τὴν φήμην. ἧκε δέ τις ἀγγέλλων, ὡς ὁ στρατηγὸς ἤδη τὰ μετέωρα τῆς χώρ

κατείληφεν. ἐφθάκεσ δ' ἄρα πυθόμενος, εὑρῆσθαι τῆς προθυμίας ἀμοιβὴν παρὰ τοῦ θεοῦ, καὶ νῦν καὶ εἰσέπειτα. ἐγὼ δὲ αὐτὸν ταῦτα τε ἐπαινεσάμενος ἔπεμψα, πευσόμενος ἐν οἷς εἴης. εἴης δ' ἐν ἅπασιν ἀγαθοῖς. μέλει μὲν γάρ μοι, μέλει τε περὶ τῆς πόλεως. πῶς γὰρ οὐ τῆς γεννητρίδος, ὡς ἂν κρεῖττέ σε ἐποίησεν, οὐχ ἥκιστα δὲ σοῦ καὶ τῆς δόξης τῆς σῆς. ἐφεῖκασι δὲ οἱ τῶν σῶν ἀγαθῶν, ἐμὲ πάντες ἀξιοῦσι συνήδεσθαι. ὡς οὖν ἐν σοὶ κρινόμενος ἄριστε ἀνδρῶν τε καὶ στρατηγῶν, δίκαιός εἰμι καὶ εἰδέναι τὰ σά. Ἰωάννην προσεξετάσας μὲν ὡς ἐνῆν, ἀγαθὸν εἶναι. τὰ δ' ἄλλως ἐπιθυμοῦν στρατιώτην ἐὰν ὁ θεὸς αὐτῷ τίθηται. δὸς αὐτῷ χεῖρα διὰ τὸν ἀδελφόν, ὃς ἀντὶ πολλῶν ὑπουργήσει. τοῦτο ἐμοὶ μὲν ἄριστον δοκεῖ βούλομαι, τῷ τὰς φύσεις εἰδότι τῶν νεανίσκων καὶ ὡς ἔχουσι πρὸς ἀλλήλους εὔνους. εἰ δὲ καὶ σοὶ φανεῖται, κύριον ἔστω. τῶν ἑταίρων τοὺς στρατευομένους ἄσπασαι. ὁ σὸς τροφός μου ταχέως ἐπανηκέτω. καλόν τι φέρων περὶ πολέμου διήγημα. ὃς καί τοι δειλότατος ὤν, ἐθάρρησε τὴν ὁδόν, τῶν ὅπλων ἔμπροσθεν ὄντων. δὸς τῇ κυρήνῃ τὴν συνωρίδα τῶν ἀδελφῶν. μάχονται γὰρ ὑπὲρ τῆς ἐνεγκούσης τε καὶ θρεψάσης αὐτούς.

## Τῷ ἀδελφῷ.

ὁ Τιμηθεὶς ἡμᾶς εἴληφεν ἡ γῆ τοῖς σαυτοῦ προστάγμασιν, οὕτω δὲ γέγραφας, καλῶς τε ποιεῖς, καὶ δίκαια περὶ ἡμῶν φρονεῖς. καὶ πολλὰ κἀγαθά σοι γένοιτο διὰ τοῦτο. ὡς ἀπέχομεν γε τὴν χάριν ἐδίτις ὀφείλεται καὶ μειωτέρῳ παρὰ ἀδελφοῦ πρεσβυτέρου, τοῦ πείθεσθαι χάριν, ὡς οὐκ ἐγνωρίσαμεν. ἀλλ' ἡμῖν εἰς ἀντίδοσιν ἀρκεῖ, τὸ μὴ ἀγνοεῖσθαι παρὰ σοῦ τὴν ἔνστασιν ἡμῶν, ὅτι μόνῳ σοὶ τῶν ζώντων ἐκκείμεθα. ὅτι δὲ φὴς εἰδέναι σαφῶς, ὡς δ' οὐ χρῆς ἄχρι τῆς φιλίας ἡμῶν ἴσαλιος, τοῦτο δὲ οὐκέτ' ἄξιον ἀποδέχεσθαι. λίαν γάρ ἐστιν ἀνδρὸς

ἀπαυτωμένου

ἀπαιτουμένου, μὴ ἀπαιτῶν τὸ σὸν εἴποιμι. ὁμοῦ γὰρ ἐγώ τε τὰ πα-
ρὰ σοῦ γράμματα ἐγίγνωσκον. καὶ ἕτερός τις τὰ παρ' αὑτοῦ. ὁ
σὺ μὲν ταῦτα φής. ἐκεῖνος δὲ τἀναντία· καὶ ἀνεγνωκέναι καὶ ἀκη-
κοέναι λεγόντων, ὅτι διαλέγοιτο περὶ ἡμῶν ἀνεπιτηδείους λό-
γους. οὕτω τοίνυν ἀπιστεῖν εἶχον ἀνδρὶ καλῷ κἀγαθῷ, καὶ πιστεύων, οὐ
μὰ τὸν ὁμόγνιον τὸν ἐμόν τε καὶ σόν, οὐ μετενόουν ἐφ' οἷς ἦν πεποιη-
κὼς τὸν ἄνθρωπον, αὐτῇ τῇ προτεραίᾳ σὺν βίᾳ τὸν κατήγορον ἀπο-
σκευάσας. ὃς ἐδίωκεν αὐτὸν ἀσεβείας, ὡς ἀδικοῦντα τὴν βασιλέ-
ως ἑστίαν. νὴ γὰρ τὴν ἱερὰν σου κεφαλήν, εἰ μὴ τοῖς συχνοῖς πεί-
ραις ἀντεῖχον, τοῦτο μὲν τῇ τοῦ δικαστοῦ δειλίᾳ μετανοίᾳ τῶν
τοιαύτης ὑποθέσεως οὐ προσιεμένου. τοῦτο δὲ τοῦ κατηγοροῦντος
ἀπονοίᾳ, προσποιουμένου μὲν τὴν ἀνάγκην, προθυμουμένου
δὲ δρᾶσαί τε κακὸν ὅτι καὶ παθεῖν, καὶ γαμετῆς ἂν αὐτοῦ καὶ παί-
δων ἥψατο τὸ δεινότατον. καὶ συγγενῶν συχνῶν καὶ πάνυ φίλων. πλου-
σίων τε καὶ πενήτων. καὶ ὅλως κακῶν ἂν Ἰλιὰς περιέστη τὴν πό-
λιν ἡμῶν, ὑπ' ἀνδρὸς ἀπογνόντος τὴν σωτηρίαν καὶ θανατῶντος.
ἐνίκησε δ' ἂν Ἰούλιος νίκην, ἐφ' ᾗ ζῶν οὐκ ἂν ηὔξατο ὑπὲρ ὧν ἁ-
πάντων ᾤθην νικητέα μοι ταῦτα εἶναι τὰ γιγνόμενα. τοσοῦτον ἐμῆς φύ-
σεώς τε καὶ προαιρέσεως παραπολαύετω. καὶ ὅστις ἔχθιστος. πολλῷ δὲ
ἐμοὶ κάλλιον ἐχθρὸν ἀναξίως τινὰ περιηκέναι καλῶς, ἢ περιιδεῖν
πολλούς, δέον κωλῦσαι, παρὰ τὴν ἀξίαν πεισομένους κακῶς. οὐ
γὰρ δὴ καὶ τὴν σύζυγον γυναῖκα καὶ τὰ παιδία τούτου μισῶ. καίτοι
γε οὐδ' αὐτὸς ἄξιός ἐστιν ὑπὸ τοῖς κατ' ἐμοῦ λοιδορίαις παθεῖν τι κα-
κῶς ὑπ' ἐμοῦ. πολλοῦ γε δεῖ. μισεῖ μὲν γὰρ καὶ πάνυ. λυπεῖν γὰρ οἰό-
μενος λέγει. ὁ δ' ὡς δεξόμενος φθέγγεται. ἡ προαίρεσις οὖν οὐκ ἀνδρὸς θυ-
ιος. ἀλλ' οὐ πάντως. ἴστω μέντοι, μάγοι δὲ μὴ ἴστω, πῶς οἴεται δὲ ἂν ἦν

ποιῶν ἡμᾶς. σὺ μέντοι σαφῶς ἴσθι τὸ πάλαι λεγόμενον, ὑπὲρ-χερῶν, ὡς ἔστιν ὠφεληθῆς, νῦν ἔργῳ φαινόμενον. τί γὰρ εἰς εὔκλει-αν ἡμῖν ἀνὴρ οὐ συντελεῖ. πῶς ὅς τις ἡμᾶς ἐπαινεῖν βούλεται μηδὲν ἕτερον διευρίσκων εἰπεῖν, λέγει τοῦτο πρῶτον καὶ μόνον καὶ μέγιστον, ὡς Ἰούλιος αὐτὸν ἀγορεύει κακῶς. ἐν δὲ τούτῳ λόγῳ, ποῖος οὐκ ἐσμὸς ἀγαθῶν. τὸ γὰρ ἀντικειμένως ἔχειν πρὸς παντοδαπὴν πονηρίαν, οἰκείως ἐστὶν ἔχειν πρὸς παντοδαπὴν ἀρετήν. ἐγὼ μὲν οὖν, οὐδὲν ἂν ἐμαυτῷ συνειδείην τοιοῦτον. ἐκεῖνος δὲ φησιν. οἷς γὰρ τἀναντία φησὶ, τούτοις ἐπισοῦται, ὡς τῷ χαίρειν ἂν εἰδείην αὐτῷ. νὴ τὴν ἱεράν σου κεφαλὴν, καὶ τὴν τῶν παιδείων μουσωτηρίαν, δῆλον ἐστὶν ὅ,τι ἄν μοι μεῖζον τοῦ λοιδορεῖσθαι χαρίσαιτο. ἢ τὸ ἢ πρὸς θεοῦ καὶ πρὸς ἀνθρώπων, ἐν τοῖς κάλλιστα μοι κείσεται τοῦτο. ἀλλὰ καὶ τῆς προαιρέσεως δώσει δίκας. ἐμοὶ μὲν, οὔ. τυχὸν μὲν γὰρ οὐδ' ἂν εἰ δυναίμην βουλοίμην. πάντως δὲ, οὐδ' ἂν, εἰ βουλοίμην δυναίμην. τί γὰρ παρὰ τὸν ἐπὶ καιροῦ δυνάστην ἄνθρωπος οὕτως ἀτυχὴς ὡς ἀλλᾶσθαι φθέγγεσθαι τὴν ἑαυτοῦ, καὶ μὴ δὲ ἐλπίδας ἔχων καθόδου, τῶν πολεμίων ἐστρατοπεδευκότων ἐν τοῖς ἐμοῖς, κἀκείνοις ὁρμητηρίοις κατὰ κυρίης χρωμένων. τίνι μέντοι τίνι δώσει δίκας; αὐτῇ τῇ δίκῃ. ἐγγυῶμαι γὰρ ἐγὼ τοῦτο σαφῶς, τὸν εἰδέναι δοκῶν. μετελεύσεται γὰρ αὐτὸν ὑπὲρ ἐμοῦ καὶ τῆς κοινῆς πατρίδος ὑπὲρ ἧς τἀναντία πεπολιτεύμεθα. τὰ δ' ἰδίᾳ ἀλλήλοις ἀπηχθήμεθα. οὐ γὰρ ὑπὲρ τῶν ἐμαυτοῦ τινός. οὐδ' ἂν αὐτὸς εἰπεῖν ἔχοι. ἀλλὰ τὰ πρῶτα μὲν ὅτι τὸ στρατιωτικόν τε καὶ τὸ βουλευτικὸν ἑώρων, εἰς θητικὸν, καὶ ἐπειρώμην ἀντέχειν. ἔπειτα μέντοι τὰ περὶ τὴν πρεσβείαν καὶ πάνυ λαμπρῶς διεστα-

σίασεν

διέσεισεν ἡμᾶς. ἴσθι τὰ κατὰ τὸν ἑταῖρον Διοσκουρίδην. ὅτι μετρίως ἐπράχθη καὶ οὐχ ὡς ἂν κινήσαι θεοῦ τε καὶ ἀνθρώπων νέμεσιν. αὐτὴ μέντοι σαφῶς ἐστὶ περὶ ἧς πρὸς λύραν ᾄδομεν. λήθουσα δὲ παρὰ πόδα βαίνει. γαυρούμενον αὐχένα κλίνει. ὑπὸ πῆχυν ἀεὶ βίοταν κρατεῖ. ἀλλὰ ψηφίζεσθαι δέον, ἐγὼ μὲν ἔγραφον ὑπὲρ τῆς πατρίδος, ἀστρατείαν εἶναι τοῖς ξένοις. ὁ δέ, ἀντέλεγεν ὑπὲρ Ἑλλαδίου καὶ Θεοδώρου. καίτοι τίς οὐκ οἶδεν, ὅτι καὶ τοὺς φύσει στρατιωτικῶς ἔχοντας τῶν ἀρχόντων, οἱ ξένοι μεταδιδάσκουσι. καὶ μετασκευάζουσιν εἰς ἐμπόρους. πάλιν ἔγραφον ὑπὲρ τοῦ λελῦσθαι τὴν παρ' ἡμῖν στρατηγίαν, ὅπερ ἅπαντες ὁμοφώνως οἱ τῇδε ἄνθρωποι μόνον ἔσεσθαί φασι λυσιτελὲς τῶν Λιβύων, ἐπανελθεῖν εἰς ἀρχαίαν ἡγεμονίαν τὰς πόλεις. τουτέστιν ὑπὸ τὸν αἰγυπτίων ἄρχοντα καὶ τοὺς λιβύων τετάχθαι. ὁ δέ, ἀντέλεγεν ὑπὲρ τῶν κερδῶν. καὶ ἀντικρὺς ἀπετόλμα λέγειν ὅτι λυσιτελεῖ τοὺς πένητας εἶναι στρατιώτας. ἀλλ' ὦ τᾶν. ἄξιον γὰρ διὰ σοῦ πρὸς αὐτὸν εἰρῆσθαι, διὰ ταῦτα, νῦν μὲν εὔπορος εἶ, καὶ κοινῆς τύχης ὢν τἀναντία πειρώμενος. εὐτυχεῖς γὰρ ἐν ἀτυχοῦσιν. ἐγὼ δὲ τῇ πόλει συνατυχῶ. ἴσθι μέντοι σαφῶς, ὅτι φύσεως ἐστὶ νόμος, ἐμπεριέχεσθαι τῷ καθόλου τὰ μέρη. καὶ ὥσπερ πάνυ πολὺ ἀπὸ τῆς τοῦ σώματος συμφορᾶς ὁ σπλὴν αὐξηθῇ, ἕως μὲν ἀντέχει τὸ ὅλον εὐθενεῖ τε καὶ πιαίνεται. ἀπολλυμένῳ δὲ συναπόλλυται. καὶ σὺ τὸ παρὸν εὖ τιθέμενος, λήσεις τοῖς σαυτοῦ πολιτεύμασιν, εἰ μαραμμένης τῆς πατρίδος τε ὢν, καὶ σαυτοῦ. μέχρι τούτου Λασθένης ὠνομάζετο φίλος Φιλίππου, μέχρι προὔδωκεν Ὄλυνθον. τὸν δὲ ἄπολιν, πῶς εἰκός ἐστιν εὐτυχεῖν.

Ὀλυμπίῳ.

ἐ Γὼ μάρτυρα ποιοῦμαι θεὸν, ὃν ἡ φιλοσοφία ἡ φιλία πρεσβεύει, πολλοὺς μὲν ἂν θανάτους ἀνθ' ἱερωσύνης ἑλόμην· τοῦ θεοῦ δὲ ἐπενεγκόντος οὐχ ὅπερ ᾔτουν, ἀλλ' ὅπερ ἐβούλετο, δέχομαι τὸν γενόμενον νομέα τοῦ βίου, γενέσθαι καὶ τοῦ νεμηθέντος προστάτην, ὡς μὴ φανῆναί μοι τὸ πρᾶγμα φιλοσοφίας ἀπόβασιν· ἀλλ' εἰς αὐτὴν ἐπανάβασιν. πῶς δὲ ὡς πρὸς ἔστι μοι τῶν ἰδέων συνεπεπτώκει, ἐκοινωσάμην ἀνδρὶ τῶν πάντων φιλτάτῃ μοι κεφαλῇ, οὕτω καὶ τῶν δυσχερῶν εἰς σὲ παραπέμπω τὴν ἀκοὴν, ἵνα συναχθοιό τε, καὶ εἴ τι δύναιο πρὸς τὴν ἐμὴν φύσιν τὸ πρᾶγμα ἐξετάσας, εἰσηγήσαιο γνώμην, ὅτι με δεήσει ποιεῖν. νῦν γὰρ ἐγὼ πόρρωθεν οὕτω διαπειρῶμαι τοῦ πράγματος, ὡς ἕβδομον ἤδη μῆνα γενόμενος ἐν τοῖς Δελφοῖς, μακρὰν ἀποδημῶ τῶν ἀνθρώπων παρ' οἷς ἱεράσομαι, ἕως ἂν ἀκριβῶς ὁποῖόν ποτέ ἐστι τῇ φύσει κατανοήσω. κἂν μὲν ἐγχωρῇ, μετὰ φιλίας ἐργάσομαι. εἰ δὲ ἀλλοῖόν ἐστιν, ἢ κατὰ τὴν ἐμὴν ἀγωγήν τε καὶ προαίρεσιν, τί ἄλλο, ἢ τὴν εὐθὺ τῆς κλεινῆς ἑλλάδος ἀποπλέων οἰχήσομαι. ἀπειπάμενος γὰρ τὴν ἱερωσύνην, ἀπογνωστέον ἐστὶ καὶ τῆς πατρίδος, εἰ μή με δεῖ πάντων ἀτιμότατον εἶναι. καὶ ἐπαρατότατον ἐν ὄχλῳ μισούντων ἀναστρεφόμενον.

Τῷ αὐτῷ.

τ Ην ἐπιστολὴν ἀναγνώσκων, ἐν ᾗ διηγήσω περὶ τῆς ἀρρωστίας, καὶ ἐφοβήθην ἀρχόμενος. καὶ πυνθανόμενος ἀνεθάρρησα. ἀπειλῆσαι γὰρ κίνδυνον, οὐκ ἐπελίσω τὰ λῷονα. περὶ ὧν δ' ᾔτησας πεμφθῆναι παρ' ἡμῶν ἢ κομισθῆναι, τὰ δυνατὰ πάντα πάντως ἢ πεμφθήσεται, ἢ κομισθήσεται. τίνα δὲ αὐτῶν τὰ δυνατά.

καὶ τὰ

καὶ τὰ μὴ δυνατὰ, περιττὸν γράφειν. αὕτη γὰρ ἡ ὁδὸς ἐπὶ σὲ ἐξῆς.
ἐῤῥωμένος καὶ εὐδαίμων διαβιώης θεῷ κεχαρισμένε ἑταῖρε τρι-
πόθητε. γένοιτο ἡμᾶς καὶ συμμίξαντας, ἀλλήλων αὖθις ἀπολαῦ-
σαι, καὶ μὴ προεξέλθοις πρὶν ἂν ἀλλήλοις ἐντύχωμεν. εἰ δὲ θεὸς
ἄλλη πη βεβούλευται, σὺ δὲ ἀπόντων ἡμῶν μέμνησο. βελτίοσι μὲν
γὰρ συνεσίου ἐντεύξῃ πολλοῖς. φιλοῦσι δὲ μᾶλλον, οὐκ ἂν ἄλ-
λοις ἐντύχοις.

Τῷ αὐτῷ.

Ὡς οἴει με διψῶντα τοὺς ἡδίστους ἐπιστολέας ἐντετυχη-
π κέναι. περὶ τίνα δὲ μέρη τῶν ἐπιστολῶν, οὐ γὰρ πᾶσαν δια-
χυθῆναι τὴν ψυχήν. ἀφ' οὗ ἦλθον εἰς πολλαπλασίαν
διάθεσιν. καὶ οὐκ εἰς μακρὰν προσδοκῶ τὴν ἀλεξάνδρειαν ἔχου-
σαν ἐπὶ τὴν φίλην κεφαλὴν ὄψεσθαι. καὶ ἐφοῖς γὰρ Σεκοῦνδον
ὃν ἐποίησας, ἡμᾶς ἐτίμησας. καὶ ἐφεῖς οὕτω γράφειν τιμᾶς,
ἐξηρτήσω σεαυτοῦ. καὶ ἐποίησας ξένους σούς. παρ' ὅσον τῶν χαμαὶ
ἐρχομένων ὄντες, οὐκ ἐπιγνώσομεν τὴν ἀξίαν, διπλῇ τιμώμε-
νοι καὶ περὶ μεγέθους τῶν γραφομένων καὶ τῇ σπουδῇ τῶν γινομέ-
νων. περὶ δεκαποστήμου περὶ κόμητι γέγραφα μὲν ἤδη πολλάκις. ἐ-
πεὶ δὲ ἐν ταῖς διὰ τοῦ παιδὸς ἐπιστολαῖς, αἰτιᾷ μὲν γεγραφότα
πρὸς αὐτὸν, ἐπέθηκα καὶ περὶ δεκαποστήμου τοῦ ἀδελφῷ πρὸς αὐ-
τὸν γράμματα. ἐῤῥωμένος καὶ εὐδαίμων διατελοίης φιλοσοφίας
ἔχων φροντίδα, ὅσῃ προσήκει περὶ μετὰ θείων ἐρώτων ἠρτημένῳ
ταύτης. ἀπὸ δὲ κλίνης σοι γέγραφα, μόλις ἀνεχόμενος εἰς δια-
σκευὴν τῶν γραμμάτων. εὔξαι τὰ ἄριστα ἡμῖν, ἅπερ ἂν ὁ θεὸς
ἄριστα δοκιμάσει. ἐὰν ἀνασφήλω, ἐπὶ τὴν ἀλεξάνδρειαν εὐθὺς
ἵεμαι.

## Τῷ αὐτῷ.

Ἀεὶ δὸς οὗτος ὁ τρόπος ἐπιτηδεύεται παρ' ἐμοῦ χρείας
ιε ἐπιστολῶν. οὐ γὰρ ἵνα συστήσω τῇ φιλίᾳ τῇ σῇ τὸν ἐπιδιδόντα ταύτην ἐπιστολὴν γέγραφα. ἵνα δέ σοι τὸν ἄνδρα χαρίσωμαι, κέρδος οὐ μικρὸν ἐσόμενον σοί τε καὶ τῷ μεγάλῳ Διογένει τοῖς σοῖς παιδικοῖς. καὶ μὴ χαλεπήνῃς εἰ κέρδος οὐχ ὑμᾶς Θεότιμῳ, Θεότιμον δὲ ὑμῖν εἶναι δοκιμάζω καὶ λέγω. ἀλλὰ γοῦν χρείαν ἔχει τις ἀνὴρ τῶν νῦν ἐνθεαστικῶς δυναμένως δέονται. δυνάμεως δὲ δεῖ τούτοις ἂν ποιητικῆς, ἵνα καὶ τοῖς μετέπειτα δόξῃ, καὶ μὴ δὲ τοὺς ἀπόντας λάθῃ. τὰ γὰρ μεγάλα τῶν ἔργων, ἂν μὴ τύχῃ λόγων κηρύκων, ἀπορρεῖ τῆς μνήμης. καὶ λήθην ἀμπίσχεται, παρ' αὐτὸν μόνον τὸν τοῦ πράττεσθαι καιρὸν, ἐν τοῖς ὁρῶσιν ἀνθήσαντα. ταύτῃ τε οὖν τιμητέον ὑμῖν τὸν ἑρμαῖον, καὶ αὐτῇ παντὸς σπουδαστέον, ἢ δίχα τῆς χρείας. αἰδοῖ γὰρ μουσῶν, τοὺς ἱερεῖς αὐτῶν ἄξιον περιέπειν. καὶ μὴ δευτέρους τίθεσθαι τῶν κολακευόντων τὰς θύρας εἰδότων. προσκείσθω καὶ τρίτη τις αἰτία τῆς παρ' ὑμῶν εἰς τὸν ἄνδρα τιμῆς, Συνέσιος ἀγαθεὶς αὐτοῦ πάντα ἐφ' οἷς ἄνθρωποι ἀνθρώποι καὶ ἐπαινοῦσι καὶ μακαρίζουσιν. ἐρρωμένος διαβιώης πάντων ἕνεκα ἐμοὶ τίμιε. προσαγορεύουσι τὴν ἱερωτάτην διάθεσιν πάντες οἱ τὴν αὐτὴν ἡμῖν οἰκίαν οἰκοῦντες. ἐξ ἁπάντων δὲ μάλιστα ὁ σὸς Ἰσίων. καὶ ἡμεῖς τοὺς ἅμα σοί. μάλιστα δὲ τὸν ἐμὸν Ἀβράμιον. τῷ κόμητι γὰρ οὐ δύναμαι ἃ γέγραφα, αὐτὸς δοκιμάσεις. εἴτε μή.

## Πυλαιμένει.

ὁ Υποστελεῖ μὲν ὁ πολὺς ἐν τοῖς λόγοις ἡμῶν Ἀναστάσιος. καὶ σὲ δ' ἂν αὐτῷ δείξας, τὸν αὐτὸν ἔπαινον εἶχεν ἂν περὶ σοῦ. ὡς γὰρ οὖν ἐν ἐμοὶ συνελθόντες πάλαι τὴν συντυχίαν ἀναγνωρισμὸν

ποιοῦσι

ποιήσατέ μοι, φιλοφρονήσασθέ τε ἀλλήλους, ἢ κοινῇ σκοπεῖτε πῶς ἂν ἀγαθόν τι με ποιήσητε. χολὴν δὲ μέγιστον ἀγαθὸν, ἣν εἴποι τις αὖθις τὴν χώραν σύμφορον ἅπαντα καλὰ φέρειν τῇ τοῦ φιλοσόφου ψυχῇ. καρπώσομαι δὲ χολὴν, ἂν τοῦ συνεπιτάχθαι τῇ πολιτείᾳ ῥωμαίων ἀπαλλαγῆναι μοι γένηται. τοῦτο δὲ παρέσται, τῶν λέγοντων ἡμᾶς αὐξομένων τῶν καταράτων. ἔστω τὸ μὲν ἐπὶ βασιλεῖ, γέγονα ἐκ τός. ἐμαυτὸν δ' ἂν αἰτιασαίμην δικαίως, αἰσχυνθεὶς ὄνασθαι συνδέσμου οἰκείας. ἀπολογήσομαι τοίνυν αὐτὸς ἐμαυτῷ. δόξω δ' αὐτοῦ ῥεῖν πάλιν τὴν πρεσβείαν. πάλιν γὰρ ἐμὴ γλῶττα, πρεσβεύει. καὶ οὐδὲν ἧττον αὐτῆς τῶν Πυθαγόρου ἐπαινεσάντων, ὃς τὸν φίλον, ἄλλον ἑαυτὸν ἀξιώσαντο.

Τοῦ αὐτοῦ.

Φ Υκούτιος αὐτός. Κυρηναίων δὲ ταύξει ὁ Φυκοῦς, ἐπιδώκέ μοι φέρων ἐπιστολὴν, τὸ σὸν ἐπιγεγραμμένην ὄνομα. ταύτην ἀνέγνων ἡδέως ἅμα καὶ ἀγαμένως. ὠφέλει τὸ γὰρ τὸ μὲν, τῇ διαθέσει τῆς ψυχῆς. τὸ δὲ, περὶ κάλλει τῆς γλώττης. καὶ διὰ τοῦτο παρεσκεύασέ σοι θέατρον ἐπὶ λιβυκὸν ἑλληνικὸν, ἀπαγγείλας ὕλαις ἀκροασομένοις ἐλλογίμου γράμματα τῶν. ἣν ἐν ταῖς παρ' ἡμῖν πόλεσιν, ὁ Πυλαιμένης πολύς. ὁ δημιουργὸς τῆς θεωρίας ἐπιστολῆς. ἐν τούτῳ ἄγνωστον ἐφάνη καὶ παράδοξον ἀπήντησε τῷ θεάτρῳ. τοὺς κυνηγετικοὺς ᾔτεις τοὺς ἐμάς. ὡς δή τι σπουδαῖον αὐτοῖς ἐνόν. ἔδοξας οὖν σεσηρὸς ἦθος παρέχεσθαι καὶ εἰρωνείας ἀνάπλεων. οὐ γὰρ ἠξίουν τὸ παρὰ σφίσι τὸ φαυλότατον εἰπεῖν, ὃ ξενέγκαι τι παύσει τῆς παρὰ σοὶ σπουδῆς ἄξιον. ἐγὼ δὲ τοῦτο μὲν ὥσπερ ἀπέγνων, τῆς εἰρωνείας. εἰ δ' ἀκοῦσαι δὲ, ὅτι πρὸς τοῖς ἄλλοις ἅ σοι πρόσεστιν ἀγαθὰ, φιλανθρωπίᾳ προσπέπεις καὶ τῶν ἐγκωμίων φιλοδωρότατος. οὔκουν ἐπὶ καταπλῶτι

πεποιῆσθαι τὴν αἴτησιν. ἀλλ' ἵνα ἡδοίμην, τῇ παρὰ σοῦ τοιοῦδε μαρτυρίᾳ τιμώμενος. γράφε οὖν ὁσάκις ἂν ἐγχωρῇ. καὶ ἑστία Κυρηναίους τῷ λόγῳ. ὡς οὐδὲν ἂν αὐτοῖς ἥδιον ἀκούσματα γένοιτο τῶν πυλαιμένους γραμμάτων, ἤδη κατεσχημένοις ὑπὸ τοῦ δήγματος. πάντως δὲ συχνοὺς ἐντεύξῃ τοῖς δεῦρο ἀφικνουμένοις. καὶ ἐμοὶ μηδέσιν ἄλλοις, ἀλλὰ τοῖς ἄρχουσιν ἡμῶν καὶ τὴν ἐλάττω καὶ τὴν μείζω καὶ τὴν αἰγυπτίων ἀρχήν. οὓς οὐκ εἰκὸς ἀγνοεῖσθαι διὰ τὴν ἀκολουθίαν τῶν διανεστῶν. ἐπεὶ δὲ διαφέρει σοι τὰ μάλα εἰδέναι, φιλοσοφοῦμεν ὦ γαθὲ, τὴν ἐρημίαν ἀγαθὴν ἔχοντες συνεργόν. ἀνθρώπων δὲ οὐδένα, οὐδ' ἔστιν ὅτου ποτὲ τῆς Λιβύης ἀκήκοα φωνὴν ἀφιέντος φιλοσόφου, ὅτι μὴ τῆς ἠχοῦς ἀντιφθεγγομένης ἡμῖν. ἀλλὰ κόσμει φησὶν ἣν ἔλαχες σπάρτην. κἀγώ μοι δοκῶ τὴν εἱμαρμένην ἀγαπήσειν τε καὶ κοσμήσειν τὴν αὐτὸς ἐμαυτοῦ, ἡγούμενος ἀγαθὸν σημεῖον τοῦτο προσέσεσθαι τῷ βίῳ καὶ βάσιμον, εἰ μὴ δ' ἀτυχοῦσαν ἀπολιμπάνω φιλοσοφίαν. ἐμοὶ γὰρ εἰ μηδεὶς ἄλλος μαρτυρεῖ, ἀλλ' αὐτός γε πάντως ὁ θεός. οὗ σπέρμα νοῦς ἐς ἀνθρώπους ἥκει. δοκῶ δέ μοι καὶ τοὺς ἀστέρας δύνασθαι ὡς ἐνατενίζειν ἑκάστοτε ὂν ἐν ἠπείρῳ πολλῇ μόνον ὁρῶσι θεωρὸν αὐτῶν σὺν ἐπιστήμῃ γινόμενον. συνδέξαι τοίνυν ἡμῖν ἐν οἷς ἐσμὲν εἶναι. σαυτῷ δὲ ἀπολιπεῖν τὴν κακοδαίμονα ἀγορὰν ὡς κακῶς σὺ τῇ φύσει χρώμενος. μάλιστα μὲν οὖν ἀξιῶ σε καὶ δυσροούντων τῶν ἔξωθεν, ἰδεῖν εἰς τὰ εἴσω. τὸ γὰρ εὐτυχίας εὐδαιμονίαν ἀλλάξασθαι χρύσεια χαλκείων ἐστί. κἀγὼ χαίρω καταγελώμενος, ὅτι τῶν συγγενῶν μου σπουδαρχούντων, μόνος ἐν πολλοῖς ἰδιώτης εἰμί. τὴν γὰρ ψυχὴν ἀρεταῖς δορυφορεῖσθαι προτιμῶ μᾶλλον, ἢ στρατιώταις τὸ σῶμα, οὐκέτι τῶν πραγμάτων χωρούντων ἐπιμελητὴν πολιτείας φιλόσοφον. εἰ δὲ μηδὲ τοῖς κατὰ γῆ

ραν

ραν βέλτιον πέπραχας, ὥστε γὰρ οὐδὲ οἶμαι, οὐδ᾽ ἔστιν ὅτι περὶ σοῦ πο-
νηρὰς ἔχει ἐλπίδας, ὡς ἄρα ἐκστήσει σαυτοῦ καὶ ὁμοτρόπους ἔσῃ
τοῖς εὐδοκιμοῦσι τῶν γραμματέων. οὐ γὰρ ἂν εἴποιμι τῶν ῥητό-
ρων, ἑτέρως δὲ οὐκ ἔστι πλουτεῖν ἐν ταῖς καθ᾽ ἡμᾶς ἀγοραῖς. μὴ
πάντα μισοῦντα καὶ θεῖα καὶ ἀνθρώπινα δίκαια, καὶ κέρδους πα-
ντὸς ἀλλοτρίου γινόμενον. εἰ τοίνυν οὐ δεῖ πλουτεῖν, ἔτι μᾶλλον εἰς
φιλοσοφίαν ἴδε. κἂν μὲν ἐντύχῃς ἀνδρὶ συντόνως ἐργαζομένῳ φι-
λοσοφίαν, ἀνεμέσητον δὲ ἐκπεριοστεῖν καὶ τὴν ἑλλάδα καὶ τὴν
βάρβαρον ἐπὶ θήρᾳ τοιᾶδε, καὶ ἡμῖν τὸ ἕρμαιον κοίνωσαι. εἰ δ᾽ ὡς
ἀγχιμώσῃ τῇ φορᾷ, καὶ ἡμεῖς ἀρκέσομέν σοι δι᾽ ἐκείνου μὲν, ἢ καὶ μεθέξων
καὶ ἡμῶν καὶ τῶν ἡμετέρων. ἐπεὶ τὰ ἴσα τοῖς ὁμοίοις φησὶ τὸ γράμ-
μα τὸ λακωνικόν. πρόσειπε τὸν πατέρα μου, πάνυ πολλὰ τὸν σεβασμι-
ώτατον Μαρκιανόν. ὃν εἰ προλαβὼν ἀεὶ ἐσέβουν ἑρμοῦ λογίου τύ-
πον εἰς ἀνθρώπους ἔφην ἐληλυθέναι, μόλις ἂν ἔτυχον τῆς ἀξίας,
ὅτι πλεῖον ἰδεῖν ἢ τύπος. ἐπιστολὴν δὲ γὰρ οὐδεμίας πρὸς αὐτὸν ἐπιθεῖ-
ναι, καίτοι προθυμηθεὶς, ἐνάρκησα, ἵνα μὴ εὐθύνας ὑπόσχω τοῖς
παρ᾽ ἑκάστους. τοῖς ἀπὸ σμικρολογοῦσι τὰ ὀνόματα. οὐ γὰρ μικρὸς ὁ
κίνδυνος ἐν τῷ πανελληνίῳ τὴν ἐπιστολὴν ἀναγνωσθῆναι, καλῶ γὰρ
οὕτω τὸν τόπον ἐν ᾧ πολλάκις ἐφρόντισα τὰς βαρείας φροντί-
δας, τῶν ἀπανταχόθεν ἐλλογίμων συνιόντων. ἐφ᾽ ὧν τῆς ἱερᾶς ἀλῶ-
σαι τοῦ πρεσβύτου φωνῆς, παλαιὰ, καὶ ῥέα κατὰ μασευούσης
διηγήματα. ἀλλὰ καὶ τὸν ἑταῖρον Εὐχάριστον, χαίρειν κέλευσον
παρ᾽ ἐμοῦ. καὶ πάντας ὅσους ἄξιον. Τῷ αὐτῷ.

σ υνίστημι τῇ φιλίᾳ καὶ τῇ προστασίᾳ τῇ σῇ, τὸν θαυμά-
σιον Σωσιναῦ. ὃ τὴν διὰ λόγων τραφέντι καὶ αὐξηθέντι, τὰ πα-
ρὰ τῆς τύχης οὐκ ἀπαντᾷ κατὰ λόγον. αἰτιᾶται δὲ τὴν τῶν πα-

τρίδος ἀκληρίαν· καὶ πείθει τις αὐτὸν λόγος, ὡς ἔστι συμμεταβαλεῖν τῷ χωρίῳ τὴν τύχην. ἀφίξεται δὲ παρὰ τὴν ἔχουσαν τὸν βασιλέα πόλιν, ὡς ὅπου βασιλεὺς, ἐκεῖ καὶ πάντων τῶν τύχης οὔσης, καὶ τυχὸν ἐπισυνωσομένης αὐτῷ. εἰ δή τις σοι δύναμις συντελέσει αὐτῷ πρὸς ὅ,τι βούλεται. σοῦ γὰρ ἄξιον τὸ καὶ δύνασθαι, καὶ τοὺς δεομένους συνιστάναι τῇ ἀγαθῇ τύχῃ. ἐὰν δέηται φίλων, τῶν σοὶ φίλων αὐτὸς προσοίσεις αὐτόν.

Τῷ αὐτῷ.

ο Ὑμᾶς τὸν Φίλιον τὸν ἐμόν τε καὶ σὸν, οὐκ ἔγωγε ὦ Πυλαιμένες ἀπέσκωψά σου τὴν εἰς τὴν ἐνεγκοῦσαν εὔνοιαν· οὐχ οὕτως ἄπολις. εἰ μή τις οὐδὲ ἀνέστιος. ἀλλὰ σὺ κακῶς ἐξεδέξω τὴν μοῦσαν τῆς ἐπιστολῆς· καὶ κατηγόρηκας ἡμῶν ἅττα οὐκ ἄξιον. ἐγὼ δὲ ὅτι μὲν ἡρακλέας ἐρᾷς, καὶ πρόθυμος εἶ ποιῆσαί τι τὴν πόλιν ἀγαθὸν, ἐπῄνουν· τοῖς λόγοις δὲ ἐπεσκούμην ὑπὲρ τοῦ δεῖν ἀνθελέσθαι φιλοσοφίαν τῆς ἀγοραίου ταύτης διατριβῆς. εἴτε σύ μοι δοκεῖς δίκας ἀγορεύων, οἴεσθαι μᾶλλον ἢ φιλοσοφῶν, ὠφελιμώτερος ἔσεσθαι τῇ πατρίδι· πῶς τοῦτο; ὅτι τὸ μὴ μετατίθεσθαι σου τὴν προαίρεσιν, ἢ πείσω τὸ τῆς γνώμης φιλόπατρι. τοῦτο γοῦν ἀπέσκωψα καὶ οὐχὶ τὴν εὔνοιαν· ὅτι κακῶς οἴει προέργου σοί τι γενήσειν εἰς τὸν καλὸν τοῦτον ἔρωτα· τὸ προσεδρεύειν ταῖς δίκαις. καὶ γὰρ εἰ μὴ λέγοιμι φιλοσοφίαν ἱκανὴν εἶναι τὰς πόλεις ὀρθοῦν, ἐλέγξει με κυρίως κειμένη πολὺ δήπου τῶν ἐν τῷ κέντρῳ τελέων ἀκριβέστερον. αὖ ἐπεί μοι μὲν ἂν, ὅτι φιλοσοφία καὶ ῥητορικῆς καὶ ἧς τινος βούλει καὶ τέχνης καὶ ἐπιστήμης ἅτε πάσαις οὖσα, παρέχεται τὸν ἔχοντα καὶ ἰδιώτην καὶ κοινὸν ταῖς πόλεσιν ὠφελιμώτερον· ὑμῖν ἀρκεῖ τὸ καθ' ἑαυτὴν ἀγαθόν τι ποιεῖν τοὺς ἀνθρώπους. ἔχει δὲ οὕτως ὦ λῷστε Πυλαιμένες· τὰ καλὰ τῶν ἐπιτηδευμάτων, δυνάμεις τινὲς εἰσὶ καὶ παρασκευαὶ ψυχῆς· καὶ

οἷον

οἶον αὐτὸ μόνον τὸ χρῆσθαι μὲν καιρῷ, ἢ τύχαις, φέρουσιν ἄνω καὶ κάτω τὰ τῶν πλείων πράγματα. ἔνιοι μὲν οὕτως ἔχειν, νῦν δὲ ἑτέρως ἀνάγκη φύσεως ἧς μετείληφε. φιλόπολις μὲν οὖν εἶ σύ. τυγχάνω δὲ καὶ αὐτός. καὶ σὺ μὲν ἐργάζῃ ῥητορικήν. καὶ συγχαίρω σοι μὴ ταύτην ἐπιτηδεύειν. ἀλλὰ τὴν ὀρθὴν καὶ γενναίαν, ἣν ὁ δὲ Πλάτων οἶμαι διαγράφειν πειρᾶται. ἐγὼ δὲ φιλοσοφίαν τιμῶ τε, καὶ τῶν ὅσα ἀνθρώπινα ἀγαθὰ προτιμῶ. τί οὖν ταύτῃ παρὰ μὲν πλέον τοῖς πλείοσιν, εἰ μὴ καὶ βίοι τινὲς ὑπερβάλλουσιν ἀρκοῦντες τοῖς προαιρέσεσι. διὰ μὲν τὸ ὅλως ἐπιτηδείας. διὰ δὲ ὀργάνων τῷ χρῆσθαι δυναμένῳ. τὸ δὲ ταῦτα πράσσειν ἄξιον, ἡ τύχη. εἰ μὲν οὖν ἑκατέρως μόνον, τουτέστι διὰ τὸ ῥητορικῆς οἴεσθαι περιέσεσθαι τὴν τύχην, ὥστε ἄρξαι ποτὲ παρασχεῖν ἢ ὑπάρξαι τὴν μεγίστην ἀρχήν, τί κατέγνωκας ἀτυχίαν φιλοσοφίας. εἰ δὲ ἐπίσης ἀμφοῖν ἐνδέχεται καὶ ἀπεῖναι καὶ παραγενέσθαι, τί μὴ τέως αἱρῇ τῶν φαινομένων τὸ ἄριστον. αὐτὸ μὲν δὴ καθ' αὑτό, φιλοσοφίαν καὶ σὺ φὴς εἶναι κρείττω ῥητορικῆς. τὸ δὲ δεῖν ὁμαλοῦσου τὴν πόλιν ἀναγκαιότερόν σοι τὸ χεῖρον ποιεῖν. ὡς δὴ νῦν μὲν ἔξεστιν ἐλπίζειν τὰ ἀμείνω, φιλοσοφήσαντι δὲ οἱ θεοὶ πάντες ἐχθροί, καὶ τὴν τύχην ἀποχετεύουσιν, ὡς μὴ δὲ ἐν ταῖς ἐλπίσιν ἀπολελεῖφθαι. ἐγὼ δὲ τοῦτο καὶ τήμερον τοῦ σοῦ ἀκηκοὼς οἶδα τὸν λόγον, ὅτι τῇ σεμνῇ φιλοσοφίᾳ θεὸς ἐστὶ κλῆρος ἀτυχεῖν. ἀλλὰ μόλις μὲν ἂν ἐν τῇ κοινῇ τῇ θνητῇ φύσει, συνέλθοιεν ἰσχύς τε καὶ φρόνησις. ἔστι μὴν ὅπε σύζευξιν αὐτὰς ὁ θεός. ἔξεστιν οὖν ἐκ τοῦ λόγου μαθεῖν δὴ πῶς ἀνάγκη τὸν αὐτὸν εἶναι καὶ φιλόσοφον καὶ φιλόπολιν, καὶ μὴ δὲ ἐπιγινώσκειν τῆς τύχης, ἀλλὰ καὶ προσδοκᾶν τὰ ἀμείνω, διὰ τὴν οἰκείαν ἀξίαν. οὐχ ἥκιστα δὲ μόνον πλεονεκτοῦσιν ὡς παλαιὸς λόγος οἱ χρηστοὶ τῶν πονηρῶν ταῖς ἀγαθαῖς ἐλπίσι. πῶς οὖν ἔλαττον αὐτὸς ἔχειν συγχωρήσω μὲν ἀνάγκη δὲ πρὸς τὸν παρὰ σοῦ λόγον ἐνδοίην μέν, ὃς εἰς τοῦτο

σι προήχθαι γε ἁμαρτίας τὸ φάναι τῆς πόλεως ἕνεκα δεῖν μένειν ἐπὶ τῆς τέχνης. ἀνάλογον γάρ μου μεταπεθέντος εἰς κατηγορίαν τὴν περὶ τοῦ σκώμματος ἀπολογίαν. ὃ δὴ μὴ ὄν, ἔδοξεν εἶναί σοι πρότερον. οὐ γὰρ οἶμαι νῦν ἔτι δοκεῖ. ἐπεί τι κινδυνεύω καὶ διαβεβλῆσθαι πρὸς τὴν ἱερὰν κυρίαν ὑπὸ σοῦ καὶ ταύτης τῆς φίλης μοι κεφαλῆς. εἰ γὰρ δὴ πεισθεῖεν αἱ πόλεις, ὅτι ῥητορικὴ μόνη δύναται μεταθεῖναι τὰς παρούσας αὐτοῖς συμφοράς, καὶ μόνον δεῖ τοῦτο γέρας τῶν βοηθούντων τοῖς ἔχουσι περὶ συμβολαίων τὰς δίκας, χαλεπαίνουσιν ἡμῖν τοῖς ἄλλο τι θεραπεύουσιν, ἀντὶ τοῦ βήματος. εἰς οὖν ἐμοὶ πρός σέ τε καὶ τὰς πόλεις ἁπάσας περὶ φιλοσοφίας ὁ λόγος. ὅτι παρούσης μὲν τύχης καὶ κακωσάντων αὐτὴν ὑπὲρ τὰ πράγματα τῶν καιρῶν, οὐδεμιᾶς δεῖ τέχνης, ἀλλὰ δέημα πασῶν ἐρῶσα φιλοσοφία περὶ τοῦ τὴν συντονωτέραν ἁρμόσαι. καὶ μετατάξαι, καὶ βελτίω τοῖς ἀνθρώποις ποιῆσαι τὰ πράγματα. τῆς εἱμαρμένης δὲ οὔπω τούτῃ ῥυείσης νοῦν ἔχει τὸ λὴν οἰκειοπραγεῖν, ἀλλὰ μὴ παραδιοικεῖν. μὴ δυσχημονεῖν, ἀξιοῦντας ὠθίζεσθαι παρὰ τὸ τοῦ δεῖνος ἀρχεῖον, οἷς μὴ πᾶσα ἀνάγκη. ἀνάγκᾳ ᾗ οὐδὲ θεοί φασι μάχονται. ἡμῖν δὲ δεῖν ἄλλα σεμνότερα. καὶ ὅταν ὄνους ἀνενέργητος ᾖ περὶ τὰ ἐνθάδε, περὶ τὸν θεὸν ἐνεργεῖ. δύο γὰρ αὗται μερίδες φιλοσοφίας, θεωρία καὶ πρᾶξις. καὶ δὴ ταῖς δύο δυνάμεις ἑκατέρᾳ παρ' ἑκατέραν μερίδα. σοφία καὶ φρόνησις. αὕτη μὲν δεομένη τύχης. σοφία δὲ αὐτάρκης καὶ ἀκώλυτος ἡ κατ' ἐκείνην ἐνέργεια.

Τῷ ἀδελφῷ.

τ Οὓς αὐτοὺς ἂν ἴδοις ἐν μὲν εἰρήνῃ θρασεῖς. ἐν δὲ πολέμῳ δειλούς. τουτέστιν ἁπανταχοῦ πονηρούς. ὡς τέ μοι δοκεῖ ταύτην τις δικαίως εἰδέναι περὶ πολέμου χάριν, ὅτι βάσανος δεῖ

τοῦ περὶ

τοῦ περὶ τὴν καρδίαν οἰδήματος ἀκριβῶς· καὶ συχνοὺς ἀλαζόνας
παραλαβὼν, μετριωτέρους, ἡμῖν ἀποδίδωσιν· οὐ γὰρ οἶμαι τὸ
ἀπὸ τοῦ διασοβήσειν διὰ τῆς ἀγορᾶς Ἰωάννην τὸν ἀλιτήριον· οὐ δὲ
πύξ γε τενεῖν οὐ δὲ λὰξ ἐναλεῖσθαι τῶν ἐπιεικεστέρων τινί. χθὲς τοι
πάνυ λαμπρῶς συνηγορήκει τῇ παροιμίᾳ, μᾶλλον δὲ τῷ χρησμῷ·
χρησμὸς γὰρ αὐτόχρεως. τοῦτό γε πάντως οἶσθα, τὸ, οὐδεὶς κομήτης,
ὅστις οὐ ψηνίζεται. ἡμέρας μὲν γάρ τινας ἐξῆς οἱ πολέμιοι προ
σεπέλλοντο κἀμοί τε ἀπαντητέον ἐδόκει, καὶ βαλαγρίτας συντε-
ταγμένους, ἐξῆγεν ὁ φύλαρχος. εἶτα φθάσαντες αὖ εἰς τὴν πεδι-
νὴν, περιεμένομεν· οὐδαμοῦ δὲ φαινομένων, περὶ βουλυτὸν ἀπεχω-
ροῦμεν ἕκαστος οἴκοι, συνθέμενοι πάλιν ἐξαίφνης τὴν ὑστεραίαν. ὁ δὲ Φρὺξ
Ἰωάννης τέως μὲν ἦν οὐδαμοῦ. οὕτως ὥστε καὶ φανερὸς εἶναι. φή-
μας δὲ ὑπέπεμπε· νῦν μὲν ὡς κατ' ἀγρὸς εἴη. καὶ διαπρίεται τὸ σκέλος
νῦν δὲ ὡς ἆσθμα νοσεῖ· νῦν δὲ ὡς αὖ ὅτι κακὸν δεξιτερὸν ἔχει. τοιοῦτοί
τινες ἐφοίτων λογοποιοὶ ἄλλος ἄλλοθεν ἥκειν φάμενοι, τὸ μὴ
δὲ σαφὲς εἶναι ποῦ γῆς Ἰωάννης δέδυκεν ἢ κρύπτεται. μεταξὺ
δὲ αὖ διηγούμενοι, πρὸς τὴν ἀκρίβειαν τῆς συμφορᾶς ἐσχετλίαζον
ὑπεδάκρυον. νῦν ἔδει τοῦ γενναίου λήμματος· νῦν τῶν ἐκείνου χει-
ρῶν. τί ἂν ἐποίησε. τί ἂν ἐγένετο. καὶ ἐπὶ πᾶσιν ὦ τοῦ δαίμονος ἕ-
καστον αὖ ἕκαστος, καὶ τὼ χεῖρε πατάξας, ἀπηλλάττετο. ἥκουον δὲ οὐ
χὶ τῶν ἐν οὐδενὶ χρησίμων πολλοὺς παραζεφομένων αὐτῷ, κομῆ-
ται καὶ οὐ πρὶν οὐδὲν ὑπές. ἀρνῶν ἢ δὲ ἐρίφων ἐπιδήμιοι ἁρπακτῆ-
ρες ἐν τὰ τοὺς θεοὺς ἐστὶν ὅπη ἐν γυναικῶν. τοιούτοις λοχίταις ἐκ
πολλοῦ παρεσκεύαστο. μηδὲν εἶναι μὲν ἀνὴρ οὐδ' ἐπιχειρεῖ. χαλε-
πὸν γάρ. σοφιστὴς δ' ἐστί. ἐν ὡς αὖ δόξειεν ἀνὴρ εἶναι παρὰ τοῖς ὄν-
τως ἄνδρας, ἀεὶ σκέπτεται. ἀλλά μοι δοκεῖ καλῶς αὐτῷ τὸ

δαιμόνιον αὐτῇ πολιτεύσασθαι· πέμπτην μὲν γὰρ ἤδη ἐν τοῖς ὅπλοις
μεν τὴν παρεληλυθυῖαν. ἔτι τὰ μετεωρότερα κακουργούντων τῶν
πολεμίων. ὁ δὲ καὶ παντάπασιν ἀπονους ἦξεν αὐτούς, ὡς οὐκ
αὖ τὸ βάθος τῆς χώρας θαῤῥήσοντας, παρῆν. καὶ πάντα δ' εὐθὺς ἀ-
κοσμίας ἐμπίπλησι· καὶ ἀσθενείας μὲν οὐκ ἐμέμνητο. καταγε-
λᾶν γέ τοι καὶ ἀναχομένων ἀκοῦσαι. αὐτὸς δὲ ἥκειν ἔφη πρόσθεν.
οὐκ οἶδα ὅθεν. ἐπεὶ γὰρ ἐς συμμαχίαν παρακεκλῆσθαι. πρὸ καὶ
σεσῶσθαι τοὺς ἐπικαλεσαμένους ἀγρούς. οὐ δὲ γὰρ ἐμβεβληκέ-
ναι τοὺς πολεμίους πρὸς τὴν φήμην τῆς Ἰωάννου παρουσίας,
καταπλαγέντας. ἀσφαλῶς δὲ τὰ καθ' κατασκησάμενος, πρὸς τὸ
πονοῦν ἔφη καταδεδραμηκέναι. προσδέχεσθαι γὰρ ὅσον οὔπω τοὺς
ἄνδρας, ἣν λάθῃ παρών. καὶ μὴ διαδοθῇ τοὔνομα. εὐθὺς οὖν ἅπαν
τα ἀκοσμίας ἐμπίπλησι παραστρατηγεῖν ἀξιῶν. καὶ ἐν βραχεῖ,
τέχνην τὴν νίκαν παραδώσειν ὑπισχνούμενος, βοῶν ἐπὶ μέτωπον.
τὴν φάλαγγα. καὶ κατὰ τὸ κέρας πολὺ τὸ πλαίσιον. τῶν ὀνόμα
τα τάξεων, ὧν ἤκουσε τὴν χεῖρα. κρείττω σιν ἀπὸ τούτου ἔδοξέ τις εἶ-
ναι. καὶ τήν γε φύσιν ἐμακάριζον καὶ ἐμαθητίων πολλοί. ἤδη δὲ δεί-
λης τε ἦν ὀψία. καὶ καιρὸς ἐφόδου. καὶ δὴ πρόσω τῆς ὀρεινῆς καταβαί-
νοντες ἐγγυόμεθα. κἀνταῦθα νεανίσκοι τέσσαρες, ἐσταλμένοι χωρι-
κῶς καὶ κεκαρκότες, ὅσον ἐχώρουν αἱ κεφαλαί, δρόμῳ πρὸς ἡ-
μᾶς ἔθεον, ὡς μηδενὶ μαντείας δεῖν, ὅτι πολεμίους πεφόβηνται,
καὶ σπεύδουσιν ἔσω τῶν ὅπλων γενέσθαι. πρὶν δὲ καὶ καλῶς αὐτῶν
ἐκείνων ἀκοῦσαι λεγόντων ὅτι καὶ δὴ πάρεισιν, ὁρῶμεν ἔφη πάντα καὶ
δράσεια πονηρά, καὶ ὡς ἐμοὶ δοκεῖν ὑπὸ λιμοῦ στρατηγούμενα, πρὸ
χειρότατα δούλων ὑπὲρ τῶν ἡμετέρων ἀγαθῶν ἀποθνήσκειν ἐθέλοι-
το. ἐπειδὴ δούλων εἶδον καὶ ὤφθησαν, πρὶν ἔσω βέλους ἐλθεῖν, οἱ μὲν ἀ-

ποβάντες

τα βαίτιο ὡς περὶ ἐκθέσεων, τῶν ἵππων, ὡς εἰς μάχην διεσκευάζοντο
καί μοι καλῶς ἔχειν ἐδόκει μιμεῖσθαι τοὺς ἄνδρας. καὶ γὰρ ἔφιπ-
πος ἦν. ὁ δὲ γεννάδας οὐκ ἔφη παραναμήσειν εἰς τὴν ἱππασίαν.
ἀλλὰ τὸν ἀγῶνα τῶν ἵππων κρινεῖν. τί οὖν παρεγκλίνων βίᾳ τὸ φάλ-
λιον, καὶ μεταστραφείς, ἔφυγεν ἀνάλογα τοῖς ἐξελαύνων ἐξάλματ-
των τὸν ἵππον. ἅπασαν ἡνίαν ἀφείς. κέντρῳ παντὶ χρώμενος. καὶ
ἱμάστιξι πυκναῖς. καὶ ἡ βοὴ τὸ κελευστικὸν ἤχει. ἐν τούτῳ δὲ οὐκέτι ῥᾴ-
διον εἰπεῖν, ὅν τινά τις μᾶλλον ἐπῄνεσε. πότερον τὸν ἵππον, ἢ τὸν ἱπ-
πέα. ὁ μὲν γὰρ ὁμοίως κατὰ τῶν πρανῶν. ὁμοίως καὶ κατ' ὀρθίων ἐφέ-
ρετο. καὶ διὰ τῶν δασέων. καὶ διὰ τῶν ψιλῶν. ῥύμῃ μιᾷ διεπήδα
τὰς φρυγάς. ὑπὲρ τοὺς ἐχυροὺς ἤρετο. ὁ δέ, διὰ πάντων τῶν χωρίων ἔν-
χος ἦν. καὶ ἐν οὐδενὶ τῶν καθ' ὁδὸν ὠλίσθησε. δοκεῖ γάρ μοι καὶ τοῖς
πολεμίοις καλὴ θέα γενέσθαι, καὶ ὡς πολλὰ ἂν εὔξαιντο τοιαῦτα
θεάσασθαι, οὐ μὴν τὸ γ' ἐφ' ἡμῖν, ἔδοξεν. ἀλλ' ἀθυμότεροι μὲν ὡς τὸ ἔ-
κὸς ἐγινόμεθα, ψευσθέντες παρὰ πολὺ τῶν εἰς τὸν κάμνοντα ἐλπί-
δων. ἐτοξάμεθα γοῦν, ὡς ἔτι τις ἐστί, δεξόμενοι. αὐτοὶ δὲ μάχης
ἄρχειν οὐ διενοούμεθα. καὶ γὰρ ὅστις αὐτὸς εὔψυχος ἦν ἠπίστατο πε-
πλάσας πρὸς παράδειγμα τὸ γεγονὸς ὁρῶν. ἔνθα οὐδὲν ἡνίοχον κό-
μος. οὕτω γὰρ ἦν, οὕτως ἐπιδοξότατος πρὸς τὸ προδώσειν ἡμᾶς.
οὐ μὴν ἀλλὰ καὶ τοῖς πολεμίοις ταὐτὸν ἴσως τοῦτο παρέστη. καὶ
ταξάμενοι, περιέμενον ἡμᾶς, ὡς ἦν ἐμβάλλωμεν, ἀμυνούμενοι.
ἐπεὶ δὲ παρ' οὐδετέρων ἐπεχειρεῖτο, πρῶτον μὲν αὐτοὶ τὴν ἐπὶ τὰ
λαιὰ φέρουσαν ἡ μετὰ τῶν κενοὺς ἡμεῖς τὴν ἐπὶ θάτερα ἐτραπόμεθα.
οὐδέτεροι θᾶττον ἢ βάδην. ἀλλὰ χαλαρῷ βαδίσματι, ὥστε μὴ δοκεῖν
εἶναι φυγὴν τὴν ἀναχώρησιν. εἶτα μέχρι καὶ περὶ ἐν τάξει ὄντες, ἐ-

(πιταιόμεθα

ποῦ γῆς Ἰωάννης· ὁ δεινὸς ἐν δύματι καταλαβὼν τὴν βομβαίαν, δίκην ἀρουραίου μυὸς, ἐνεδεδύκει τῇ πέτρᾳ. ὄρος ἐστὶν ἡ βομβαία κοῖλον· ὃ συνελθοῦσαι τέχνη τε φύσις, εἰργάσαντο φρούριον ἐρυμνότατον. τοῦτο καὶ πάλαι μὲν εὐδόκιμον δικαίως. καί τινες αὐτὸ παρὰ τοὺς αἰγυπτίους ἐξήταζον σύριγγας. νυνὶ δὲ κέκληται τὰ πάντα χοῦ τειχνικοῦ, οἷς ὁ παρὰ πάντας ἑαυτοῦ προμηθέστατος, ἵνα μὴ λίαν ἀγροίκως εἴπω, δειλότατος αὐτὸ τὸ τοῦ πράγματος ὄνομα, τοῦτο παρακάθηται, καὶ τὴν σωτηρίαν προὐτίμησε. ἔστι γὰρ εἰσελθόντι λαβυρινθῶδές ἐστι· καὶ δυσεξίτητον, ὡς μόνους ἂν χωρῆσαι τοὺς Ἰωάννου δρασμούς.

## Τῷ αὐτῷ.

α Νόσον αὖ εἴην, εἰ μὴ πολλὴν χάριν εἰδείην τοῖς πολεμίοις, ὅτι με τοσούτου ἀξιοῦσιν, ὅσου οὐδὲ αὐτὸς ἐμαυτόν. ἀλλ' οὐκ εἰ μεγάλα χαρίζονται, τοῦτο προσήκει σκοπεῖν. ἀλλ' εἰ λαβεῖν ἐμοὶ δυνατόν. τὸ γὰρ ἀνθρώπου ὄντα, μικροῦ θείας καρποῦσθαι τιμὰς, δίκαιον μὲν ὄντι τυχεῖν, ἥδιστον εἰς ἀπόλαυσιν ἔρχεται. λειπομένῳ δὲ παρὰ πολὺ τῆς ἀξίας, ἐλπίδα πικρὰν ὑποτείνει τοῦ μέλλοντος. οὐ γὰρ νεώτερόν ἐστι τὸ δέος, ἀλλὰ καὶ λίαν ἀρχαῖον. τὸ, μή τι παρὰ θεὸν ἀμπλακὼν, τιμὰν πρὸς ἀνθρώπων ἐφεύρω. ἐγὼ δὲ καταμανθάνων ἐμαυτὸν, εὑρίσκω πάντα πᾶσιν ἐνδεέστερον, ἢ ὡς ἁρμόσαι τῇ τῆς ἱερωσύνης σεμνότητι. καὶ δῆτα διαλέξομαι πρὸς σὲ περὶ τῶν τῆς ἐμαυτοῦ ψυχῆς κινημάτων. οὐ γὰρ ἔχω πρὸς ὅντινα ἄλλον αὐτὰ τῆς σῆς φιλίας καὶ συντρόφου μοι κεφαλῆς. σὲ γὰρ εἰκὸς, καὶ μετέχειν μοι τῶν ἴσων φροντίδων, καὶ νύκτωρ ἀγρυπνεῖν,

πνεῖν, καὶ μεθ' ἡμέραν σκοπεῖν, ὅπως ἂν ἀγαθόν τι μοι γένηται, καὶ
ὅπως ἂν κακόν τι διαφύγοιμι. ἄκουε τοίνυν ὡς ἔχει τἀμά· τὰ
πλείω δ' ἂν αὐτῶν καὶ εἰδείης. μικρὸν ἀράμενος φορτίον, κα-
λῶς ἐνεγκεῖν μοι δοκῶ τὸ μέχρι τοῦδε φιλοσοφίαν. διὰ δὲ τὸ δό-
ξαι μὴ παντάπασιν αὐτῆς ἁμαρτάνειν, ἐπαινεθεὶς ὑπ' ἐνίων, ἀξιοῦ-
μαι μειζόνων, παρὰ τῶν οὐκ εἰδότων κρίνειν τὴν τῆς ψυχῆς ἐπιτηδειότη-
τα. φοβοῦμαι δὲ μὴ χαῦνος γενόμενος καὶ προσιέμενος τὴν τι-
μὴν, ἀμφοῖν διαμάρτω· τοῦ μὲν, ὑπεριδὼν, τοῦ δ' ἀξίας μὴ ἐ-
φικόμενος. σκόπει δὲ οὑτωσί· δύο τούτοις ἑκάστοτε μερίζω τὸν χρό-
νον· παιδιᾷ καὶ σπουδῇ. καὶ σπουδάζων, ἴδιός εἰμι μάλιστά γε τὰ
θεῖα. καὶ παίζων κοινότατος. οἶσθα γὰρ ὡς ὅταν ἀνακύψω τῶν βι-
βλίων, ἐπιρρεπής εἰμι πρὸς ἅπασαν παιδιάν. πολιτικῆς δὲ φρον-
τίδος ἄμοιρος φύσει καὶ μελέτῃ. τὸν δ' ἱερέα, ἄνδρα δεῖ θεσπέ-
σιον εἶναι. ὅν γε πρὸς μὲν παιδιὰν ἅπασαν, ἴσα καὶ θεῷ ἀμείλικτον
εἶναι χρή. ὃς ἵνα τηρῇ τὴν ὑπόθεσιν, ὑπὸ μυρίων ὀμμάτων φρου-
ρεῖται. ὧν οὐδὲν ἢ μικρὸν ὄφελος, εἰ μή τις εἴη κατεσκευασμένος
σύννους τε καὶ πρὸς ἅπασαν γλυκυθυμίαν, ἀνένδοτος. τὰ δέ γε
πρὸς θεὸν, οὐκ ἂν ἴδιος. ἀλλὰ κοινότατος εἴη, νομοδιδάσκαλος
ὢν καὶ τὰ νενομισμένα φθεγγόμενος. χρὴ δὲ καὶ πράγματα πράττειν ὅ-
σα πάντες ἅμα. τὰ γὰρ ἁπάντων, μόνος δεῖ πράττειν, ἢ πάσας
αἰτίας ἀπέχεσθαι. πῶς οὖν οὐκ εἴη δυνάμεως τῆς ψυχῆς καὶ κρατίστης
ἐνέγκασθαι τοσοῦτον ὄγκον φροντίδων. καὶ μὴ καταχλύσαι τὸν νοῦν
ἢ μὴ κατασβεσθεῖσαν ἐν τῇ ψυχῇ περιιδεῖν τὴν μοῖραν τὴν θείαν. ὅτω
παντοδαπῶν ἐπιτηδευμάτων ἀπαγόντων αὐτόν. σὺ οἶδα ὅτι δυ-
νατὸν ἐνίοις τοῦτο. καὶ μακαρίζω τὰς φύσεις αὐτῶν, κἀκείνους
ἀληθῶς εἶναι ἡγοῦμαι τοὺς θείους ἄνδρας. οὓς τὸ ὁμιλεῖν πάνυ

πράγμασιν ἀνθρωπίνοις μὴ ἀνήκοντι τῷ θεῷ. ἀλλὰ ἐγὼ αὐτὸν οἶδα ἐν ἄστει τε κατιόντα, καὶ ἀπ' ἄστεος ἀνιόντα, καὶ ἐνειλούμενον τοῖς πρὸς τὰ γεώδη μεθέλκουσι. ἐγὼ ἐμπεπλησμένον κηλῖδος, οὐκ ἂν εἴποι τις ὅσης. τῷ γὰρ οἰκεῖος εἶναί μοι καὶ πάλαι μολυσμὸς, καὶ τὸ τυχὸν μέρος ἐπαγόμενον, εἰς προσθήκην μέγα συμβαίνει. ῥώμη δ' οὐκ ἔστι μοι. καὶ τἄνδον οὐχ ὑγιὲς καὶ πρὸς τὸ ἐκτὸς ἀρκεῖν οὐχ οἷός τέ εἰμι. ἐγὼ πολλοῦ δέω τὴν ἐκ τοῦ συνειδότος φέρειν αἰτίαν. καὶ ὁσάκις ἄν μέ τις ἔροιτο, λέγειν διαρρήδην οὐκ ἀναδύομαι, ὡς τὸν ἱερέα διὰ πάντων ἀκηλίδωτον εἶναι προσήκει πολλῷ τῷ περιόντι, ὡς καὶ ἑτέρους τῶν μιασμάτων ἐκπλύνοντα. κἀκεῖνο δεῖ προσεῖναι τοῖς πρὸς τὸν ἀδελφὸν γράμμασι. πάντως γὰρ ἀναγνώσονται συχνοὶ τὴν ἐπιστολήν. καὶ γὰρ οὐχ ἥκιστα τούτου χάριν αὐτὴν ὑπηγόρευσα. τὸ πᾶσι καταφανὲς εἶναι τὸ πρᾶγμα. δεδιὼς ὡς ὅτι ἂν ἀποβῇ, καὶ πρὸς θεὸν καὶ πρὸς ἀνθρώπους ἀναίτιος ὦ καὶ οὐχ ἥκιστα πρὸς τὸν πατέρα Θεόφιλον. τιθεὶς γὰρ ἐν μέσῳ τὸ πρᾶγμα καὶ διδοὺς ἐξ ἁπάντων αὐτῷ βουλεύσασθαι περὶ ἡμῶν, πῶς ἂν ὑπαίτιος ἦν. ἐμοὶ τοιγαροῦν ὅ, τε θεὸς ὅ, τε νόμος, ἥ τε ἱερὰ Θεοφίλου χεὶρ, γυναῖκα ἐπιδέδωκε. προαγορεύω τοίνυν ἅπασι καὶ μαρτύρομαι, ὡς ἐγὼ ταύτης, οὔτε ἀλλοτριωθήσομαι καθάπαξ, οὔτε ὡς μοιχὸς αὐτῇ λάθρα συνέσομαι. τὸ μὲν, γὰρ ἥκιστα εὐσεβές. τὸ δὲ ἥκιστα νόμιμον. ἀλλὰ βουλήσομαί τε καὶ εὔξομαι συχνά μοι πάνυ καὶ χρηστὰ γενέσθαι παιδία. ἓν δὴ τοῦτο δεῖ τὸν κύριον τῆς χειροτονίας μὴ ἀγνοῆσαι. μαθέτω δὲ αὐτὸ, παρὰ τῶν ἀμφὶ τὸν ἑταῖρον Παῦλον καὶ Διονύσιον. οὓς πρεσβευτὰς ᾑρῆσθαι παρὰ τοῦ δήμου πυνθάνομαι. ἐκεῖνο δὲ οὐδὲν δεῖ μαθεῖν αὐτόν. ἀλλ' ὑπομνησθῆναι. διαλέξομαι δὲ πλείω περὶ αὐτοῦ, καὶ γὰρ ἂν ἅπαντα τἆλλα μικρὰ, πρὸς ὅ τις ἂν τοῦτο θεῖτο. χαλεπόν ἐστιν εἰ μὴ καὶ λίαν ἀδύνατον ψυχὴν τὰ δι' ἐπιστήμης εἰς ἀπόδειξιν ἐλθόντα δόγματα

σαι λυθῆναι. οἶσθα δὲ ὅτι πολλὰ φιλοσοφία τοῖς θρυλλουμένοις τού
τοις ἀντιδιατάττεται δόγμασιν. ἀμέλει τὴν ψυχὴν οὐκ ἀξιώσω ποτὲ
σώματος ὑστερογενῆ νομίζειν. τὸν κόσμον οὐ φήσω καὶ τἄλλα μέ
ρη συνδιαφθείρεσθαι. τὴν καθωμιλημένην ἀνάστασιν ἱερόν τι καὶ
ἀπόρρητον ἥγημαι. καὶ πολλοῦ δέω ταῖς τοῦ πλήθους ὑπολήψε-
σιν ὁμολογῆσαι. νοῦς μὲν οὖν φιλόσοφος ἐπόπτης ὢν, τἀληθοῦς,
συγχωρεῖ τῇ χρείᾳ τοῦ ψεύδεσθαι. ἀνάλογον γάρ ἐστι φῶς πρὸς ἀλή
θειαν καὶ ὄμμα πρὸς λήμην. ὥσπερ ὀφθαλμὸς εἰς κακὸν ἂν ἀπολαύσει
εν ἀπλήστου φωτός. καὶ τοῖς ὀφθαλμιῶσι τὸ σκότος ὠφελιμώτε
ρον, ταύτῃ τοι καὶ τὸ ψεῦδος ὄφελος εἶναι τίθεμαι δήμῳ καὶ βλαβερὸν τὴν
ἀλήθειαν τοῖς οὐκ ἰσχύουσιν ἐνατενίσαι πρὸς τὴν τῶν ὄντων ἐνάργει
αν. εἰ ταῦτα καὶ οἱ τῆς καθ' ἡμᾶς ἱερωσύνης συγχωροῦσιν ἐμοὶ νόμοι,
δυναίμην ἂν ἱερᾶσθαι. τὰ μὲν οἴκοι φιλοσοφῶν. τὰ δ' ἔξω φιλόμυ
θος εἶμι, διδάσκων. αὐτὸ δὲ μή τι μεταδιδάσκων. μένειν δὲ ἐῶν ἐπὶ
τῆς προλήψεως. εἰ δὲ φασιν οὕτω δεῖν καὶ κινεῖσθαι, καὶ δῆμον εἶναι τὸν
ἱερέα ταῖς δόξαις, οὐκ ἂν φθάνοιμι φανερὸν ἐμαυτὸν ἅπασι κα
θιστάς. δήμῳ γὰρ δὴ καὶ φιλοσοφίᾳ, τί πρὸς ἄλληλα. τὴν μὲν ἀλή
θειαν τῶν θείων, ἀπόρρητον εἶναι δεῖ. τὸ δὲ πλῆθος, ἑτέρας ἕξεως δεῖ
ται. αὖθις δὲ καὶ πολλάκις ἐρῶ μηδεμιᾶς ἀνάγκης παρούσης. οὔ
τ' ἐλέγχειν σοφὸν, οὔτ' ἐλέγχεσθαι. καλούμενος δὲ εἰς ἱερωσύνην, οὐκ ἀ-
ξιῶ προσποιεῖσθαι δόγματα. ταῦτα θεόν. ταῦτα ἀνθρώπους μαρτύρο-
μαι. οἰκεῖον ἀλήθεια θεοῦ, ᾧ διὰ πάντων ἀναίτιος εἶναι βούλομαι
ἐν τοῦτο μόνον οὐχ ὑποκρίνομαι. ἐπειδὴ φιλοπαίγμων ὤν, ὅς γε παιδό
θεν αἰτίαν ἔχον ὁπλομανεῖν τε καὶ ἱππομανεῖν πέρα τοῦ δέοντος, ἀ
νιάσομαι μέν, τί γὰρ καὶ πάθω τὰς φιλτάτας κύνας ἀθήρους ὁρῶν
καὶ τὰ τόξα θριπηδέστατα. καρτερήσω δὲ ἂν ἐπιτάττῃ ὁ θεός. καὶ μι-
σόφροντις ὤν, ὀδυνήσομαι μέν, ἀνέξομαι δὲ δικιδίων τε πραγμάτων

λειτουργίας τινὰ τοιαύτην ἐκ βαρβάρων εἰς τὴν Πεντάπολιν τῷ θεῷ. δόγματα δὲ οὐκ ἐπηλυγάσομαι. οὐδὲ στασιάσει μοι πρὸς τὴν γλῶτταν ἡ γνώμη. οὕτω φρονῶν, οὕτω λέγων, ἀρέσκειν οἶμαι θεῷ. οὐ βούλομαι δὲ καταλελεῖφθαί τινα περὶ ἐμοῦ λόγον, ὡς ἀγνοηθεὶς ἥρπασα τὴν χειροτονίαν· ἀλλ' ὡς εἰδὼς ὁ θεοφιλέστατος πατὴρ Θεόφιλος καὶ ὡς ἐπιστάμενος, σαφές μοι ποιησάτω· οὕτω βουλευσάσθω περὶ ἐμοῦ. ἢ γὰρ ἐν τῇ χώρᾳ ἐάσει μένειν ἐπ' ἐμαυτοῦ φιλοσοφοῦντα, ἢ τὸ μετὰ ταῦτα κρίνειν καὶ διαγράφειν ἡμᾶς τοῦ χοροῦ τῶν ἱερέων, ἑαυτῷ χώραν οὐχ ὑπολείψει. πρὸς ταῦτα λῆρος ὅλη ἅπασα γνώμη. τὸ γὰρ ἀληθὲς, οἶδ' ὅτι τῷ θεῷ προσφιλέστατον, κατὰ τὴν ἱεράν σου κεφαλήν. καὶ ἔτι πρὸ ταύτης νὴ τὸν ἔφορον ἀληθείας θεόν, ἄχθομαι μὲν, πῶς γὰρ οὔ; μέλλων δείξειν ὡς πρὸς εἰς βίον ἀντὶ βίου μετάστασιν, ἄξεσθαι. εἰ δὲ τοῦτο φανερὸν γενόμενον, ἀπὸ τῆς ἀξίας λαθάνειν, ἔγνω εἶναι σὺ ἡμᾶς ἱερεῦσιν, ὧ τοῦτο δέδωκεν ὁ θεὸς, ὑποδύσομαι τὴν ἀνάγκην. καὶ ὡς θεῖον σύνθημα καταδέξομαι. λογίζομαι γὰρ ὅτι καὶ βασιλέως ἂν ἐπιτάξαντος, ἢ κακοδαίμονος τινὸς αὐγουστάλιος, δίκην ἂν ἔδωκα μὴ πειθόμενος. τῷ θεῷ δὲ ἐθελοντὴν δεῖ πείθεσθαι. εἰ δὲ μὴ προσίεταί με λειτουργὸν ὁ θεός, καὶ ἐκ προοιμίων δεῖ τὸ θεότατον ἀγαπῶν τὴν ἀλήθειαν, ἅμα μὴ διὰ τῶν ἐναντιωτάτων, ὁ ποιοῦν οὐδὲ τὸ ψεῦδος εἰς τὴν ὑπηρεσίαν αὐτοῦ παραδύεσθαι. γνῶσι δὴ τοὺς σχολαστικοὺς εἰδέναι ταῦτα, καὶ πρὸς ἐκεῖνον ἐξαγγεῖλαι.

Τῷ αὐτῷ.

Ῥώμην τὸ μειράκιον ὑπὲρ τοῦ Σιλφίου τὸ πρότερον ἀπὸ γεωργίου συγγόνου, ἢ δῶρον λαβὼν, ἔστι μὲν εἴδει καλόν. καὶ δῆτα μαθὼν ὡς τὸ σπουδαζόμενον ὑπὸ σοῦ κηπίον, πρὸς ἅπασι καὶ τοῦτον ἐκόμισε τὸν καρπὸν, ἥδιστον δὲ πολὺ τῶν, τὸ κάλλιστον τοῦ λαχάνου. καὶ τῇ φήμῃ τοῦ τόπου. ὄνειον τοῦ πομφόρου χωρίου. καὶ μήτε σὺ καύμοις ἐπιπλαπλέω τοῖς φιλτάτοις πρασιαῖς, μήτε ἐκεῖναι εἶτε πρὸς τὰς ὠφελεί-

λῖνας ἀπαγορεύσειαν, ἵν' ἔχοις αὐτὸς τε χρῆσθαι, καὶ ἡμῖν διαπέμπειν ὅσα φέρουσιν ὧραι.

Τῷ αὐτῷ.

ἑ δὺς εἰκῶ λύειν ἡμᾶς, ὅπλα κατασκευάζεσθαι, τῶν πολεμίων μὲν ἐπεχόντων καὶ λείαν ἅπαντα ποιουμένων, καὶ ἀποσφαττόντων ὁσημέραι δήμους ἀθρόους, στρατιωτῶν δὲ οὐκ ὄντων, ὥστε καὶ φαίνεσθαι. εἶτα λέξεις ὡς οὐκ ἐξὸν ἰδιώταις ἀνθρώποις ὁπλοφορεῖν, ἀποθνήσκειν δὲ ἐξὸν, ἐπεὶ καὶ ἡ πολιτεία χαλεπαίνει τῷ περιγενομένῳ σώζεσθαι; ἀλλ' εἰ μηδὲν ἄλλο κερδανῶ, τὸ γοῦν τοὺς νόμους γνώσεσθαι κυρίους ἀντὶ τούτων τῶν ἀλαστόρων. καὶ πόσου δοκεῖς τοῦτο τιμῶμαι, πάλιν εἰρήνην ἰδεῖν. καὶ βῆμα κηρυσσόμενον. καὶ κήρυκα σιγὴν ἐπιτάττοντα. αὐτίκα τεθναίην, τὸ πρῶτον σχῆμα τῆς πατρίδος ἀπολαβούσης.

Τῷ αὐτῷ.

ἑ Μοὶ λόγχαι μὲν ἤδη γεγόνασι τριακόσιαι. καὶ κοπίδες τοσαῦται. ξίφη δὲ ἀμφήκη τὰ πρότερον ἦν, οὐ πλείω τῶν δέκα. πορῶμεν δὲ οὐ χαλκεύεται τὰ πάνυ προμήκη ταῦτα σιδήρια. ἀλλ' οἰόμεθα τὰς κοπίδας ἐρρωμενέστερον ἐμβάλλειν τοῖς τῶν ἀντιτεταγμένων σώμασι. τούτοις οὖν χρησόμεθα. εἰ χρηστέον ἢ, καὶ κορύνας ἕξομεν. ἀγαθοὶ δὲ οἱ κότινοι παρ' ὅμιν. ἐνίοις δὲ ἡμῶν εἰσὶ καὶ πελέκεις ἐπιπρόσθιοι παρὰ τὴν ζώνην ἑκάστῳ. οἷς τὰς ἀσπίδας αὐτῶν ἀλοήσοντες, ἐν ἴσῳ στησόμεθα αὐτοὺς οἱ μηδὲν ἔχοντες ὅπλων πρόβλημα. ὁ δ' ἀγὼν, ὡς εἰκάσαι, τῆς ὑστεραίας. τοῖς γὰρ σκοποῖς ἡμῶν προσέτυχόντες ἔνιοι τῶν πολεμίων, καὶ διώξαντες ἀνὰ κράτος, ὡς ἔγνωσαν κρείττους ὄντας ἢ ἁλῶναι, ἐπελθοῦσαν ἀγγέλλειν ἡμῖν ἀπαγγεῖλαι, εἰ μή τι δεήσει πλανᾶσθαι ζητοῦντας ἀνθρώπους ἐνδυομένους ἠπείρου

πολιτη. μένειν γὰρ ἔφασαν, καὶ ἐθέλειν μαθεῖν οἵτινες ὄντες, ἡμε-
ρῶν τοσούτων ὁδὸν ἀπεχούσης τῆς χώρας ἐτολμήσαμεν, ἐφ' ᾧ συμ-
μίξαι πολεμιστοῖς ἀνδράσι, βίον ζῶσι νομαδικὸν καὶ τὰ εἰς πολι-
τείαν οὕτω κατεστησαμένοις, ὥσπερ ἡμεῖς τὰ ἐπὶ τῆς στρατείας.
εἰς οὖν αὔριον σὺν θεῷ τοὺς πολεμίους νικήσων, ἂν μέντοι δὲ καὶ πά-
λιν νικήσων, μηδὲν γὰρ ἀπαίσιον φθεγξαίμην, ἐπιστήσεται ὥστε τῶν
παιδίων ἐπιμεληθῆναι. προστίθει δὲ ἀντὶ θείῳ, ὡς αὐτοὶ ἀπομνη-
μονεύσαι τὴν χάριν.

Τῷ αὐτῷ.

Υἱὼ ὄνος. οὐχ ἡμίονος. οὐχ ἵππος ἐστὶ μόνα πάντων ἀνῃ-
ὁ μένων εἰς πόαν, οἷς χρησάμενος ἂν, ἦλθον εἰς σὲ τὴν φιλ-
πότην μοι κεφαλήν. βαδίζειν δὲ πάνυ μὲν ἐβουλό-
μην. καὶ τυχὸν ἐδυνάμην. οὐ μὴν ἔφασαν οἱ προσήκοντες δεῖν,
ἵνα μὴ διατριβὴ τοῖς ἀπαντῶσι γενοίμεθα. τούτους γὰρ οἵ τινες
ἂν ὦσιν οὕτω πάνυ σοφοὺς ἥγηνται, καὶ τοσοῦτον νοῦν ἔχειν, ὡς ἕκα-
στον αὐτῶν ἄμεινον ἐμοῦ σκέψασθαι περὶ τῶν πρεπόντων ἐμοί. το-
σούτων ἡμᾶς ἐξαρτῶσι κρειττῶν, οἱ πρὸς δόξαν τὴν ἔξω ζῆν ἀναγ-
κάζοντες. περιεγένοντο δὲ οὐ νουθετοῦντες. ἀλλὰ τὸν βιαιότερον τρό-
πον, ἐπειδὴ πρότερον οὐκ ἐπιτρέποντες. ἀλλ' ἀντιλαμβανόμενοι
τοῦ τριβωνίου. τί οὖν ὑπόλοιπον, ἢ τὴν ἐπιστολὴν ἀντ' ἐμοῦ στέλ-
λειν πρὸς σέ. δι' ἧς ἀσπάζομαί τε σέ. καὶ πυνθάνομαι τίνα τὰ ἀπὸ
τῆς Πολεμαΐδος ἀγώνισμα, λόγους καινοὺς οὓς εἰκὸς σε κομίζειν ἀπὸ
τοῦ στρατηγίου. καὶ μάλιστα τί τὸ θρυλλούμενον ἀπόρρητον ἀπὸ
τῆς ἑσπέρας. οἶσθα γὰρ ὅτι πάνυ μοι διαφέρει γινόμενον οὕτω ἢ μὴ
γινόμενον. εἰ μὲν οὖν εἶκασε σαφῶς ἔχουσαν ἐπιστολήν, ἐκπέμψεις,
ἔξω κατὰ χώραν. εἰ δὲ μή, καὶ σὺ μέμψῃ περὶ τοῦ δρόμου.

τῷ

Τῷ αὐτῷ.

Εἰ Λᾶσος ὁ περινθοβοσκὸς, ὃν οὐκ εἰκὸς ὑπὸ πολλῶν ἀγνοεῖσθαι
χ διὰ τὴν ἐκ τῆς τέχνης λαμπρότητα, καὶ γὰρ ἡ μῖμος
ἀνδρομάχη, διὰ τούτου γέγονε φάλαγγος, ἢ τὸ κάλλι-
στον τῶν γυναικῶν ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἀνθήσασα, οὕτως ἐνεά-
σας, τοῖς οὕτω καλοῖς ἐπιτηδεύμασι, πρέπον ἂν εἴη τοῖς προβε-
βιωμένοις αὐτῷ γηρῶν, στρατιωτικαῖς ἐκλαμπρύνεσθαι τάξεσιν.
ἔπαρχος οὖν ἥκει παρὰ βασιλέως στρατηγεῖν εὑράμενος τῶν γυναικο-
τούτων μὲν προκοπομένων. οὓς εἰκὸς ἡμῖν ἐστι καὶ πρότερον ἀγαθοὺς στρα-
τιώτας ὄντας, νῦν ἐπιτυχόντας καὶ πρέποντος στρατηγοῦ, μέγα τι
καὶ γενναῖον ἔργον ἐπιδείξασθαι. ἔλεγε γοῦν Συελανῷ συγγενόμενος,
ὅτε πρὶν ἐκστρατεύων τὸν ἰαβόν. ὁ δὲ Συελανὸς ἀπήγγελλε πρὸς ἡμᾶς ἐν οἷς
ἀπολείπει τὸ θεῖον στρατόπεδον. τὰ μὲν οὖν ἄλλα τί ἂν δέησοι πρὸς
σὲ γράφειν, ὧν ἐγὼ περιέργως ἠρασάμην. ἐφοῖς, ἢ αὐτὸς ἀκούσας
ἤδη ὑπερφυῶς, εἴτε δι' αὐτῶν εὐφραίνει βουλόμενος, τὰ δὲ ἐστιν.
ὁ θαυμαστὸς Ἰωάννης, μικρὸν εἰπεῖν, ἐν τοῖς αὐτοῖς ἐστιν, ἐπιδούσης
τῆς τύχης ἐν τοῖς ἐκείνου πράγμασιν, ὅσον ἐπιδόσεως χωρεῖ, καί τινα
καθ' αὑτὴν ὑπερβολὴν ἐξευρούσης. αὐτὸς γὰρ αἰτεῖται τὰ βασι-
λέως ὦτα. καὶ πρὸ τούτων ἡ γνώμη χρῆσθαι πρᾶος, τίθεται. καὶ ὁ
σὸς Ἀντίοχος δυνάσθω, δυνάσθω τοίνυν. δύναται δὲ Ἀντίοχος ὅσα βούλεται.
Ἀντίοχον ἡγοῦμαι μὲν τὸν ἐγκρατείᾳ τὸν ἱερὸν ἀνθρώπων· τὸ βέλτιστον μὲν
τοὺς τρόπους, εἰ δὲ χρὴ ἔσεσθαι δὲ τὴν ὄψιν. ἀλλ' ἕτερός γε ὁ νεανίσκος
ὁ πρόκοιλος. Ὃν πρὸ τῆς περὶ πέρσην παραδυναστεύσας τε καὶ ἐπιδυναστεύ-
σας· τοῦτον δὲ ἐκείνου μέχρι νῦν ἡ τύχη μέγαν ποιεῖ. τούτων οὕτως
ἐχόντων, εἰκὸς ἐστι κορωνὶς ἐνιαυτοῖς ἄρξαι παρ' ἡμῖν τὸν δικαιό-
τατα ἄρχοντα. τὰ μὲν, ὄντα συγγενῆ· τὰ δέ, οἰκεῖον γενόμενον.

# Τοῦ αὐτοῦ.

π Υνθήκην περὶ Διοσκορείου πόσιος ἀπαιτεῖ ἐλλὰς στίχους ἑκάστης ἡμέρας, πεντήκοντα. τούτους ἀποδίδωσιν, οὐ προσποιούμενος οὐδ᾽ ἀπολογῶν. ἐπεὶ ἐφιστάμενος ἐφ᾽ ὧν τὴν ἀνάμνησιν ἀθροίσαι συνοχέως· ἀλλ᾽ ἐπειδὰν ἄρξηται λέγειν, κατατείνει συνεχῶς. καὶ ἥσυχα τὸ τέλος ἐστὶ τῆς ἀπαγγελίας.

## Τρωίλῳ.

ὄ Υτε ἐπὶ τοῖς αὐτοῖς ἄνθρωποι φιλοῦσι καὶ ἐπαινοῦσιν, οὔτε μία δύναμις τῆς ψυχῆς ἐπ᾽ ἄμφω τέτακται ταῦτα. ἀλλὰ τῷ παθητικῷ μὲν οἰκειούμεθα καὶ ἀλλοτριούμεθα. τῷ δὲ κρείττονι δυνάμει καὶ λόγον ἔχοντι τῆς ψυχῆς, ἐπαινοῦμέν τε καὶ μεμφόμεθα.

## Τῷ ἀδελφῷ.

ε̑ Ιτα τοὺς μὲν κακοδαίμονας τούτους ὁρῶμεν ἀποθνήσκειν ἐθέλοντας ὑπὲρ τῶν ἀλλοτρίων, ἅττα ἂν λείαν περιποιήσωνται, τὸ μηκέτι προέσθαι τοῖς κυρίοις αὐτά, ἡμεῖς δὲ ὑπὲρ χώρας. ὑπὲρ ἱερῶν. ὑπὲρ νόμων. ὑπὲρ κτημάτων, οἷς ἡμᾶς ὁ χρόνος συνηθεστέρους ἐποίησεν, οὐκ ἀφειδοῦμεν αὐτῶν. ἀλλὰ περιεχόμεθα τῆς ψυχῆς, οὐκ ἄρα δόξομεν ἄνδρες εἶναι. ἐμοὶ μὲν οὖν ἰτητέον ἐστὶν ἐπ᾽ αὐτοὺς ὡς ἔχω, καὶ πεῖραν ληπτέον τῶν πάντα τούτων τολμώντων, οἵτινες ὄντες ἀξιοῦσι ῥωμαίων καταγελᾶν, ἐχόντων ὁ πῶς ποτε ἔχουσιν. ἀλλ᾽ ἡ κάμηλος γάρ τοί φασι καὶ ψωριῶσα πολλῶν ὄνων ἀνατίθεται φορτία. ἀλλὰ μὴν καὶ ἀποθνήσκοντας, ὡς ἐπίπαν ἐν τοῖς τοιούτοις ὁρῶ, τοὺς περιποιησομένους τὸ ζῆν καὶ ζῶντας ὅσοι τὸ ζῆν ἀπεγνώκασιν. τούτων ἔσομαι. μαχέσομαι γὰρ ὡς ἀποθανούμενος. καὶ εὖ οἶδ᾽ ὅτι περιέσομαι. Λάκων γὰρ ἄνωθεν εἰμὶ καὶ οἶδα τὴν πρὸς Λεωνίδαν ἐπιστολὴν τῶν τελῶν. μαχέσθων ὡς τεθνηξόμενοι, καὶ οὐ τεθνάξονται.

Τοῦ αὐτοῦ.

ι Ἴστε θαυμάζετε τοὺς αὐχμώδεις φυκοῦντας οἰκῶν, εἰ ξέ-
νοις καὶ τὸ σῶμα ἐξεπονηρεύσασθε, τοὐναντίον μέντοι θαυ-
μάζειν ἐχρῆν, ὅσοι τὸ σῶμα κρεῖττον ἦν τῆς αὐτόθι φλογός. ἀλλ' ἔ-
στι σοι παρ' ἡμᾶς ἐλθόντι σὺν τοῖς θεοῖς, ῥᾳδίως γνῶναι. ἀπολαύειν
τὸ μὲν ἀέρος, διεφθορότος ἐκ τῆς ἑλώδους ἀτμίδος, ἀπολαύειν
τὸ δὲ ὕδατος ἁλυκοῦ καὶ χλιαροῦ καὶ τὸ ὅλον ἑστῶτος. ὅπου γε εἰ-
πεῖν καὶ νεκροῦ. τί δὲ καὶ καλὸν ἐπὶ τὴν ψάμμον τὴν αἰγιαλῖ-
τιν ἀναπεσεῖν, ἣν μόνην ἔχετε διατριβήν. ποῦ γὰρ δὴ καὶ βαδίσε-
σθε. ἐνθαδὶ δέ, οἷον μὲν ἔστιν ὑπελθεῖν δένδρον σκιάν, καὶ δυσαρεστή-
σης, ἔστιν ἀμεῖψαι δένδρον ἐκ δένδρου. καὶ ὅλον ἄλσος ἐξ ἄλσους.
οἷον δὲ τὸ διαβῆναι παραρρέον ὑδάτιον· ὡς ἡδὺ δὲ ὁ ζέφυρος ὑπο-
κινῶν ἠρέμα τοὺς κλάδους. ποικίλαι δὲ αἱ ὀρνίθων ᾠδαί. αἱ ἀν-
θέων χροιαί. ἢ λειμῶνος θάμνοι τὰ μέν, γεωργίας ἔργα. τὰ δέ, φύ-
σεως δῶρα. πάντα εὐώδη. τῆς ὑγιαινούσης χυμοί. τὸ δὲ τῶν νυμ-
φῶν ἄντρον, οὐκ ἐπαινέσομαι. Θεοκρίτου γὰρ δεῖ. ἔστι δέ τι καὶ πα-
ρὰ ταῦτα.

Θεοδώρῳ ἰατρῷ.

α Ἀγαθὸν ἀναγκαῖον ἡ ὀλιγοσιτία. ἣν ἕτερος μὲν αὐτῆς ἔσκω-
ψε. σοὶ δὲ οὐ θέμις ἐπισκῶψαι τὴν αὐχοῦντι. ὃς ἀφορίζων τὴν ἔν-
δειαν, ἔφη ὑγείας εἶναι μητέρα.

Αὐξεντίῳ.

ε Ἴστορος ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης, Ὅμηρος ἀπ-
οπομπεῖται τὰ ἐκ φιλονεικίας κακά. Φιλοσοφία
δέ, οὐδὲ τὴν ἀρχὴν αὐτοῖς δίδωσι πάροδον εἰς ψυχήν. ἀλλ' ἡμεῖς
ἀσθενέστεροι μέν, ἢ ὥστε φιλοσοφεῖν. τό γε ἐμὸν μέρος. οὐ μὴν ἀξιοῦ-
μεν παντάπασι φαυλότερον ἔχειν ἀνθρώπων στρατιωτῶν. ἐφ' οἷς ἡ
ποίησις ᾄδει. πάλιν οὖν Ὁμήρῳ χρηστέον. ὅς που φησὶν Ἀρχ. οὐ γὰρ

γένει ἢ φιλονεώτερος· μάλιστα μὲν μὴ γένοιτο μηδ'. εἰ δὲ γένοιτο, ὁ νεώ-
τερος αὐτῆς ἀρχέτω. τοιοῦτον γάρ τι νοεῖται τῷ Ποσειδῶνι τὸ πα-
ραχωρεῖν τοῦ προκατάρξασθαι τὸν νεώτερον θεόν. τὸν δὲ πρεσβύ-
τερον, ἡγεμόνα διὰ τῶν καλλίστων εἶναι. κάλλιστον ἡ ὁμόνοια. ἐγὼ δ'
ὡς οὐ σοῦ πρεσβύτερος μόνον, ἀλλὰ καὶ ἤδη πρεσβύτης, χρῶ δῆ-
λον ὁ Φερεκύδης φησίν· οὐκοῦν τὰ τῆς ἀπολογίας εἰς ἐμὲ περιίστα-
ται. εἰ δὲ καὶ τὸν πρότερον ἁμαρτάνοντα διὰ πρότερον ἐν δυνάμει,
σὺ δὲ με βούλει τοῦτον εἶναι, συγχωρῶ σὺν χάριν καὶ τοῦτο. διὰ γὰρ
αὐτό ποιηθέντα σοῦ πρότερον, εὐθὺς ἐθελήσαντί σοι χαρίσασθαι.

Ἡλιοδώρῳ.

ια Φήμη λέγει δυνάσθαι σε πολλὰ παρὰ τῷ νῦν ἔχοντι τὴν
Αἰγυπτίων ἀρχήν· καὶ ἀληθῆ λέγει. δικαιότατος γὰρ ὢν, καὶ κα-
λῶς τῷ δύνασθαι χρώμενος. ὅπως οὖν ὄναιο τῆς φύσεως καὶ δυνά-
μεως, ὑπὲρ ὧν ὁ ἐμὸς εὐσεβέστατος δεῖται, λέγοντος ἄκουσον ἵνα εἰδῇς
ὅτι καὶ ῥήτορα συνεστησάμην.

Τρωΐλῳ.

ιβ Ἰ τὸν ἥρωα Μαξιμῖνον οἶσθα, δὲ ἔτριψε τὸν χρόνον ὑπὸ συν-
χον ἐπὶ στρατοπέδου, πάντως καὶ ὅτι χρηστὸς ἦν, οἶσθα. τού-
του παῖς, ἐμὸς ἀνεψιός, ὃς ἐπιδώσει σοι τὴν ἐπιστολήν. ὃν ἕτε-
ρος μέν τις ἴσως καὶ διὰ τὴν τύχην τιμήσει. τῶν γὰρ ἀρξάντων οὐδὲν
οὐκ ἀφιλότιμον ἀρχήν. ὁ δὲ φιλόσοφος Τρωΐλος ταῦτα δὴ ὄψεται
τοῦ νεανίου. κἀκεῖθεν αὐτὸν ἐπαινέσει. δῆλον δὲ ὅτι καὶ συνδιοίσεις
τὰ παρόντα αὐτῷ. ἀφῄρηται γὰρ ὑπὸ τοῦ διὰ τῶν καλῶς ἐπι-
φύντων τῇ Κυρήνῃ, εἰ μὴ σὺ γνώσει ἀληθῶς. ὅτι γὰρ αὐθέμιον ἤ τι-
να τῶν ὁμοτίμων αὐτῷ πείσεις ὑπὲρ ὑμῶν τε καὶ τὰ ληθοῦς φθέγ-
ξασθαι, τοῦτο σὺν ἔσται πάντως. καὶ σὺ αἰτίαν ἕξεις τοῦ γινομένου.
δεινὸς οὖν ἀνδρὸς τι καὶ πράγματος, δέομαι προθυμηθῆ-

πι τῶν

τι τῶν παμπονήρων τούτων ἡμᾶς ἀπαλλάξαι θηρίων. τὸ γὰρ οὕτω χρηθῆναι τὴν πεῖραν τοῖς φθάσασι, πολλοὺς ὁμοίους αὐτοῖς γενέσθαι προτρέπεται.

Τρύφωνι.

ε Ις Διογένην ὅτι ἂν ποιήσῃς, ὧν σοι φύσις ἐστὶν ἐργάζεσθαι, οὐδὲν καινὸν ἔσῃ πεποιηκώς. ἀλλ᾽ ἐπικοσμῶν τοῖς σωτῆ-κυρηναίοις χαρίζῃ τῆς δι᾽ ὑμᾶς ἔτι πόλεως. δεῖ δὲ οὐ μόνον ἀθρόους ἀλλὰ καὶ καθ᾽ ἕνα εὐεργετεῖν. τίνα δέ ἐστιν ὧν οἷς φίλων δεήσεται Διογένης, οὐκ ἐμοῦ γράφοντος ἀναγνώσεσθε, ἀλλ᾽ αὐτοῦ λέγοντος ἀκούσεσθε. οὐδὲν γὰρ ἂν γένοιτο τοῦ παθόντος ἐπιεικώτερον. Μαρκιανὸν τὸν φιλόσοφον τὸν ἄρξαντα Παφλαγόνων, πρόσειπε παρ᾽ ἐμοῦ. κἄν τι δύναται, στοχάζομαι δὲ ὅτι δύναται, κωλυσάτω συγγενῆ μου σφόδρα αὐτανέψιον, ἔργον γενέσθαι συκοφαντῶν ἐν Δ[illegible]τῶν, καὶ τῶν ἀλαστόρων τῆς χώρας, ὃν σοι μετὰ τῆς ἐπιστολῆς, ἣν ἐγχειρίζω. οἱ δὲ ὄντες ἀδελφοὶ δύο, τρεῖς ἀριθμούμεθα.

Τῷ ἀδελφῷ.

ο Ι ἀσκληπιάδαι τοῖς δυσεμέτοις, ὕδατος χλιαροῦ διδόασιν ἀπορροφεῖν. ἵνα τούτῳ συνεπισπάσωνται, καὶ τὸ προσαποκείμενον. βούλομαι δή σοι κἀγὼ φήμας καινὰς ἔναγχος ἐκ τῆς ἠπείρου διακομισθείσας ἀπαγγεῖλαι, ἵνα μοι πολλαπλασίου αὐτὰς ἀποδῷς, προσθεὶς ἔτι πλέον εἰδὼς τυγχάνεις.

Ἀθανασίῳ τῷ ὑδρομύστῃ.

ο Δυσσεὺς ἔπειθε τὸν Πολύφημον διαφεῖναι αὐτὸν ἐκ τοῦ σπηλαίου. γόης γάρ εἰμι, ἐς καιρὸν ἄν σοι παρείην, οὐκ εὐτυχοῦντι τὰ εἰς τὸν θαλάττιον ἔρωτα. ἀλλ᾽ ἐγώ τοι καὶ ἐπῳδὰς οἶδα, καὶ καταδέσμους

καὶ ἐρωτικὰς καταναγκας, αἷς οὐκ εἰκὸς ἀντισχεῖν οὐδὲ πρὸς βραχὺ τὴν γαλάτειαν. μόνον ὑπόστηθι σὺ τὴν θύραν ἀνακινῆσαι. μᾶλλον δὲ τὸν θυρεὸν τοῦτον. ἐμοὶ μὲν γὰρ καὶ ἀκρωτήριον εἶναι φαίνεται. ἐγὼ δ' ἐπανήξω σοι θᾶττον ἢ λόγος τὴν παῖδα κατεργασάμενος. τί λέγω κατεργασάμενος. αὐτὴν ἐκείνην ἀποφανῶ σοι δεῦρο πολλάκις ἥξειν γινομένην ἀσώματον. καὶ δεήσεταί σου καὶ ἀντιβολήσει. σὺ δὲ ἀκκιεῖ τε καὶ κατειρωνεύσῃ. ἄχρι μεταξὺ μέν τι καὶ τοιοῦτον ἔθραξε, μὴ τῶν καθ' ὃν ὁ χρυσοῦς ἀνὴρ γένηται κόρη ξυφώσῃ. καὶ λουομένη τῆς ἡμέρας πολλάκις. καλὸν οὖν εἰ πάντα εὐθετήσεις, ἐκκορήσειάς τε καὶ ἐκπλυνεῖς καὶ ἐνθυμιάσειας τὸ δωμάτιον. ἔτι δὲ κάλλιον εἰ καὶ στεφάνους παρασκευάσαιο, ἐκ τοῦ τε καὶ σμίλακος. οἷς σαυτόν τε καὶ τὰ παιδικὰ ἀναδήσαιο. ἀλλὰ τί διατρίβεις. καὶ οὐκ ἐγχειρεῖς ἤδη τῇ θύρᾳ. πρὸς οὖν ταῦτα ὁ Πολύφημος ἐξεκάγχασέ τε ὅσον ἠδύνατο μέγιστον, καὶ τὼ χεῖρε ἐκρότησε. καὶ ὁ μὲν Ὀδυσσεὺς, ᾤετο αὐτὸν ὑπὸ χαρμονῆς οὐκ ἔχειν ὅτι ἑαυτῷ χρήσαιτο, κατελπίσαντα τῶν παιδικῶν πειράσεσθαι. ὁ δὲ, ὑπογελάσας αὐτὸν, ὦ οὗτις ἔφη. δριμύτατον μὲν ἄνθρωπον ἔοικας εἶναι. καὶ ἐγκαταντετριμμένον ἐν πράγμασιν. ἄλλο μέντοι ποίκιλλε. ἐνθένδε γὰρ οὐκ ἀποδράσεις. ὁ μὲν οὖν Ὀδυσσεὺς, ἠδίκητο γὰρ ὄντως, ἔμελλεν ἄρα τῆς κενουργίας ὀνήσεσθαι. σὲ δὲ κύκλωπα μὲν ὄντα τῇ τόλμῃ, σίσυφον δὲ τοῖς ἐγχειρήμασι, δίκη μετῆλθε. καὶ νόμος καθεῖρξεν, ὃν μή ποτε σὺ καταγελάσειας. εἰ δὲ δεῖ πάντως ὑπερέχειν σε τῶν νόμων, ἀλλὰ μὴ ἔγωγε εἴην ὁ παραλύων αὐτούς, καὶ τὰς θύρας καταρρήξειας τοῦ ἐπὶ τοῖς δεσμώταις οἰκήματος. καὶ γὰρ εἰ μὲν ἦν ἐπὶ τοῖς ἱερεῦσιν ἡ πολιτεία, τούτους αὐτοὺς ἔδει τῆς ἀσεβείας κολαστὰς εἶναι. ὅς ἐστι γε τὸ δημόσιον ξί-

φος

φος οὐχ ἧττον, ἢ τὰ ἐν τοῖς προτεμενίσμασι χέρνιβα. πόλεως καθαρτήριον. οὕτω καὶ τῶν πρόσθεν ἐπυνθόμεθα κλέα ἀνδρῶν. οὕτως ἐποίουν ἕως ἔδοξε, καλὸν εἶναι τὸν αὐτὸν εὔχεσθαί τε ὑπὲρ τῶν κοινῶν ἀγαθῶν, καὶ πράττειν ὅπως ἂν παραγίγνοιντο. καὶ γὰρ αἰγύπτιοι καὶ τὸ ἑβραίων γένος, χρόνον συχνὸν ὑπὸ τῶν ἱερέων ἐβασιλεύθησαν. ἐπεὶ δὲ διῳκίσθησαν οἱ βίοι καὶ ὁ μὲν, ἱερός. ὁ δὲ, ὁ ἡγεμονικὸς ἀπεδείχθη, τετάχαται δὲ ἕτεροι μὲν ἐν τοῖς πράγμασιν, ἡμεῖς δὲ ἐν ταῖς εὐχαῖς εἶναι οὓς ὁ νόμος ἀπαγορεύει χεῖρα ὀρέγειν τῇ δίκῃ, ἀποκτιννυμένου τοῦ πονηροτάτου, πῶς αὐτὸς αὐτοῖς ἐπιτρέψω ἐκείνῳ ἀνδρὶ πανούργῳ χεῖρα ὀρέξαι κατὰ τῆς δίκης. ἀλλ' ἐγὼ, τὸ γ' εἰς ἐμὲ ἧκον ποιῶν εὔχομαί τε ὁμοῦ καὶ ὑπὲρ τῶν κοινῶν ἱερῶν, ὑπερέχειν τῆς ἀδικίας τὴν δίκην. καὶ πονηρίας ἐκκαθαρθῆναι τὴν πόλιν. τοῦτο δὲ τυχὸν ἐστὶ τὸ καλὸν κακῶς ἀπολωλέναι τε σὲ, τε ἄλλον ὅστις σοι παραπλήσιος. ἔστω δή σοι τοῦτο τεκμήριον. τίς ἂν ἐγνωσμένην ὁδὸν τι ποιεῖν, ὃς ἐπειδὴ οὐκ ἔξεστι καταρῶμαι.

Τῷ ἀδελφῷ.

Ἀλλὰ ἀγαθοὶ γένοιντο τοῖς ἱερεῦσιν αὐξουμένων, οἱ τῶν στρατιωτῶν καταδεδυκότων ἐν χηραμοῖς ἱερῶν, καὶ ἀξιούντων τὸ αἷμα φρουρεῖν, οἱ δὲ, τὸν ἀγροῖκον λεὼν παρακαλέσαντες ἀπὸ τῶν ἱερῶν αὐτῶν, τὴν εὐθὺ τῶν πολεμίων ἡγήσαντο. καὶ προσευξάμενοι, πρόσω ἔστησαν ἐν τῇ μυρσινίτιδι. φάραγξ δὲ αὕτη προμήκης τε καὶ βαθεῖα. καὶ ὕλῃ συνηρεφής. ἀλλ' ὑπὸ τοι μηδὲν τοῖς βαρβάροις ὅπλοις πολέμιον, ἀπηρτηκέναι, τε τὰς δυσχωρίας ἐθάρρησαν. ἔμελλον δέ που καὶ μελαμπύγου τεύξεσθαι φαύσου τοῦ διακόνου τῶν ἱερῶν. οὗτος ἐστὶν ὁ πρῶτος ὑποστὰς ὁ πολίτην γε μιός. τε παίσας ἐκ χειρὸς λιθοκροτικαίας πληγῇ. οὐ

βαλών. ἀλλ' ὥσπερ τὸ ξένον ὁρῶν, πεσόντα γὰρ ἤδη περιδύσας τὰ ὅπλα, συχνοὺς ἐπ' αὐτῷ κατειργάσατο. καὶ ὅστις δὲ ἕτερος ἀνὴρ ἀγαθὸς, ἔδοξεν ἐν τῷ τότε, φαῦστοι αἰτιατέον τῷ γινομένῳ, πῶς ἐπειδὴ καὶ οἷς παρὰ τὸν καιρὸν ἐφθέγγετο. ἐγὼ δὲ καὶ ἅπαντας τοὺς παραγγελομένους τῶν ἔργων, ἥδιστα ἂν στεφανώσαιμι καὶ ἀνακηρύξαιμι. πρῶτοι γὰρ ἦρξαν τῶν καλῶν ἔργων, δεῖξαι τοῖς καταπεπληγμένοις, ὅτι μὴ κερύβαντές εἰσι. μὴ δὲ τῶν παρὰ τὴν ῥέαν δαιμόνων. ἀλλ' ἄνθρωποι καὶ τρωτοὶ καὶ θνητοὶ καθάπερ ἡμεῖς. εἰ δὲ καὶ ἡμεῖς ἄνδρες γενοίμεθα, ἐν τοῖς τοιούτοις, οὐ δὲ τὰ δευτερεῖα γένοιτο ἂν ἀφιλότιμα. τυχὸν δ' ἂν καὶ πρωτεῖα συγχωρηθείημεν, εἰ μὴ λοχήσαντες ἐν φάραγξι, πεντεκαίδεκα προνομεύοντες ἐντυχήσαιμεν, ἀλλὰ νομίμῳ πολέμῳ καὶ φαινομέναις παρασκευαῖς πλήθει πρὸς πλῆθος ἀγωνισαίμεθα.

Τρωΐλῳ.

ἐ Ἰ δὲ θανόντων περ καταλήθοντ' εἰν ἀΐδαο, Αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ' ἑταίρου. Ὁμήρῳ μὲν ἐποίησαν οἱ στίχοι. ὁ δὲ νοῦς αὐτῶν, οὐκ οἶδα εἰ Ἀχιλλέως περὶ Πατρόκλου μᾶλλον ἄξιον εἰρῆσθαι, ἢ ἐμοὶ περὶ σοῦ τῆς φιλτάτης τε καὶ εὐαγήτιδος κεφαλῆς. ὡς ἐγὼ μάρτυρα ποιοῦμαι θεὸν, ἐν φιλοσοφίᾳ πρεσβύτιδος, τῆς ἱερᾶς σου καὶ γλυκείας ψυχῆς ἐπὶ μέσης καρδίας ἄγαλμα περιφέρω. καὶ ἐμβομβεῖ μου τοῖς ἀκοαῖς ἡ θαυμαστή σου τῶν σοφῶν λόγων ἠχώ. τῇ πατρίδι δὲ ἐπιδημήσασα ἀπὸ τῆς αἰγύπτου, τῷ δυοῖν ἐνιαυτῶν ἐπιστολὰς ἅμα ἀνεγνωκὼς, πλῆθος ὅσον δακρύων κατέσπεισα τῶν γραμμάτων. οὐ γὰρ οἷς ἀπέλαυόν σου διὰ τῶν γεγραμμένων ἥδομαι, ἀλλ' ἠνιώμην ἀναφέρων ἀπὸ τῶν γεγραμμένων τὴν ἔμψυχόν σου συνουσίαν. οἵου φίλου τε ἅμα καὶ πα-

τρὸς

γὰρ ὄντως ζῶντος στεροίμην. δεξαίμην δ' ἂν βαρυτέρους ἀγῶνας ὑπὲρ τῆς πατρίδος ἐθελοντής, ἵνα μοι γένοιτο πάλιν πρόφασις ἀποδημίας. ἆρά σε ποτὲ ὄψομαι πάτερ ἀληθῶς συνησιώτατε; ἆρά ποτε, τὴν ἱεράν σου κεφαλὴν περιπτύξομαι; ἆρα μεθέξω τοῦ συνεδρίου τοῦ διὰ σὲ μακαρίου; εἰ γὰρ γένοιτό μοι τούτων τυχεῖν ἀποδείξω μηκέτι μῦθον ὄντα τὸν ἐπὶ Αἰσώπῳ τεθέντα λόγον, ὅν φασιν οἱ ποιήσεις Δὶς ἀνηβῆσαι νέον ἐκ πρεσβύτου γενόμενον.

## Τῇ φιλοσόφῳ.

ε Ἰ δὲ θανόντων περ καταλήθοντ' εἰν ἀΐδαο, αὐτὰρ ἐγὼ κἀκεῖ τῆς φίλης Ὑπατίας μεμνήσομαι. ἔγωγέ τοι τοῖς πάθεσι τῆς πατρίδος περιέχομαι, καὶ δυσχεραίνω αὐτὴν ἐφ' οἷς ὁρῶ καθημέραν ὅπλα πολέμια, καὶ ἀποσφαττομένους ἀνθρώπους ὥσπερ ἱερεῖα, καὶ τὸν ἀέρα διεφθαρμένον ἕλκων ἀπὸ τῆς σήψεως τῶν σωμάτων καὶ αὐτὸς ἕτερα τοιαῦτα παθεῖν προσδοκῶ. τίς γὰρ εὔελπις, ἐν ᾧ καὶ τὸ περιέχον αὐτὸ κατηφές ἐστιν, κατειλημμένον τῇ σκιᾷ τῶν σαρκοφάγων ὀρνέων. ἀλλὰ καὶ ἐπὶ τούτοις φιλοχωρῶν, τί γὰρ καὶ πάθω λίβυς ὢν, καὶ ἐνταῦθα γενόμενος, καὶ τῶν πατέρων τοὺς τάφους, οὐκ ἀτίμους ὁρῶν, διὰ σέ μοι δοκῶ μόνην ὑπερόψεσθαι τῆς πατρίδος. κἂν λάβωμαι σχολῆς, μετοικιστεύσειν.

## Τῷ ἀδελφῷ.

δ Υστυχοῦμεν οἷς εὐποροῦμεν πονηροῖς ἀγγέλοις ἀγγελίαις ἀμείβεσθαι. ἰδοὺ δὲ καὶ Βαττίας ἐπενείμαντο. καὶ ἀπροσυλέως ἔψαντα. καὶ ἄλλως ἐνέπρησαν. καὶ γῆν ἐδῄωσαντο. καὶ γυναῖκας ἠνδραποδίσαντο. ἀρρένων δὲ οὐδὲ μία φειδώ. καίτοι πρότερον

BIBLIOTECA UNIVERSITARIA SEVILLA

ἐθέλοιεν ζωγρεῖν τὰ παιδάρια. ἀλλὰ νῦν οἶμαι τὸν ἀριθμὸν ἐλάττους ὄντας, ἢ ὥστε νέμεσθαι τὰ τῆς λείας φύλακας συχνούς, καὶ ἀρκεῖν τοῖς ληιζομένοις ὡς ἐπὶ πόλεμον ἔτι τις ἐπέξεισι. ἡμῶν δὲ οὐδεὶς ἀγανακτεῖ. ἀλλ' οἴκοι καθήμεθα, τὴν συνήθη ἐπικουρίαν τοὺς στρατιώτας προσδεχόμενοι. καὶ τὸ σιτηρέσιον καὶ τὰς ἐν εἰρήνῃ πλεονεξίας διὰ στόματος ἔχομεν, ὡς περὶ τούτοις δικάζεσθαι δέον. ἀλλ' οὐκ ἐκείνους ἀμύνεσθαι. οὐ παυσόμεθα φλυαροῦντες, οὐ σωφρονήσομέν ποτε, καὶ γεωργοὺς βωλοκόπους ἀθροίσαντες, ὁμόσε χωρήσομεν τοῖς ἐχθροῖς, ὑπὲρ παίδων. ὑπὲρ γυναικῶν. ὑπὲρ χώρας, εἰ δὲ βούλει καὶ ὑπὲρ αὐτῶν τῶν στρατιωτῶν; καλὸν γὰρ ἐν εἰρήνῃ λαλεῖσθαι ταῦτα, ὡς ἡμεῖς αὐτοὺς τρέφομέν τε καὶ σώζομεν. ἐγὼ μὲν οὖν μόνον οὐκ ἔφιππος ὢν ἤδη, τὴν ἐπιστολὴν ὑπηγόρευσα. καὶ γὰρ λόχους καὶ λοχαγοὺς ἐκ τῶν παρόντων ἐποίησα. ἀθροίζεται δέ μοι καὶ ἐν ἀσυντάκτοις πλῆθος συχνόν. καὶ γὰρ διώστας ἀπαρτιῶ τὴν ἡλιοστρέπτρας ἀπήσφλα. ἐλπίζω δὲ ἐπειδὰν πρὸ ὁδοῦ γινώμεθα, καὶ περιαγγελθῇ νεανικὴ τις σύστασις περὶ ἐμὲ δυνάμεως, πολὺ πλείους ἔσεσθαι τοὺς ἀλλήλοις. ἕξουσι γὰρ ἁπανταχόθεν, οἱ βέλτιστοι μὲν, ἐφ' ὧ μετασχεῖν ἔργου καλοῦ. οἱ πονηρότατοι δὲ, τὸ τῶν διαρπαγῇ λαφύρων.

Ἀσκληπιοδότῳ.

ο Ἴμοι· τί δὲ οἱ μὴ θνητοί; γὰρ πένθει μέν. ὁ τρίτος γε καὶ λοιπὸς οἴχεται τῶν υἱέων. ἀλλὰ τό γε δόγμα τὸ περὶ τοῦ μηδὲν εἶναι τῶν οὐκ ἐφ' ἡμῖν ἀγαθὸν ἢ κακὸν, ἔτι παρ' ἐμοὶ σώζεται. μᾶλλον δὲ πάλαι μὲν ἦν μάθημα. νυνὶ δὲ γέγονε δόγμα ψυχῆς ἐγγεγυμνασμένης τοῖς περιστάσεσιν. ἔοικε δὲ ἄρα χαλεπωτέραν μοι γενέσθαι τοῦ πάθους τὴν προσβολήν. καὶ διὰ τοῦτο ὀδύρομαι ὡς μέλλει βλάπτειν

τὰ μάλα,

πώματα, προσοικονομήσομαι, μὴ δὲ σὲ τὴν φίλην μου παρεῖναι κεφα-
λήν. ἀλλ᾽ ἐλθόντα ποτὲ θαυμάσεις περιπόθητε φίλων ἀδολώτατε.
μάρτυς εἰμὶ τῷ θαυμαστῷ Μενελάῳ περὶ σὲ διαθέσεως· διὰ
τοῦτο πολλάκις ἡδέως συνδιημερεύσας, ὅτι σοῦ εὐφήμου μνήμης
ἐπίθετο. καὶ πολλὰ τῇ ψυχῇ προσεκεκόφως, καὶ τοῖς ἐπιτρόποις,
οὐδὲ ἀπηγριωμένως αὐτὸν οὐδὲ ἰσοχείρων περὶ τὸν μέγαν ἀσκληπιόδο-
τον, εὐνοούμενον ἦν καὶ εὐχαριστῶν, ὡς ἐπὶ μεγίστοις εὐεργέταις διατε-
τέλεκεν. ἵν᾽ ἔχωμεν ὕδωρ ψυχρὸν, ὑδρίαν ἢ πίθον ἐκ μαρμάρου
ζητῶ. ὅσῳ μείζων τοσούτῳ κάλλιον. κείσεται δὲ ἐν ἀσκληπιῷ περὶ τὸ
τέμενος παρ᾽ αὐτοῦ γαργαρίζω τὸ ἀσκητήριον. καὶ ἃ σκεύη προσ-
τρεπίζομαι. σὺν θεῷ δὲ ἔσω ἐπιβαλλόμενος.

Τῷ ἀδελφῷ.

α Σπάδα. Φρύνον. Ὄφιν. καὶ Λαοδικείας περίφασιν. καὶ κύα-
λυσαστήρα καὶ πάλιν λαοδικέας. ἀλλὰ μετὰ τὸν ἡμέτερον
τοῦτο φιλοσοφώτατον Πεντούδιον τοὺς πινακίδας ἃς ἡ πολιτεία
σύνθημα ποιεῖται περὶ αἰγυπτίας ἀρχῆς, εὐθάλιος ὁ λαοδικεὺς ἔ-
χει λαβὼν. εἴασε τὸν νεανίσκον, ὡς ἐκεῖ ζῆν ἔξεστιν ὑπὸ τοὺς αὐτοὺς
ἡμῖν χρόνους ἐπὶ στρατοπέδου διαγαγόντα. καὶ γὰρ οὐκ ἔα λανθά-
νειν αὐτὸν οὔτε ὁ τρόπος, οὔτε τὸ ἐπώνυμον. ἐβάλλοντό τινα ἤλεγες
οὐ προσέθεσαν περὶ σεμνῆς ταύτης προσηγορίας κληρονομήσοντα, ἀλ-
λ᾽ αὐτὸν παρασκευασάμενον, ἐπειδὴ γὰρ οἱ μὲν λυδίας ἄρχων ἀποδει-
χθεὶς, ὑπὸ τοὺς ῥουφίνου καιρούς, ἦγε καὶ ἔφερε τὰ λυδῶν, νε-
μεσᾷ ῥουφῖνος. καὶ μέτεισι ζημίᾳ χρυσοῦ, λιτρῶν πεντηκοσίδε-
κα. τέτταρες δὲ στρατιῶται ἐκ τῶν ὑπηρετῶν ὡς ᾤοντο τοὺς ἀνδραπο-
διστὰς καὶ δυνατούς τινας. ἐφ᾽ ᾧ σὺν βίᾳ πράξαντας τὸ χρυσίον, ἀ-
νακομίσαι πιστῶς, εἰς τὴν γάζαν τὴν αὐτοῦ.πίου πρὸς ταῦτα

ὁ σίσυφος ἀλλὰ μὴ λίαν ἀπειρόκαλος ὢν βεβουλευμένος ἐπιστῆσαι ὑμῖν. πέπεισαι πάντως τὴν συνωνείδη τῶν βαλαντίων. ἃ τῶν ἴσων δυμήλου πολὺ μᾶλλον ἀλλήλοις ἐοικότα κατασκευάσας, τῷ μὲν, ἐνέθηκεν ὀβολοὺς ἐκ χαλκοῦ. τῷ δὲ στατῆρας χρυσίου. καὶ τοῦτο μὲν δείξας, ἐκεῖνο δὲ κρύψας, ὡς ἀπεμιμήσατο, ὡς ἐζυγοστάτησεν, ὡς κατεσημαίνοντο τῇ δημοσίᾳ σφραγῖδι τὸ χρυσίον, λανθάνειν θάτερον ἀντιθεὶς. καὶ πέμψας ἀντὶ τῶν στατήρων τοὺς ὀβολοὺς. οἱ δὲ ὡμολογήκεσαν ἐν δημοσίοις γράμμασιν ἔχειν καὶ διακομίζειν τὸ χρυσίον. κἀκ τούτου Δάφνις παρακειμένοις πρῶτος ἐγένετο. τοῦτο τὸν ἄθλιον ἐπὶ μέγα τύχης ἀνῆρεν. οὐδενὶ γὰρ ἐπέτρεψε νεοτελῶς ὑπὲρ τῆς πολιτείας ἀγανακτῆσαι. ἀλλ' ὡς ἄνδρα παρὰ τοῦ πάντη τε θαυμαστὸν ἰδεῖν ἐπεθύμησαν. καὶ ἧκε μετάπεμπτος ὡς τῆς δυεργίτης ῥωμαίων. ὁ χρήματι δημοσίῳ τιμωρεύων διὰ τῆς πόλεως. κἀγὼ τἀνθρώπιον οἶδα τῶν συνεδρευόντων ἐν τῷ προτεμενίσματι τοῦ βουλευτηρίου καλλίστερον. οὗτος ὅσον οὐδέπω παραλύσει τῆς ἀρχῆς τὸν ἑταῖρον πεντάεδρον.

Πρὸς ἐπίσκοπον ἀξιωθέντα τῆς ἐπισκοπῆς μὴ βουληθέντα συνθέσθαι τῷ ἀρείου δόγματι.

ά Ἔλαβες ὅπερ ᾔτεις. οὐκ ἀπέβαλες. οὐ γὰρ ὅταν τις τοῦ βλασφήμου χωρισθῇ κατὰ λόγον, τότε καὶ τῆς δυσσεβείας ἀπεστέρηται θρόνων. αἰγύπτου δὲ περίπτυσσον τὴν ἀλλοτρίωσιν. καὶ νόμιζε πρὸς σὲ τὸν προφήτην μεγαλοφώνως κεκραγέναι, τί σοι καὶ τῇ γῇ αἰγύπτου, τοῦ πιεῖν ὕδωρ γηῶν. τὸ γὰρ ἔθνος, θεομάχον ἀρχαῖον. καὶ πᾶσιν ἁγίοις πολέμιον. Πυλαιμένει.

π Πλάτωνι Σωκράτης πέπονθε, προσιὼν μὲν ὀψέ ποτε πρὸς τὰ παιδικά. ἀξιῶν δὲ αὐτὸ μὴ θαυμάζειν, εἰ ὥσπερ φησὶ μόλις ἤρξάμην, οὕτω καὶ μόλις παυσαίμην. ἐγὼ δὲ μικρὸν τοῦ τὸ πεπον-

θῆναι, πάθος πρὸς σέ, καὶ τὴν αὐτὴν δίκαιος εἶναι παραιτεῖσθαι
συγγνώμην, ἐνιαυτὸν ὅλον, οὐκ ἄξιον οὐδὲ ἀληθὲς εἰπεῖν, ἐπισχὼν, ἀλ-
λὰ μὴ τὴν στείλας ἐπιστολὰς τὰς πάλιν αὐτὰς εἰς τὰς ἐμὰς χεῖ-
ρας ἀνακομισθῆναι, νῦν ἀθρόας ἐκπέμπω. ἃς οὐ μόνον ὥσπερ φό-
ρου ἐλλείμματα ἀποδιδοὺς μακρηγορῶ, ἀλλὰ καὶ προσενεγκεῖν
σοι βούλομαι. καίτοι νὴ τὸν φίλιον τὸν ἐμόν τε καὶ σὸν, ἐπειδὴ τὸ τέ-
τω κατέβην ἐπὶ θάλατταν καὶ τοῖς Φυκουντίων κώπεσι, διεί-
λεγμαι χρησάμενος ἐπιεικῶ, ἵνα στείλω πρὸς ὑμᾶς τοῦτο μὲν
γράμματα, τοῦτο δὲ, ἄλλο οὐκ ἄξιον ποιεῖσθαι κατάλογον τῶν πεμ-
φθέντων μὲν, ὥστε Πυλαιμένη λαβεῖν. ἐν ἀλεξανδρείᾳ δὲ, ἐκτε-
θέντων διὰ τὸν δυστυχέστατον ἀπόπλουν. καὶ σοῦ μὲν ἕνεκα, καί-
τοι τῶν ἐκ φίλων, ὁ φιλικώτατός μοι Πυλαιμένης ἐστίν. ἀλλὰ νὴ
τὴν τιμίαν σου διάθεσιν, ῥᾷον ἂν ἤνεγκα, ἢ δευτέρους συχνούς,
καὶ μάλιστα τὸν θαυμάσιον Πρόκλον, καὶ Τρύφωνα, περὶ ὧν καὶ
μόνων, ὡς προσαιρουμένων με γέγραφας. ἀπέστειλα οὖν τῇ μὲν
τιμίᾳ σου διαθέσει, χρυσοῦ νομίσματα δέκα. τῷ δὲ ἑταίρῳ Πρό-
κλῳ, κατὰ τὸν θεσπέσιον Ἡσίοδον, τριτημόρια πλείω τῶν πα-
ρ' αὐτοῦ. ἔχει γὰρ οὕτως. ἀποδημῶν ἐδεξάμην εἰς τὸν ἀπόπλουν
δεήσειν παρ' αὐτοῦ, χρυσίνους ἑξήκοντα. τούτοις γεγράφηκα
μὲν ἑβδομήκοντα. ἀπέστειλα δὲ ὀγδοήκοντα. ἐγένοντο δ' ἂν ἔτι
πολλῷ πλείους, εἰ τὰ πρῶτα πρὸς ὑμᾶς ἐκεκόμιστο γράμματα καὶ
ἡ ναῦς ἐπ' ἐκείνοις τοῖς τότε φορτίοις. νῦν δὲ ἐγὼ μὲν, τύχῃ τινὶ χρησά-
μενος, τὴν ἀλεξάνδρειαν ἀποδεδήμηκα. ἐν τοῖς ὑμετέροις λιμέσι προ-
σορμιεῖν ᾤμην τὸ σκάφος. τὸ δὲ ἐλάνθανεν ἐξώστοις ἀνέμοις ἀπὸ Κρή-
της μόλις εἰς τὴν αἰγυπτίαν ἀποσωθὲν θάλατταν. ἢ τί ἐκώλυεν
ἡμᾶς, ὥσπερ τὰς ἀλεκτορίδας, οὕτω τὰς χρονίας ζέφιν στρουθίς.

ἀποδοθῆναι τοῖς ἐμοῖς τὸ γραμματεῖον παρὰ τοῦ θαυμασιωτάτου πατρὸς Γρύλλου δίκαιον, τοὺς ὀγδοήκοντα χρυσίνους κομισαμένου· καὶ τὸν ἑταῖρον Τρωΐλον παρασκεύασον ἐπιστεῖλαί μοι, ὅτι κομισάμενος τυγχάνει τὰ βιβλία, ἅπερ ἀποδέδωκας αὐτῷ, τὸ Νικοστράτειον δὴ λέγω, καὶ τὸ τοῦ ἀφροδισιέως Ἀλεξάνδρου, εἰ διὰ τὴν ἱερωτάτην διάθεσιν φίλοι ἡμῖν οἱ ἄρχοντες ἡμῶν ἐπιδημοῦσι πρὸς φιλοσοφίαν ἡμῖν συντελέσειας τὸ μέρος τὸ σόν, ὅσον πλεῖστον ἡγεῖται παρὰ τῆς ἀτιμίας κωλύεσθαι. Σιμπλικίῳ.

Χαιρέτω Κερεαλίῳ δι' αὐτοῦ προσειπὼν ἡμᾶς, τὸ λα-
ἐ θεῖν ἡμέρας πέντε πονηρὸν ὄντα. ἤλπισαν γάρ τι χρηστὸν αἱ πόλεις παρ' ἀνδρός, ὃν ὁ χάραξ ἠξίωσεν εἰδέναι Σιμπλίκιος. ὁ δὲ ταχὺ μάλα ἤλεγξε σὲ μὲν οὔ, μὴ γάρ ποτε ἐπ' ἄλλο τὰ σὰ γένοιτο. ἑαυτὸν δὲ καὶ τὴν ἀρχήν. ἵνα μὴ διατρίβω τὰ ῥωμαίων πράγματα, ὤνιος ἄνθρωπος. ἐλαχίστου δόξης. ἀμελής. ἀπόλεμος ἐν εἰρήνῃ βαρύς. ὃς πρὸς βραχύτατον ἀπολέλαυκεν. οὐ γὰρ ἐδεήθη χρόνου πρὸς τὸ πάντα ἀνατρέψαι τε καὶ συγχέαι. ὡς παρελθόντος νόμου τοῖς τῶν στρατιωτῶν εἶναι τῶν στρατηγῶν, ἃ πάντες εἶχον λαβών, ἀντέδωκεν αὐτοῖς ἀστρατείαν, καὶ τὸ μὴ συντετάχθαι, βαδίζειν ἐπιτρέψας ὅπη τις ᾤετο θρέψεσθαι. ταῦτα τοὺς ἐπιχωρίους ποιήσας, ἐπεὶ τοὺς ξένους οὐκ ἦν ἀργυρολογεῖν, ἠργυρολόγησε δι' αὐτῶν τὰς πόλεις ἄγων καὶ μεθιστάς, οὐχ ᾗ λυσιτελέστερον ἦν, ἀλλ' οἷ κερδαλεώτερον. βαρυνόμεναι γὰρ αὐτῶν τὴν καθέδραν αἱ πόλεις, χρυσίον εἰσέφερον. τούτων ὀξέως ᾔσθοντο μακέται καὶ γέγονε διαδόσιμος ἀπὸ τῶν μιξοβαρβάρων εἰς τοὺς βαρβάρους ἡ φήμη. ὅσα πλεῖστα ἐπιθέουσι φύλλα καὶ ἄνθεα γίγνεται ὥρῃ. φεῦ τῆς νεότητος, ἣν ἀπολελώκαμεν. φεῦ τῶν καρπῶν οὓς μάτην ἠλπί-

σαμεν

σαμεν. ἐσπείραμεν τῶν πολεμίων ἕνεκα· τοῖς πλείοσιν ἡμῶν τὸ πλου-
τεῖν ἐν βοσκήμασιν ἦν ἐν ἀγελαίαις καμήλοις. ἐν ἵπποις φορβάσι. πάντα οἴχεται. πάντα ἐλήλαται. αἰσθάνομαι πενόμενος ὑπὸ τοσαύτης ἐκφορᾶς. ἀλλὰ σύγγνωθι· τειχήρης γάρ εἰμι καὶ πολιορκούμενος γράφω, δι' ὥρας πολλάκις φρυκτοὺς ὁρῶν. ἢ αὐτοὺς ἀναπέμπων ἢ αὐτὸς αἴρων τοῖς ἄλλοις σημεῖα. κυνηγέσια δὲ ἐκεῖνα τὰ πρόσω, οἷς ἐπ' ἐξουσίας ἐχρώμεθα πρότερον οὐχ ἥκιστα διὰ σέ, πάντα ἔρρει καὶ στενόμεθα μεμνημένοι, ἢ βένης τῆς ἐκείνου τῶν φρενῶν. αἱ ἱπποκροτεῖται μὲν ἅπαντα. καὶ τὴν χώραν ἔχουσι νῦν οἱ πολέμιοι. ἐγὼ δὲ ὑπὸ μεσοπυργίῳ τεταγμένος, ὑπνομαχῶ. ἐνδεῖ μέν μοι μᾶζα μεμαγμένη, ἐνδεῖ δέ μοι οἶνος ἰσμαρικός. οἴνου δ' ἐνδεεῖ κεκλιμένος. οὐκ οἶδα εἰ μᾶλλον ἀρχιλόχῳ εἰπεῖν ταῦτα προσήκοντα ἦν. κακὸς κακῶς ἀπόλοιτο Κερεάλιος, εἰ μὴ καὶ προαπόλωλε τῶν ἀρῶν· ὡς ἄξιός γε ἦν ἔργον γεγονέναι τοῦ πρώην χειμῶνος. ὃς ἐπειδὴ τὴν χώραν εἶδεν ἐν ᾧ κινδύνου κατέστησεν, ἠπίστησε καθάπαξ τῇ γῇ. καὶ τὸ χρυσίον ἐνθεὶς δι' ὁρμενίοις ὁλκάσιν, τὸν μετέωρον σαλεύει. τὰς δὲ ἐπιστολὰς αὐτοῦ περιφέρει κελλήτιον, ταῦτα δὲ δὴ ἢ ποιεῖ μὲν ἐπαγγέλλουσας εἴσω τειχῶν εἶναι. μηδεία προσπηδᾶν τῶν ταφρῶν. μὴ δὲ ὁμόσε χωρεῖν ἀμάχοις αὐτοῖς. ἢ διαμαρτύρεται καθαρὸς αἰτίας εἶναι. φύλακας δὲ καθιστάναι διδάσκει τῶν νυκτὸς τέτταρας, ὡς ἐν τῷ μὴ καθεύδειν ὄντων τῶν ἐλπίδων. ἔοικε γὰρ εἶναι τα τοιαῦτα σοφὸς, ἅτε ἐπιτήδειος ἀτυχεῖν αὐτός. καίτοι γε ἡμῖν οὐδὲ μετέχειν ἐβουλήθη τῶν συμφορῶν. οὐ γὰρ παρέταξεν ὥσπερ ἐγὼ Συνέσιος ὁ φιλόσοφος, ἀλλὰ παρὰ κώπην ὁ στρατηγὸς ἵσταται. εἰ δὴ τῶν χρημάτων ἐρᾷς ἅπερ ἥττησας, καίτοι γε ἡμεῖς οὐδὲν αὐτοῖς συνεπραγμάτευσαν, ὅτι μὴ τὴν ὑπόθεσιν, συνάξαι κυρηναίοις μικρὸν ἀπὸ

τῶν ὅπλων γενέσθαι. ὡς ταῦτα νῦν ἔχομεν οὐκ ἔστιν ἀπὸ κιβωτίων διηρπάσθαι βιβλία.

Πυλαιμένει.

Τ Οὺς γεωμέτρας φασὶ τοὺς ὅρους, ἀληθεστάτους ἡγοῦ, ὅπερ ἐπὶ καὶ ταῖς ἄλλαις ἐπιστήμαις ὑπάρχει σεμνύνεσθαι, καὶ κατὰ μικρὸν εἰς τὰς ἀποδείξεις αὐτῶν ἡ γεωμετρία τι συμπορίσαντα. ἔστι δήπου τις ἐν αὐτοῖς λόγος ἀξιῶν τὰ τῷ αὐτῷ τὰ αὐτὰ καὶ ἀλλήλοις εἶναι δεῖν τὰ αὐτά. ἐμοὶ δὴ σὲ μὲν ὁ χρόνος ἐποίησε φίλον. τὸν δὲ θαυμάσιον Διογένη, καὶ ἡ φύσις. ἄμφω δὲ ἐμοὶ ἐστὲ φίλοι. δεῖ δὴ καὶ ἀλλήλων ὑμᾶς διηρτῆσθαι καθάπερ ἐμοῦ τοῦ μέσου. καθάπτω τοιγαροῦν ὑμᾶς ἀλλήλοις διὰ τῆς ἐπιστολῆς. μεθῆς ἑαυτὸν μὲν ἐπιδώσει τῇ φιλίᾳ τῆς σῆς σεμνοπρεπείας ὁ θαυμάσιος Διογένης. ἀντιλήψεται δὲ σύ· οἶδ' ὅτι τὸν ἐμὸν Πυλαιμένη. καλὸν γὰρ ἐμόν, οὔτε αἰσχύνειν, οὔτε αἰσχύνεσθαι φήσαι μὲν ἂν ἔγωγε. ὅτι δὲ διὰ σοῦ καὶ τοὺς ἄλλους ἑξῆς τοὺς ἐμὲ ἀγαπῶντας, φίλους, ὅσοις δὲ δύναμίς ἐστι, χρησίμους, οὐκ ἂν δίκαιος εἴην, εἰ ἀμφιβάλλοιμι. δεῖ δὲ αὐτῷ φίλων χρησίμων εἴπερ τῳ πάντων. τὰ γὰρ κατ' αὐτὸν ὡς ἐν βραχυτάτοις, οὕτως ἔχει. γένος ἐστὶν ἁπλοῦς καὶ γενναῖος. θυμοειδὴς καὶ πρᾶος, οἵους ὁ Πλάτων ἀξιοῖ τῆς ἑαυτοῦ πόλεως τοὺς φύλακας εἶναι. ἐστράτευται γέ τοι καὶ οὗτος κομιδῇ μειράκιον ὤν. ἄρτι δὲ τῶν ἐφήβων ἦρξε παρῃτημένων τὴν τῶν στρατευμάτων ἀρχήν, παραβαλλόμενος ἐπὶ βασιλέων μαρτύρων. τοιοῦτον γὰρ οἱ πολῖται, πρὸς ἅπαν τὸ δυστυχοῦν. ἀλλ' οὗτος ἑαυτὸν παρέσχε τοῦ φθόνου κρείττω. περὶ οὗ πολλὰ μὲν ἂν ἕτερος εἶπεν. ἀλλ' ἐοίκαμεν δ' ὁμοίως ἔχειν ἐγώ τε πρὸς τὸ ἐπαινεῖν, καὶ οὗτος πρὸς τὸ ἐπαινεῖσθαι. συνελόντι δὲ, ἐνίκησεν, ὅπλοις μὲν, τοὺς τῆς πατρίδος ἐχθρούς. ἀρετῇ δὲ, τοὺς ἐν αὐτῇ πονηρούς. νέος ἐν ἐξουσίᾳ γενόμενος, οὐκ ᾔσχυνε φιλοσό-

φει συγγέγραφαν. τοιοῦτος ὢν πράγμασιν ὁμιλεῖ δυσκόλοις, δι' αὐτὸ ἔχων εἶναι τὸ καλὸς καὶ ἀγαθὸς εἶναι. ἕρμαιον γὰρ ἐστὶ τῶν κακοήθων, ἅπασιν ἐπιεικής. καὶ ἡ πρόσοδος τοῖς πονηροῖς ἐκ τῆς ἑτέρας μεθόδου παραγίνεται. ἐνδείκνυται οὖν τις ἀξιῶν μισθοδοτεῖσθαι παρ' αὐτοῦ καὶ μὴ τυγχάνων, δίκην πρὸς αὐτὸν ἔλαχεν. ὡς δὲ οὐ προεχώρει ταύτῃ τὸ ἀποδοῦναί τι τῶν οὐ προσηκόντων, ἀλλ' ἥσσων οἴομαι μεθόδων, ἑτέραν ἐτράπετο. καὶ ποιεῖται τὴν δίκην γραφήν, ἀνατεινόμενος ἔγκλημα τοῦ κατηγορουμένου πρεσβύτερον. ἥκει δὴ τὸ κληθῆναι φθάσας. οὐ γὰρ ἄξιον ἂν δόξειε θανάτου τι γε συκοφάντης; καὶ προσέθηκε τὰ περὶ Τρωάς τε καὶ τὰ παιδικά μετὰ δόξης αἰσχρᾶς. πρὸς ταῦτα, δεῖται φίλων ἀδόλων ἀνακαλούντων. νοῦν ἐχόντων, οἷος εἶ σύ. ἕξεις δέ, σὺν θεῷ εἰρήσθω, σὲ μὲν δι' ἐμοῦ. διὰ σοῦ δὲ τοὺς φίλους τοὺς ἐμοὺς περὶ σοῖς ὤν ὅ,τι αὐτὸς ἀγαθὸν εἰς αὐτὸν ἐργάσηται, τούτου τυχεῖν ὀφείλειν ἐγὼ δίκαιός εἰμι.

Τῷ ἀδελφῷ.

Τὸ μὲν τὰς γυναῖκας βοᾶν καὶ στερνοτυπεῖσθαι, καὶ σπαράττειν τὰς κόμας, ἐπιφανέντων ἢ προαγγελθέντων πολεμίων, ἧττον ἂν δόξειε δεινόν. καίτοι καὶ τοῦτο δεινόν, ὁ Πλάτων οἶδε, τὸ μὴ ἤ ὥσπερ τὰς ὄρνις ἐθέλειν ἀμύνεσθαι ὑπὲρ τῶν νεοττῶν, πρὸς ὃ ποιοῦ τῶν ἀλκιμωτάτων αἰσθάνεσθαι. ἀλλὰ δόξαν καταχεῖν τοῦ τῶν ἀνδρογύνους, ὅτι πάντων θηλειῶν ἀτολμότατον γέγονε. τὸ δὲ καὶ σὲ ταῦτα πλημμελεῖν, καὶ νύκτωρ ἐκδειματοῦσθαι καὶ διανίστασθαι. καὶ βοᾶν παραυτὴν τοῦ φρέατος τὴν θύραν ἑστάναι βάρβαρον, τοιαῦτα γάρ τις ἀπήγγελλε περὶ σοῦ, πῶς ἔπι ταῦτα εἰσέ, καὶ ἀλλοίως ἔοικεν εἶναι, ἐμὸν ἀδελφὸν ὄντα; ἔπειτα δειλὸν εἶναι. ἔγωγέ τοι παρανατειλάσης εὐθὺς ἡμέρας ἐξιππασάμενος, ὡς αὐτὸς ὃν παρῥωτᾶτο, καὶ ὦτα καὶ ὀφθαλμοὺς τὰ κατὰ τοὺς ἀπελάτας

τοῦ τοῖς ἅπασι τὰ πλὴν πραγμάτων. οὐδὲ γὰρ ἄξιοι καλεῖν αὐτοὺς πολε-
μίους· ἀλλὰ λῃστὰς ἢ λωποδύτας, ἤ τι τοιοῦτον ὄνομα μικροπρε-
πές τι. εἰ μηδένα τῶν ἐρρωμένως ἐπιφερομένων ὑφίστανται, ἀλ-
λὰ μόνους τοὺς καταπλήγας ἀποσφάττουσιν, ὥσπερ ἱερεῖα, καὶ πε-
ριδύουσι. νύκτωρ δὲ μετὰ τῶν ἐφήβων περιπολῶ τὸν λόφον· καὶ πα-
ρέχω ταῖς γυναιξὶ, τοῦ καθεύδειν ἄδειαν, ἐπισταμένας, ὅτι πρὸ αὐ-
τῶν τινὲς ἐγρηγόρασι. παρέσχον δέ μοι καὶ στρατιῶται τοῦ τῶν Βαλα-
γριτῶν τάγματος. οὗτοι πρότερον μὲν ἢ Κερεάλιον ἄρχειν, ἦσαν
ἱπποτοξόται. τούτου δὲ κατασταθέντος εἰς τὴν ἀρχὴν ἀπημπολημένοι
αὐτοῖς τῶν ἵππων, ἐγένοντο μόνον τοξόται. ἐμοὶ δ' οὖν ἀποχρῶσι καὶ
ἄνιπποι. δεῖ δὲ τοξείας ἡμῖν ὑπὲρ φρεάτων ὑπὲρ τοῦ ποτιμοῦ. ὕ-
δωρ γὰρ οὐκ ἔχομεν εἴσω τοῦ περιβόλου. ἐπεὶ τί ἐκώλυε διαφέ-
ρειν τὴν πολιορκίαν αὐλουμένους τε καὶ κωμάζοντας. νῦν δὲ ἢ κρα-
τεῖν δεῖ μαχομένους ἢ ἀποθνήσκειν εἰς χεῖρας ἰόντας τοῖς πολεμί-
οις ἀντὶ τοῦ διψῆν. οὔ τι ἂν ἐλεεινότερον γένοιτο. ὥστε καὶ, ὑπ' ἀνάγ-
κης, ἄνδρες εἶεν μὲν ἀγαθοί· καὶ σὺ δὴ πρόθυμος. καὶ ἑτέρους παρα-
κάλει. καὶ τὸ ζεῦγος τῶν ἵππων τῶν ἀδηφάγων τῶν ἐπὶ τῷ φό-
ρῳ τρεφομένων, ἄγειν ἐκέλευε παρὰ σὲ παντὸς μᾶλλον ἐν τοῖς
τοιούτοις καιροῖς, ἵππος οὐκ ἀχρεῖον τὸ κτῆμα. καὶ γὰρ προσδέχο-
μαι τεχθῆναι κατασκέψασθαι καὶ ἀπαγγεῖλαι δι' ἐλαχίστου, πάντα
ταῦτα ἵππος δύναται ῥᾳδίως ποιεῖν. καὶ δέ κοσι τοξοτῶν, μετα-
πέμπειν, καὶ ἥξουσι. τοὺς δὲ κωπέας τοὺς Φυκουντίους, οὐδ' ἐγὼ θαρ-
ρῶ συμμάχους, ὥσπερ οὐδὲ τοὺς παρ' ἐμοὶ κηπωρούς. ζητῶ δὲ ἄν-
δρας ὀλίγους οὐ ψευδομένους τὸν ἄνδρα. κἂν ἐπιτύχω τοιούτων.
σὺν θεῷ δὲ εἰρήσθω, θαρρῶ. δεήσοι δὲ ἀποθνήσκειν, ἐν τοῦθα τὸ φι-
λοσοφίας ὄφελος τὸ μηδὲν ἡγεῖσθαι δεινὸν ἀναχωρῆσαι τοῦ θυλα-

κίου

νίου τῶν κρευλίων. εἰ δὲ πρὸς τὴν γυναῖκα καὶ τὸ παιδίον ἀπε-
κτος ἔσομαι τοῦτο δὲ οὐ σφόδρα διεγγυῶμαι, ὡς ἔγωγε βουλοίμην
ἄν, τοσαῦτα φιλοσοφίαν διώκοις. ἀλλὰ μέχρι ποτὲ διάπειραν
λάβοιμι. μὴ, ὦ σῶτερ, μὴ ὦ ἐλευθέριε.

Ὀλυμπίῳ.

Χθὲς καὶ πρῴην παρὰ τῶν ἐπάρχου ὑπὸ τῶν, ὧν ἅπερ ὅσιον
ἀεὶ στρατευομένους, τοῖς δὲ συνάρχοιτο ἀγνοῶ, κατασεσημασμένην
ἐκομισάμην ἐπιστολὴν, τὸ σὸν τῆς ἱερᾶς κεφαλῆς ἐπιγεγραμμένην
ὄνομα. τεκμαίρομαι δὲ αὐτὴν εἶναι παμπάλαιον, τῷ τε θεῖναι τὸ δέ-
σμιον γεγονέναι, καὶ τῷ συγκεχύσθαι τὰ πλείονα τῶν γραμμά-
των. ἐγὼ δὲ ἠξίουν μὴ καθάπερ δεσμόν τινα ἐτήσιον, τὴν ἐπιστολὴν
πέμπεσθαι. μὴ δὲ ὅσα ποιεῖσθαι διακομιστὴν μόνον τὸν φίλτατον
Σύρον. οὔπω γὰρ συμβαίνει τὸ μὴ δὲ νεαροῖς ἀλλήλοις αὐτοῖς πε-
ριτυγχάνειν. ὥσπερ οὖν ἐγὼ καὶ αὐτὸς οὕτως ποιῶ. οὐδεὶς βασιλέ-
ως ἀγγελιαφόρος δημοσίοις ἵπποις ἀμείβων ἐξέρχεται τῆς πόλεως. ὧν μὴ
τὸ πρὸς τὴν σὴν λογιότητα μέρος γίνεται τοῦ κατ' αὐτὸν φορτίου.
εἰ μὲν οὖν ἀποδιδόασιν, ἢ πάντες, ἢ τινὲς αὐτῶν, πολλὰ ἀγαθὰ
τοῖς ἀποδιδοῦσι γένοιτο χρηστοῖς οὖσιν. εἰ δὲ μὴ, καὶ ταύτῃ οὐ σο-
φώτερος, ἀπιστῶν οἷς ἄξιον. ἀλλ' ἵνα μὴ δὲ ἡμεῖς μάτην κοπτώ-
μεθα, τοὺς ὑπογραφέα τὰς ἀποδοθησομένας ἐπιστολὰς ὑπαγορεύον-
τες, μαθεῖν ἀξιῶ. μεθαρμοσόμεθα δὲ τοῦ λοιποῦ. καὶ μόνῳ πιστεύσω
τῷ πατρῴῳ. ταύτην τε τὴν ἐπιστολὴν, Πέτρον οἶμαι διακομιεῖν,
παρὰ μέσης λαβόντα τῆς ἱερᾶς χειρός. στέλλω γὰρ αὐτὴν ἀπὸ ταύ-
της πόλεως ἐγὼ πρὸς τὴν διδάσκαλον τὴν κοινήν. αὕτη δὲ ὅτῳ
βούλεται δώσει. βουλήσεται δὲ δὴ οἶδ' ὅτι τῷ συνφειμοτάτῳ πα-
ραχεῖν. καὶ γὰρ οὐ δίσμεγ ὦ φίλτατε καὶ θαυμάσιε, εἰ καὶ πά-

λιν ἔξεστι προσειπεῖν ἡμᾶς ἀλλήλους. κακίᾳ γὰρ στρατηγῶν, ἀμαχεὶ γέγονε τῶν πολεμίων ἡ χώρα. καὶ μόνοι ζῶμεν ὅσοι τὰ ἐρυμνὰ κατειλήφαμεν, τῶν ἐν τοῖς πεδίοις κατειλημμένων, ὥσπερ ἱερείων ἀπεσφαγμένων. δέδιμεν δὲ τὴν προσεδρίαν αὐτῶν, μὴ χρονία γενομένη, δι' ἣν παραστήσηται τὰ πολλὰ τῶν φρουρίων. ταύτῃ καὶ τοῖς αὐτεγκλήμασι τοῖς περὶ τῶν δώρων, οὐκ ἀπεκρινάμην. οὐ γάρ μοι σχολὴ, πρὸς τὴν μηχανὴν τὸν νοῦν ἔχοντι. κατασκευάζομαι γὰρ ὥσπερ ἀπὸ τῶν πύργων ἐκηβολώτατα πέμπεσθαι μὲν ἀξιόλογα λίθων βάρη. ἅμα δὲ καὶ ἐνδίδωμί σοι πέμπειν μοι δῶρα. δεῖ γὰρ ἐκ σου Ὀλυμπίῳ Συνέσιον. μὴ μέντοι τρυφῶντα δῶρα. καὶ γὰρ καὶ τότε τὴν τρυφὴν ἐμεμψάμην, τῶν καταλυμάτων τοῦ συναπτίου. ἀλλ' ἔστω στρατιωτικά, τόξα καὶ βέλη. μετὰ τῶν συρακίων μέντοι τὰ βέλη. τόξα μὲν οὖν καὶ ἑτέρωθεν ὠνησαίμην, καὶ τὰ ὄντα ἀνακτησαίμην. βέλη δὲ οὐ ῥᾳδίως ὂν ἐστὶ πορίσασθαι. οὐκοῦν ὥστε καὶ ἐπιτήδεια. τὰ γὰρ αἰγύπτια ταῦτα τοῖς γόνασιν οἰδοῦντα, τοῖς παραγωνατίοις συνιζάνει. ταύτῃ καὶ σφάλλεται παρ' ἑαυτῶν. ἔοικε γὰρ τοῖς ἐκ πρώτης ἀφετηρίας ἐμποδιζομένοις τε καὶ προκόπτουσι. τὰ παρ' ὑμῖν δέ, διὰ μήκη τε ἐστὶ καὶ ἀκριβῶς εἰς ἑνὸς κυλίνδρου σχῆμα στρογγύλλεται. ὅπερ τὸ πᾶν ἐστιν εἰς εὐθυπορίας τῆς πτήσεως. ταῦτά μοι πέμπειν. καὶ χαλινοὺς ἵππων ἀγαθούς, εἰς χρῆσιν. ἐπεὶ καὶ τὸν ἵππον τὸν ἰταλὸν ὃν ἐπήνεσας τῇ γλώττῃ ἢ τῇ καλῇ, σφόδρα ἂν εἶδον ἡδέως. ἐπειδὴ καὶ πατέρα πολλῶν ἀγαθῶν ἡμῖν αὐτὸν ὑπισχνοῦ. οὐ μὴν ἀλλὰ καὶ κατὰ τὸ τοῦ ἐπιστολῆς, μετὰ τὴν ὑπογραφήν, εὗρον ὅτι μένειν ἐδέησε τὸν ἵππον ἐν τῇ Σελευκείᾳ, τοῦ ναυκλήρου διὰ τὸν καιρὸν παραιτησομένου τοιοῦτον φορτίον. ἐπειδὴ δὲ μήτε τὴν λέξιν ἐπέγνων ἀδελφὴν οὖσαν τῆς σῆς,

μήτε

μήτε τὴν χεῖρα, μήτε τὴν ἀκρίβειαν τῆς γραφῆς, ἐδικαίωσα, μὴ ἀγνοεῖσθαί σοι τοῦτο. ἀρκεῖν γὰρ, εἰ τοιοῦτος ὢν ὁ ἵππος μήτε ἐμοὶ μήτε σοὶ σώζοιτο.

## Πυλαιμένει.

ε Δεξάμην τὴν ἐπιστολὴν, ἐν ᾗ πάλιν ἐμέμψω τὴν τύχην, ὡς οὐδὲν περὶ σοῦ βεβουλευμένην φιλανθρωπότερον. μὴ σύ γε ὦ φίλτατε ἑταίρων· οὐ γὰρ ἄξιον ἐγκαλεῖν. ἀλλὰ παραμυθεῖσθαι ἔξεστι δὲ ὄντι τοιούτῳ, ἥκειν πρὸς ἡμᾶς. ἀδελφὸν εὑρήσεις οἶκον. οὐ πλουτοῦμεν, ἴσθι. ἀλλὰ τὰ παρόντα ἀρκεῖ καὶ Πυλαιμένει κἀμοί. εἰ δὲ καὶ σὺ παρέσῃ, τυχὸν καὶ πλουτήσομεν. ἀπὸ τῶν ἴσων ἀφορμῶν ἕτεροι πλείω τῶν μειζόνων ἔχουσιν. ἐγὼ δὲ κακὸς οἰκονόμος. ἀλλὰ πῶς αὐτέχει τὰ πρὸς τὴν ἀκριβεστάτην ἀμέλειαν τὰ πράγματα. ἃ δὴ δύναται βόσκειν φιλόσοφον, μὴ τὰ τυχόντα ἥγου προσλαβόντα καὶ πρόνοιαν. ταῦτα περὶ τούτων καὶ μὴ ἄλλως ποιῇς, εἰ μή τι μεταξὺ βέλτιον πέπραχας. καὶ πάλιν διανοοῦ τὴν Ἡράκλειαν ἀνιστάναι καὶ φημὶ μὲν. ἐπιστολὰς οὐ γέγραφα πρὸς οὓς εἴωθα διὰ τὸν καιρόν. ἀλλὰ πρῴην ἅπασι γέγραφα, φάκελλον ἐπιστολῶν Διογένει δούς. ἀνεψιός ἐστιν ὁ Διογένης ἐμός. εἰ μὲν οὖν ἐπέτυχες συζητῶν, ἐζήτησε γὰρ οὐδ' οἶδ' ὅτι, καὶ δὴ τὸν φάκελλον ἐπιδέδωκεν. οὐ γὰρ ἐπιγέγραπτο. εἰ δὲ μὴ, τὸν ναύκληρον αἴτει δεῖξαί σοι τὸν νεανίσκον. καὶ κομισάμενος τὰς ἐπιστολὰς, αὐτὸς ἅπασι δίδου. εἰσὶ δὲ οὓς περὶ πλείστου ποιοῦμαι, παρ' ἐμοῦ προσειρῆσθαι, ὁ πατὴρ Πρόκλος. Τρύφων ὁ παρ' ἡμῖν ἄρξας. Σιμπλίκιος ὁ ἀνὴρ καὶ ἄρχων ἀγαθὸς καὶ φίλος ἐμός. ἐπίδος αὐτῷ τὴν ἐπιστολὴν, ἐν ᾧ πάρεστι χρόνῳ, χρῆσαι τῷ ἀνδρί. καλὸν γὰρ καὶ συσχολάσαι στρατιώτῃ ποιητικῷ. στρουθοὺς

μεγάλας ἀπὸ τῶν ἐν εἰρήνῃ κινησείων ἔχομεν. ἀλλ᾽ οὐκ ἦν αὐτοῖς στέλλειν ἐπὶ θάλατταν, διὰ τῶν ὅπλων τῶν πολεμίων. οὐ δὲ ἀλλό τι τῶν παρὰ τὰς ἀκτὰς ὄντων ἄξιον ἦν ἐνθεῖναι τοῖς πλοίοις. οἶνος οὖν μόνος ἐστὶ τὸ φορτίον. ἐλαίου δὲ μὰ τὴν τιμίαν σου κεφαλὴν οὐδὲ κύαθον ἀγώγιμον ἔχουσιν. οὔκουν ὅσα γε καὶ ἐμὲ εἰδέναι. τοσαῦτα δὲ οὖν οἴνου ξέστια λάβε. λήψῃ δέ, ἐπιδόντος τὸ πρὸς Ἰούλιον πρόσταγμα. προσῆπται δὲ τῇ ἐπιστολῇ τοῦ μὴ διαπεσεῖν ἕνεκα καὶ τῷ πατρὶ Πρόκλῳ γεγράφηκα. καὶ ταῦτα πέπομφα. δεξάσθω καὶ τὴν ἐπιστολὴν παρὰ σοῦ, καὶ τὸν οἶνον παρὰ τοῦ Ἰουλίου. Τρύφωνι τῷ χρυσῷ, δεῖ γάρ τι καὶ ἐν τούτοις, ψυχρὸν εἰπεῖν ἢ γερονταῖον, τρυφῶντα δῶρα παρεσκευάσαμεν. ὀπὸν σιλφίου πολύν. ἀγαθὸν γὰρ ἡ Κυρήνη καὶ τοῦτον ἐκτρέφει. οὐ μὴν ἐξεγένετο πέμπειν τὸ νῦν ἔχον. ἀλλ᾽ ἐκπέμψαιμεν ἂν εἰς ἑτέραν ναῦν, ὅπου καὶ ὑμῖν μετὰ τούτου μὲν τοὺς στρουθούς, κατὰ μόνας δὲ τοὔλαιον.

## Τῷ ἀδελφῷ.

Οἱ μάνιος οὗτος ὁ τὴν ἐπιστολήν σοι διδούς, ἐστάλη πρὸς ἡμᾶς ὑπὸ τοῦ μικρῷ πρότερον δυναστεύσαντος ἀρταβαζάκου ἐπὶ τὰς οὐσίας ἀπαιτήσεις ὧν ἐν τοῖς τῇδε τόποις ἐπεγόνει κύριος. ἀλλ᾽ ἐπὶ ὑποθέσει τοιαύτῃ, πρᾶον ἑαυτὸν παρέσχε καὶ μετριώτατον. καί τοι τίς ἕτερος οὕτως ἐχρήσατο τῷ καιρῷ. Γερμανίου δὲ οὐδεὶς λιβύων τὴν τότε δύναμιν ἐβαρύνετο. μέγα τεκμήριον. λυπεῖ τὰς πόλεις ἀναχωρῶν. σὺ δέ μοι τὸν ἄνδρα φιλίως καὶ ὥσπερ εἰκός, ἐπαίνεσον ἐπὶ καλοκαγαθίᾳ.

τῷ

Τῷ αὐτῷ.

Ναίμην τῶν ἀθηνῶν, ὁ πρὸς σὲ βουλῆς· ὥστε μοι δοκῶ πλέον ἢ παλαιστῇ καὶ δακτύλῳ γεγονέναι σοφώτερος. ἔξεστι δὲ καὶ αὐτόθεν τῆς νέας σοφίας πεῖραν σοί τινα παρασχεῖν. ἀμέλει δὲ ἀναγυρουντόθεν σοι γράφω, καὶ σφηττόθι ἔγονα. καὶ θριᾶζε. καὶ κηφισιᾶσι. καὶ φαληροῖ. καὶ κακὸς κακῶς ὁ δεῦρο κομίσας ἀπόλοιτο ναύκληρος. ὡς οὐδὲν ἔχουσιν αἱ νῦν ἀθῆναι σεμνόν. ἀλλ' ἢ τὰ κλεινὰ τῶν χωρίων ὀνόματα. καὶ καθάπερ ἱερείου διαπεπραγμένου τὸ δέρμα λείπεται γνώρισμα, τοῦ πάλαι ποτὲ ζώου, οὕτως ἐνθένδε φιλοσοφίας ἐξῳκισμένης, λείπεται περινοστοῦντα θαυμάζειν. τήν ἀκαδημίαν τε καὶ τὸ λύκειον. καὶ νὴ δία τὴν ποικίλην στοάν, τὴν ἐπώνυμον τῆς χρυσίππου φιλοσοφίας. νῦν οὐκέτ' οὖσαν ποικίλην. ὁ γὰρ ἀνθύπατος τὰς σανίδας ἀφείλετο. αἷς ἐγκατέθετο τὴν τέχνην ὁ ἐκ θάσου πολύγνωτος. νῦν μὲν οὖν ἐν τοῖς καθ' ἡμᾶς χρόνοις αἴγυπτος τρέφει τὰς ὑπατίας δεξαμένη γονάς. αἱ δὲ ἀθῆναι, πάλαι μὲν ἦν ἡ πόλις ἑστία σοφῶν. τὸ δὲ νῦν ἔχον, σεμνύνουσιν αὐτὰς οἱ μελιττουργοί. τοῦτο ἄρα καὶ ἡ ζυγὴ τῶν σοφῶν πλουταρχείων, οἵτινες οὐ τῇ φήμῃ τῶν λόγων ἀγείρουσιν ἐν τοῖς θεάτροις τοὺς νέους· ἀλλὰ τοῖς ἐξ ὑμηττοῦ σταμνίοις.

Ἑρκουλιανῷ.

Ι τῆς ὀδυσσέως πλάνης κέρδος ἔφησεν Ὅμηρος πολλῶν ἀνθρώπων ἰδεῖν τε ἄστεα καὶ συνεῖναι τὸν νόον, καὶ ταῦτα τῆς προσορμίσεως αὐτῷ γινομένης οὐ πρὸς ἄνδρας χαρίεντας, ἀλλὰ πρὸς λαιστρυγόνας καὶ κύκλωπας, ἦ που θαυμαστῶς ἂν ἡ ποίησις ὑμνήσε τὴν ἐμήν τε καὶ σὴν ἀποδημίαν, παρασχοῦσαν ἡμῖν εἰς πεῖραν ἐλθεῖν τῶν καὶ διαφήμης ἀπίστου μόνον. αὐτόπται γάρ τοι καὶ αὐ-

τὴν ὁσίαν γεγόναμεν τῆς συνουσίας καθηγεμόνος τῶν φιλοσοφίας ὀργίων. εἰ δὲ καὶ ἀνθρωπικαὶ χρεῖαι τοὺς κοινωνήσαντας διαθέσει συνδέουσιν, ἡμᾶς κατὰ τὸν νοῦν τὸν ἐν ἡμῖν τὸ ἄριστον συγγενομένους, θεῖος ἀπαιτεῖ νόμος, τἀλλήλων τιμᾶν. ἐγὼ μὲν οὖν καὶ τῆς σωματικῆς συνηθείας ἀπολελαυκώς, ὁρᾶν πάντα δοκῶ, τὸ ἔναγχος τεθὲν ἀπὸ τῆς διαθέσεως εἶδος προχειριζομένης τῆς μνήμης, καὶ ἐμφοβεῖ μου ταῖς ἀκοαῖς ἡ θαυμαστῶς γλυκεῖα τῶν ἱερῶν σου λόγων ἠχώ. σὺ δὲ ἡμῖν εἴπερ οὐχ οὕτως ἔχεις, ἀδικεῖς. εἰ δὲ ἔχεις, οὐ μέγα ποιεῖς. ἀποδίδως γὰρ διαθέσεως ὄφλημα. ὅταν δὲ πρὸς τὴν ἐν φιλοσοφίᾳ κοινωνίαν ἀπίδω, καὶ φιλοσοφίαν ἐκείνην, περὶ ἧς πολλὰ συγκεκύφαμεν, ἐνταῦθα ἤδη τοῦ λογισμοῦ γενόμενος, θεῷ βραβευτῇ τὴν εὐτυχίαν ἡμῶν ἀνατίθημι. οὐ γὰρ ἀπ' ἄλλου τινος ἢ θείας αἰτίας Συνέσιος ὁ τὸ πρᾶγμα ἥκιστα δημοσιεύων, καὶ πλείστοις μὲν συνών, ἐπ' ἀνθρωπικαῖς δὲ κοινωνίαις τὰς συνουσίας ποιούμενος, φιλοσοφίαν δὲ ἐν ἀρρήτοις ἀρρητοτάτην ἔχων, οὕτω προχείρως ἐμαυτόν τε καὶ τὰ ἐμαυτοῦ κτήματα ἀνεκάλυψα, ἀνδρὶ κατὰ βραχὺ δόντι μοι καὶ λαβόντι τὸν λόγον. ἐπειδὴ δ' οὖν γέγονέ τις οὕτως πρὸς ὃν ἐξωρχησάμην τὰ τέως ἀνέκπυστα, καὶ τῆς σοφῆς τοῦ Πρωτέως ἐπελαθόμην τέχνης, οὐ γὰρ ἄλλη τις ἦν, ἢ συνεῖναι τοῖς ἀνθρώποις οὐ θείως ἀλλὰ πολιτικῶς, ἐπεὶ γέγονε τοῦτο, οὐ προθεμένης μοι τῆς γνώμης, ἀλλὰ κατὰ συνθήκας ἀφανῶς παρελθόν, ἐγὼ θεὸν ἡγεμόνα τοῦ παραδόξου λογίζομαι· παρ' οὗ τέλος αἰτήσομεν τῶν δι' αὐτὸν ἠργμένων. καὶ δοίη μετ' ἀλλήλων φιλοσοφεῖν. εἰ δὲ μὴ τοῦτο, πάντως φιλοσοφεῖν. ὡς ἔγωγε ἐνόντας μοι τινὰς τῇ ψυχῇ λόγους περὶ τῆς ὑποθέσεως ἣν ἐπραγματευόμεθα, καταχέαι μὲν ὠδίνω τῆς ἐπιστολῆς. οὐ μὴν τοῦτο ποιήσω σοι. ἃ

αὐ

αὐτὴ κατὰ θεὸν γένοιτο συγγενέσθαι καὶ ἡμῖν περὶ τούτων καὶ πολλοῖς ἄμεινον εἰδόσιν. ἐμοὶ δὲ οὐ καλῶς ἔχει γραμματικῷ πιστεῦσαι τὸ τοιόνδε. τὸ γὰρ τῆς ἐπιστολῆς πρᾶγμα, οὐκ ἐχέμυθον· ἀλλὰ φύσιν ἔχει τῷ περιτυχόντι προσδιαλέγεσθαι. ἔρρωσο. ὦ φιλόσοφε καὶ διατέλει τὸ ἐν ἡμῖν ἀνακεχωσμένον ὄμμα ἀνορύττων. τὸ γάρ τοι βιοῦν ὀρθῶς, ἅτε δὴ οἶμαι προοίμιον τοῦ φρονεῖν ὑπὸ τῶν ἀρχαίων καὶ φρονίμων ἀνδρῶν σπουδάζεσθαι, κατεδείχθη. μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι φησὶν οὐ θεμιτὸν, ἡ θεσπεσία φωνή. οἱ πολλοὶ δὲ οὐ διὰ τὸ φρονεῖν, ἀλλ' αὐτὸ δι' αὐτὸ καὶ τελεότητα ἀνθρωπίνην ἥκιστα τὸ βιοῦν ὀρθῶς, τὴν ὁδὸν, οὐχ ὁδὸν ἀλλ' ἐφ' ὃ δεῖ δι' αὐτῆς φθάσαι νομίζοντες, κακῶς φρονοῦντες. σωφροσύνη γὰρ ἄλογος, καὶ ἀποχὴ κρεωδαισίας πολλὴ παρὰ πολλοῖς ἀλόγοις εἴδεσιν ἐνδέδοται παρὰ τῆς φύσεως. ἀλλ' ἔτι ἐπεὶ νοῦ μὲν οὔτε κορώνην, οὔτε ἄλλο τι τῶν ἀγραμμάτων φυσικὴν ἀρετὴν ὅτι φρονήσεως ἔρυμα. ἡ δὲ κατὰ νοῦν ζωὴ, τέλος ἀνθρώπου. ταύτην μετίωμεν, θεόθεν τε αἰτοῦντες θεῖα φρονεῖν, καὶ αὐτοὶ τὸν δυνατὸν τρόπον τὸ φρονεῖν ἁπανταχόθεν συλλέγοντες.

## Τῷ αὐτῷ.

ἡ Κουσάτου τῶν δεινῶν λέγειν ἀνδρὸς ἐπικινδυνῶντος χρεία ἐπιστολῆς. καὶ τοῦτο τοῦ τῶν πολλῶν καὶ θαυμαστῶν λόγων σφίσιν ὑπόθεσιν ἐπεποίητο. ἐχορηγεῖτο δὲ αὐτῆς τὸ ἐγκώμιον πολλαχῇ μὲν ἐν αὐγῇ. μάλιστα δ' ἀπὸ τοῦ δύνασθαι τὴν ἐπιστολὴν ἐρώτων ἐκ δύο τυχόντων εἶναι παραμυθίαν, παρεχομένην ἀπουσίᾳ σωμάτων φαντασίαν τῆς παρουσίας. καὶ τῷ δοκεῖν προσδιαλέγεσθαι τὸ ψυχῆς ἐκπιμπλᾶσαν τὸ ἐφιέμενον. ταῦτα οὖν ἀνυμνεῖν τὸν δύ-

ρετὴν τῶν γραμμάτων. καὶ ἀνθρώπου μὲν οὐδενὸς ἠξίου, θεοῦ δὲ
εἰς ἀνθρώπους εἶναι τὴν δόσιν. ἐγὼ μὲν οὖν ἀπολαύω τῆς ἱερᾶς τῆς δε-
τοῦ θεοῦ χάριτος. καὶ πρὸς ὃν ἔδει λαλεῖν, εἰ μὴ δυνάμενος λαλεῖν,
ἀλλ᾽ ἐπειδὴ γράφειν δυνάμενος, θαμὰ τοῦτο ποιῶ. καὶ κατὰ τὸ ἐν-
δεχόμενον σύνειμι. καὶ ἀπολαύω, τῶν ἐμῶν παιδικῶν. αὐτὸς δὲ ἐ-
μὴ πικρὸν εἰπεῖν, συνδιέστηκας τοῖς τόποις τὴν γνώμην. καὶ μὴ
παύσῃ, σαυτὸν ἀφέλκων τῶν ἀσυλλήπτως τε καὶ ἀσκήνως ἠγαπηκότων,
ἐμιμήσω τὰς χελιδόνας, αἳ ταῖς τῶν ἀνθρώπων οἰκίαις ἐνοι-
κίζονται μὲν μετὰ τοῦ φθέγγεσθαι, σιωπῶσαι δὲ ἐξοικίζονται. ταῦ-
τα πρὸς ἄνθρωπον ἔτι. καὶ ἀνθρωπικὰ τὰ ἐγκλήματα. εἰ δὲ ἠνώ-
σαι διὰ φιλοσοφίας τὰ δεῦρο διεστῶτα, καὶ φίλον μὲν τὸ καλὸν·
καλὸν δὲ τὸ αὐτό, τοῦτο δὲ ἓν ὂν τοῦ νοῦ λέγοντος ἤκουσας, οὐκ ἐπὶ
κεῖνο μὲν ὑποψίαν τὴν πρὸς ἡμᾶς σιωπήν. ἀλλὰ συνηδόμεθα φι-
λοσοφοῦντί σε παρῃρημένῳ μὲν τὸ μικροπρεπεύεσθαι, συνόντι
δὲ τοῖς παρὰ σοὶ κρείττοσι, τοῖς ἐν ἡμῖν κρείττοσιν. εἴης τοιοῦτος ἀν-
δρῶν ἄριστε καὶ ἐμοὶ γε ποθητὲ ὄντως ἀδελφέ. Τοῦ αὐτοῦ.

Ἴσον τοῦτό ἐστι κέντρον πειθοῦς ἐν τοῖς γράμμασιν, ὅ-
ἐ τοσοῦτον καὶ τῶν ἠθῶν εἰκόνας τῆς ζώσης χαρίζονται συμ-
παθείας καὶ χάριτος, θελκτρον ἐνιᾶσι τοῖς ἀναγνώσκου-
σιν, ἧττον πρᾶγμα ἄμαχον ἂν εἴη, τὸ αὐτοπροσώπως αὐτῶν ἐπαφή-
σασθαι. ἐμὲ γοῦν καὶ παρὼν μὲν ἧρες τῇ γλυκείᾳ σειρῆνι τῶν λόγων·
ἡμῖν ἀγχιθείην τ᾽ ἀληθῆ λέγων, ὡς ἥδιον ἂν ἡδύτερα μοι πεῖρα γί-
νοιτο. οὐ γὰρ ἂν γένοιτο ἀγαθοῦ, παρόντος, ὡς περὶ ἀπόντος τῶν
πεπειραμένων συναίσθησις. τὸ μὲν γὰρ, ἡ συνέχεια τῆς ἀπο-
λαύσεως, κλέπτει τῆς εὐφροσύνης τὴν αἴσθησιν. ὁ δὲ κα-
τὰ μικρὸν χωρισθεὶς, τῶν ἡδέων εὐθὺς ἔχει κατ᾽ αὐτοῦ σαφ

ἐκ

ἐκ παραλλήλου τὴν μνήμην οἵων ἄρα ὄντως ἐστερήσεται· ἐλθοῖς
οὖν φιλτάτη κεφαλή, καὶ ἀλλήλοις περὶ φιλοσοφίας συγγενοίμεθα
τοῖς ἐκκριμένοις πρέποντα ἐποικοδομοῦντες, ἵν' ἐκτελέων τέλειον
ἐκφανῇ κάλλος, ἀλλὰ μὴ κολοβόν. εἰ δὲ ὅπερ ἀπεύχεσθαι δίκαιον
ἀλλήλων διαμάρτοιμεν, δῆλον ὡς τοὐμὸν ἔσται τὸ βλαπτόμενον. σοὶ μὲν
γὰρ εὐτυχούσης ἐνθάδε πολυανδρίας παιδείας, συνέσονται πολ-
λοὶ σοῦ ἴσοι καὶ βελτίους καὶ ὅμοιοι κἂν παρῇς, ὅτι μὲν παρῇς, ἐμοὶ
τίμιον· πρὸς δὲ φιλοσοφίαν, οὐκ οἶδ' οὖν τινα τρόπον ἀπεσκληκό-
τως ἔχει. ἔστιν οὖν οὐκ ἀδεὲς ἀβοηθήτῳ μένειν, οὐκ ὄντος τοῦ συγκο-
ρυβαντιῶντος. εἰ δὲ δὴ καὶ δοίην μὲν εἶναί τινας, πῶς ἂν ἐπεὶ τὸ δυσῆ-
ος ἐγὼ θείοις λαθοίμην· πρὸς ποῖον ἄλλο τι πυρεῖον παρατρίβειν με-
τὰ τὴν ἱερὰν σου ψυχὴν, ἀποτέκοιμι τοῦ νοῦ φωτοειδὲς ἔγγονον. τίς
οὕτως οἷος σφοδρῶς σπινθῆρα κεκρυμμένον καὶ ἀγαπῶντα λανθά-
νειν μηχαναῖς ἁπάσαις ἐκκαλέσασθαι καὶ θρέψαι. καὶ πῦρ λαμ-
πρὸν ἀναδεῖξαι. θεὸς οὖν ἀμφοῖν ἀκούσει τε καὶ συνουσίαν πορίει. θε-
ὸς δὲ παρόντος, ἅπαν ἄπορον πόριμον. ἔρρωσο. καὶ φιλοσόφει. καὶ
τὸ ἐν σαυτῷ θεῖον, ἀνάγε πρὸς τὸ πρωτόγονον θεῖον. καλὸν ἀνὰ πᾶσαν
ἐμὴν ἐπιστολὴν, τοῦτο παρ' ἐμοῦ τῇ τιμίᾳ σου διαθέσει λέγειν, ὅ
φασι τὸν πλωτῖνον εἰπεῖν τοῖς παραγγινομένοις, ἀναλύοντα τὴν
ψυχὴν ἀπὸ τοῦ σώματος.

Τῷ αὐτῷ.

τ Ωἱ ἐρώτων οἱ μὲν χαμαὶ ἐρχομένας καὶ αὐτικὰς τὰς ἀρχὰς
ἔχοντες, ἀπευχεῖς τέ εἰσι καὶ ὀξεῖ τηλοῦ τῇ περιουσίᾳ μόνῃ καὶ μό-
λις μετρούμενοι. οἷς δὲ ὁ ἐφεστὼς βραβεὺς θεός, κατὰ τὴν θεσπεσίαν
Πλάτωνος φωνὴν συντήξας τῇ τέχνῃ καὶ ἕνα ἄμφω ποιήσας
τοὺς ἀντερῶντας, οὗτοι καὶ χρόνου καὶ τόπου φύσιν ἐλέγχουσιν·

οὐδὲν παρὰ ἐμποδὼν ψυχαῖς ἐφιεμέναις ἀλλήλων ἀρρήτοις συνό-
δοις ὁμόσε χωρεῖν καὶ συμπλέκεσθαι. ἐκεῖθεν τοίνυν ὅθεν ἠρτῆσθαι δεῖ τὸ
ἡμέτερον, εἰ μὴ τὰ φιλοσοφίας τροφεῖα, μέλλοιμεν αἰσχύνειν,
ἀμαθῶς ἀγαπῶντες, καὶ ὅταν αὐτὴ μὴ ὑπὸ σωμάτων θυροκοπῆ-
ται, ψυχῆς παρουσίαν οὐ προσιέμενοι. τί οὖν πότνια ἐπὶ ταῖς ἐπιστο-
λαῖς τῶν δακρύων ἐξέχεις. εἰ μὲν γὰρ ἡμᾶς ἐλεῶν, ὅτι μήπω φι-
λοσοφοῦμεν, καὶ ταῦτα δοκοῦντες καὶ λέγοντες, ἐπιγνώσκω τοῦ
θρήνου τὴν ἀλήθειαν. εἰ δ᾽ ὅτι τὴν συνουσίαν ἡμῶν ἠθέλησεν ἀσυνω-
μων ἡ τύχη, τοῦτο γάρ σοι τῶν ἐπιστολῶν τὸ βούλημα, δῆλον ὅτι παι-
δαριῶδες τὸ ταῦτα ἀγαπᾶν, ἐφ᾽ ὧν δύναται βλάπτειν ὁ δαίμων
τὰ τέλη τῶν προαιρέσεων. ἐγὼ δὲ τὴν ἱερὰν κεφαλὴν, Ερκου-
λιανὸν, ἠξίουν αὐτὸ βλέπειν καὶ ὅλον εἶναι θεωρὸν τῶν ὄντων. ὅτι δὲ
τῶν θνητῶν ἀρχῆς τὰς ἀρετὰς διαβάντα ὅτι πάλαι τὰς ἀπεστραμ-
μένας καὶ κοσμούσας τὰ δεῦρο. ὅτι ὡς πρὸς τοιοῦτόν μοι δεῖ ἐπι-
στολῆς τὸ πρόσρημα, πολλὰ φρονεῖν, οὐ χαίρειν οὐδὲ εὖ πράττειν τὸ
μετριώτερον. ἐπιστατεῖ γὰρ προσήκουσι νοῦς ἐλάττων. οὐχ ὃν ἠξίουν
ἀνακεχωρῆσθαι παρὰ σοὶ περὶ οὗ σοι καὶ πάμπολλα διὰ δύο τῶν πρώ-
των ἐπιστολῶν διελέχθην. ὧν οὐδὲ μίαν οἱ λαβόντες ἀποδεδώκασιν.
ἐπεί τοι πέμπτην ταύτην ἐκπέμπω τὴν ἐπιστολήν. ἀλλ᾽ εἴθε μὴ
καὶ ταύτην ματαίαν. γένοιτο δ᾽ ἂν οὐ ματαία, εἰ πρῶτον μὲν ἀπο-
δοθείη. τὸ δὲ μετὰ τοῦτο, καὶ τοῦτον σεμνότερον κατανουθετήσειε σε
καὶ παραμυθήσει. καὶ πείσει μετατιθέναι τὴν τοῦ σώματος ἰσχὺν
ἐπὶ τὴν τῆς ψυχῆς ἀνδρείαν. οὐ τὴν ἐκ τῆς πρὸ τῆς περιγείου τε
πρακτικῆς τῶν ἀρετῶν. ἀλλὰ ἐπὶ τὴν ἀναλογοῦσαν ἐν τρίταις τε καὶ
τετάρταις. ἅψαιο δ᾽ ἂν αὐτῆς, ὅταν μηδὲν τῶν ἀνθρωπίνων θαυ-
μάζῃς. ἴσως μὲν ἄπω σοι σαφὴς ἡ διαίρεσις ἡ τοῦ λελεγμένου, τὸ-

ἧς ἀρχαιότεροι. καὶ τοῦτο μὲν οἱ πολλοὶ τῶν ἀρχόντων, τὸ ἐπὶ μη-
δενὶ κλαίειν. ἀλλὰ πάντων ἐνδέη τῶν τῇ δὲ καταφρονεῖν. ὅταν
σι παραγγέλονται, τοῦτο ἔστω σοι ἱκανόν. καὶ κρείττειον τῶν πρώτων
τῆς λέξεως, ἵμασι παρὰ ῥημῶν τὸ πολλὰ φρονεῖν ἐν τοῖς ἐπισο-
λαῖς ἐπανέλθη. ἐρρωμένως διαβιώης, φιλοσοφίας εὐθυμίαν
πρυτανευούσης ἀκύμονα δίαιταν ἀξιώσασθε. εἰ φιλοσοφία προ-
σβεύειν οἶδεν ἀπόφαν αὐτήν, οἱ μέσοι δὲ ἔξω εἰς μετριοπάθειαν
ἵστανται, τὴν ἀπειροπάθειαν καὶ τὸ ὑπερτείνωρον, τοῦ χώρας τὰ ἔξω
μέρη. ἄρουρα πόρρω φιλοσοφίας, ἧς μηδὲν ἐχθεύεσθαι σε κατηξιώ-
μεθα, μὴ δῆτα ὦ πάντων ἐμοὶ προσφιλέστατε. ἀλλ' ἀρρενωπότε-
ρον ἡμῖν τὸν φίλον ἀποδείκνυε. ἀσπάσαι μου ἡ οἰκία κατεδεήθη
προσειπεῖν σε ὑπὲρ αὐτῆς. προσείρηκα οὖν παρὰ πάντων, ἑκάστου
μόνου, οὐκ ἐγχέαντος τὴν ψυχὴν τῇ προσρήσει. καὶ αὐτὸς ὑπὲρ
ἡμῶν τὸν ἰσοπρόσωπον τὴν πρόσειπε παρακαλῶ.

## Τοῦ αὐτοῦ.

Ἡ θαυμαστὴ εἰδυῖα κομιστὴ δυοῖν ἐπιστολῶν ἑνὶ χρῶμαι.
μ ἀλλὰ πρῶτον μὲν αἰθανοῦ δίκας ὑπέχων ἐγκλήμα-
τος ἀκαίρου. καὶ ἐμφοροῦ τῆς ἀδολεσχίας ἡμῶν. εἶτα
καὶ χρείαν ἑτέραν ἐθέλωμεν πληρῶσαι, τὰ δεύτερα γράμματα.
αὐτῶ παρὰ τὸ ἐν ἰάμβοις ἐκεῖνο συντάγματιον. διοῦ πρὸς τὴν
ψυχὴν ὁ ἐγγραφεὺς διαλέγεται. ἐπεὶ τότε μὲν ὤμην ἀπὸ τῆς μνή-
μης αὐτὸ συναθροίσειν. νῦν δὲ κινδυνεύει τὸ αὐτὸ εἶναι μηδὲν εἶναι πρὸς
ἐκεῖνο. ἀλλ' αὖ ἐπιτρέψω τὸ γράφειν, γνώμῃ μᾶλλον ἢ μνήμῃ χρήσομαι.
καὶ ἴσως μὲν χεῖρον. ἴσως δὲ βέλτιον. ἐμὲ δεῖ τίκτειν δὶς τὸν αὐτὸν τό-

κου, ἔχον ἔχειν τὸ πεπονημένον. ἀντίγραφον οὖν τῆς τετράδος ἀπέστειλα πρὸς αὐτῆς τῆς ψυχῆς, ἣν κοσμεῖν βούλεται τὸ βιβλίον. ἀλλ᾽ ὅπως ταχέως τε καὶ ἀσφαλῶς. τοῦτο δέ ἐστιν· εἰ διὰ τῶν πάντως ἀποδωσόντων ποιήσεις. τῷ γὰρ παρὰ θατέρου διαμαρτεῖν πάντως οὐ πείσεσθε. καὶ χαλεπώτερον ἀποστείλῃς, ὑστερήσει γάρ μου τῆς παρουσίας, καὶ δῷς τῷ μὴ πάντως δώσοντι.

## Τῷ αὐτῷ.

ϛ Οὐ μὲν Ὀδυσσέα διὰ τῆς ἐπιστολῆς ἐπῄνουν, πολλῶν ἐπαινεσάντων, ἐπὶ τὴν μνήμην τοῦ ἥρωος. τὸν δὲ πρὸ Τροίας ἠγνόησας. σὲ μὲν γὰρ ὄντα τοιόνδε, καὶ ἡμιθέων φανῆναι οὐκ ἀπεικός. ἐγὼ δὲ ἄλλο μέν τοι σοφός. κατὰ δὲ τὸ Δελφικὸν γράμμα, ἐμαυτὸν ἐγνωκὼς, καταδικάζω πενίαν τῆς φύσεως. καὶ ἀπογινώσκω τὴν εἰς ἥρωας οἰκειότητα, πλὴν ὅσον μιμητὴς εἶναι τῆς ἐχεμυθίας ἀνεζώμην. ἣν καὶ αὐτὴν σύ μοι συνέχεας κατὰ τὸν ἐκ Σπάρτης Μενέλεων. ὥστε κινδυνεύειν σου συνωρίδι προσήκειν ἡρώων. οὐκ Ὀδυσσεῖ μόνῳ. ταῦτα μὲν ταύτῃ. τὴν δὲ ἀνεπιτηδειότητα τοῦ γράφειν, μεμψάμενος, οὐκ εἰ δίκαιος ἀπαιτεῖν πλῆθος ἀγωνισάντων γραμμάτων. διὸ συνέστειλα τῆς ἐπιστολῆς τὸ μῆκος ἵνα μὴ πόνος ἢ πλείων, ἀναγινώσκοντι πλείονα. ἔρρωμαι. εὐθύμως διαβιώης, φιλοσοφίᾳ χρώμενος εἰς τὸ θεῖον πολιτεύσῃ ἀξίωμα. τὸν θαυμάσιον Κόμητα, πρόσειπε. πρὸς ὃν αὐτὸ προσωπικῶς πεποιθὼς προσρήσεις ἑαυτοῖς οὐκ ἐπέστειλα μέν. τὸ δὲ ἐκ τῆς πείσεως, ἄρχε. σὺ δὲ ἡμῶν φιλεαυτέρος, πλέον μὲν τῆς στάσεως ἄρχεσθαι, δίκαιον τὸν νέον. φιλοφρονοῦ-μενος ἢ τὸν πρεσβύτερον. καί τοι περὶ ἐμοὶ τίμιος ὁ ἀνήρ, καὶ πάντως ἄξιος ὃς παιδείαν καὶ στρατείαν, διαπρέπει χρωμένας θεσμοῖς μεγάλοις τῶν ἐφημῶν μόνος εἰς ταυτὸν ἤγαγε, παλαιάν τινα ἐξ ἄλλου ῥοὴν, ἐν τοῖς

ἐπιτη

ἐπιτηδεύμασι τούτοις συγγένηται. μεγαλόφρων δὲ ὤν, ὡς οὐδείς πω στρατιώτης ἐκ γειτόνων τῆς μεγαλοφροσύνης παροικοῦσαν τὴν ἀλαζονείαν ἐκφεύγει. τὸν οὖν τοιοῦτον κἂν μὴ γράφω, ἀλλὰ κἂν μὴ θεραπεύω, τιμῶ.

Τῷ αὐτῷ.

Ὑπὲρ ἐμποδὼν τοῦ ὡμολογημένα πρὸς ἡμᾶς ὦ φιλότης. μὴ ἔκπυστα ποιεῖν τὰ ἄξια κρύπτεσθαι. ὡς ἐγώ τινων ἤκουσα τῶν ἀφικομένων παρὰ σοῦ, οἳ καὶ λέξεων ἐνίων μεμνημένοι, τὴν διάνοιαν ἴσασιν αὐτοῖς παρ' ἡμῶν ἀνακαλύπτεσθαι. ἀλλ' ὑμεῖς τὸν ἡμέτερον τρόπον, καὶ πρὸς αὐτοὺς οὔτε μεπεποιηθημένων τῶν συγγραμμάτων, οὔτε ἐπιγινώσκειν αὐτοῦ ἐφάμην. δεῖ δή σοι νουθεσίας οὐκέτι μετρίας ὦ φίλη κεφαλή. μικρὰ γάρ, ἢ ὥστε σε πείθειν. τὴν δὲ Λύσιδος τοῦ Πυθαγορείου πρὸς Ἵππαρχον ἐπιστολὴν ἐπιζήτησον. κἄν που περιτύχῃς, ἐμοὶ χάρισαι τὸ πολλάκις ἐπελθεῖν. τάχ' ἄν, ἰσχυρά σοι γένοιτο μετάνοια τῆς οὐδ' οὔσης ἐκ φαύσεως. τὸ γὰρ δημοσίᾳ φιλοσοφεῖν, οὕτω γάρ πως ὁ Λύσις ὑποσημαίνεσθαι λέγει, μεγάλης εἰς ἀνθρώπους ἦρξε τῶν θείων καταφρονήσεως ἐπεί τοι συγγεγονὼς ἐγώ τισιν οἶδα, οἳ πάλαι μέν, ἄτεχνοι, ἦν ἔναγχος ἄνθρωποι, οἳ διὰ τὸ προσαλλὰ ἀκηκοέναι ῥημάτων σεμνοτέρων, ὑπέστησαν ἑαυτοῖς, ὅπερ ἦσαν ἰδιώτας εἶναι. τῆς φύσεως ἐμπλησθέντες, ἐμόλυναν θεσπέσια δόγματα, μεταποιήσει δι' διδασκαλίας, ὧν οὐκ ἐντύχωσιν μαθήσει. ὁμοῦ τοι καὶ τοὺς θαυμασομένους τρεῖς τινας, ἢ τέτταρας, οὐδὲν ἀποδέοντας βαναύσους εἶναι τό γε κατὰ ψυχάς, ἀνηρτήσαντο. μὴ δὲ διὰ τῶν προπεπομμένων τινῶν ἐνίους ἡττημένους. δεινὸν γὰρ ἡ δοξοσοφία καὶ ἀπατηλόν, ἐν οὐκ εἰδόσιν. οὐδὲν ἀναδυόμενοι, καὶ πάντα ἀπειροσκέπτως τολμῶσι, τί γὰρ ἄν

ἀμαθίας γένοιτο θαῤῥαλεώτερον, τοιούτοις ἀνθρώποις ἀλαζόσι περιτυχὼν κηφῆσιν, οὔτε ἐπαΐουσι λόγων, οὔτε ἐφιεμένοις. μισήσας τὸ φῦλον, οὐχ ἑτέραν αἰτίαν εὑρίσκω τῆς τροφῆς αὐτῶν, ἢ τὸ ἀναγράφεσθαι καὶ πρὸ ὥρας ἠξιῶσθαι τὴν ἀρχήν. ἴσως ὑφ' ἑτέρων ὁμοίων, ὡς οἷόν τε πολυτελῶν ἀκροάσεων. ταῦτά τοι καὶ προμηθέστερος φυλάξαι αὐτός τε εἰμὶ, καὶ σὲ παρακαλῶ τῶν φιλοσοφίας ὀργίων εἶναι. ὅτι μὲν γὰρ Ἑρκουλιανῷ πρέπει ταῦτα, ἐγὼ γινώσκω. δεῖ δέ σε εἴπερ αὐτῇ φιλοσοφίᾳ γνησίως προσελήλυθας, ἀφίστασθαι κοινωνίας τῆς πρὸς τοὺς ἀποτρόφους αὐτῆς, καὶ νοθεύοντας τῇ μεταποιήσει τὸ ὑπέρσεμνον αὐτῆς. τὸν ἔφορόν σοι φίλιον θεὸν, μὴ διενέγκῃς πρός τινας τὴν ἐπιστολήν. εἰ γὰρ κινήσαις, οἱ τῆς κακίας χαρακτῆρες ἕξουσι λυπουμένους τοὺς ἐπιγινώσκοντας, παρ' ἑαυτοῖς ἢ τοῖς αὐτῶν φίλοις τὰ εἰρημένα σύμβολα. τὸ δὲ λυπεῖν, ἔστι μὲν ὅτε ἄῤῥεν. καὶ πρὸς τρόπον φιλοσοφίας, ὅταν πρὸς παρόντας. τὸ δὲ διὰ γραφῆς περὶ τούτων, μικροπρεπὲς δοκεῖ. ἀλλ' εἴπερ ἂν Συνέσιος πρὸς αὐτὸν διαλεχθείη, ταῦτα καὶ πρὸς τὴν τιμίαν σου κεφαλὴν, διαλέξεται, τοῦ μόνου φίλου, ἢ μετὰ δυοῖν μάλιστα φίλου. ὡς ἐμοί γε ἐκτὸς τῆς τριττύος ὑμῶν, οὐδὲν ἐστὶν ἀνθρώπινον τίμιον. προσκείμενος δὲ καὶ αὐτὸς, τάχα συμπληρῶ τετρακτὺν ἱερᾶς φιλίας. ἀλλ' εὐφημείσθω τῆς ἐν ἀρχαῖς ὁμωνύμου τετρακτύος ἡ φύσις. ἐν τῷ τετραδίῳ τῶν ἰαμβείων, εὗρον ἐπὶ τέλους τοὺς δώδεκα στίχους γραφέντας ἅμα ὡς ἓν ὂν ἐπίγραμμα. ἐπεὶ οὖν σε εἰκὸς ἔχειν αὐτοὺς, ἴσθι ὡς οὔτε ἓν ἐστὶν οὔτε ἑνός. ἄλλοι μὲν ὀκτὼ πρῶτοι μετ' ἐπιστήμης γραφέντες κινητικῆς, μιγείσης ἕξεως ἀστρονομικῆς, εἰσί τοι σοῦ φίλου. οἱ δὲ τελευταῖοι τέσσαρες, ποιητικῆς εἰσὶ, τρυφώσης μόνον.

ἔστιν

ἐστὶν ἀρχαῖον. ἡγοῦμαι δὲ ἀσεβέστερον ἀποθανόντων λόγοις κλέπτειν ἢ θοιμάτια, ὃ καλεῖται, τυμβωρυχεῖν. ἐρρωμένως διαβιώης εὐαγῶς καὶ εὐλαβῶς φιλοσοφίας ἀντιποιούμενος. εἴκοσι τοι με-σωλὶ ἡμέρας συντίθεμαί σοι περιμένειν σε. μεθ' ἃς σὺν θεῷ περὶ ὁδοῦ ἕξομαι. τὸν ἀγαθώτατον ἑταῖρον, πολλάκις μοι πρόσειπε. φιλῶ γὰρ αὐτὸν, διότι σε πάνυ φιλεῖ.

Τῷ αὐτῷ.

Φοιβάμμων ὁ τὴν ἐπιστολὴν ἐπιδιδοὺς, καὶ ἀνήρ ἐστιν ἀγαθὸς καὶ φίλος. καὶ ἀδικεῖται. διὰ πάντα οὖν αὐτῷ συλλαβέσθαι δίκαιος εἶ. καὶ δι' ἡμᾶς. καὶ διὰ τὸν τρόπον. καὶ διὰ τὴν περίστασιν. τοῦτο μὲν οὕτω γινέσθω. καὶ σαφῶς ἔοικε σφόδρα πιστεῦσαι τῇ πρὸς ἀλλήλους ἡμῶν εὐνοίᾳ. σοῦ γὰρ δεόμενος, ἐπ' ἐμὲ κατέφυγε, πεθαρρηκὼς, ὅτι δι' ἐμοῦ, σοῦ τεύξεται καὶ ὑπεσχόμην αὐτῷ τὸν Ἑρκουλιανὸν, διὰ Συνεσίου. τὸ δὲ νικᾷ τοὺς λυποῦντας, δι' Ἑρκουλιανοῦ περὶ ἱερᾶς καὶ τιμίας κεφαλῆς. περὶ τοῦ κόμητος ἐγγραφῆς δι' ὑπ-σκηνίῳ, λέγω δὲ τοῦ τυχόντος ἀρχῆς τῆς ἐν τῇ πατρίδι στρατιωτῶν καὶ ᾔτεις συνθήματα παρ' ἡμῶν, τοῦ γενέσθαι, παρὰ τῶν δυναμένων τοῦτο ποιεῖν τῶν φίλων, γράμματα πρός τε αὐτὸν καὶ πρὸς τὸν ὀρδινάριον ἄρχοντα. τὴν μὲν οὖν προαίρεσιν, ἀποδεχόμενος καὶ τότε τὸ δὲ ἔργον, ὡς παρέλκον, ἠρνούμην γυμνὸν ἐμαυτὸν εἰς φιλοσοφίαν ἱστάς. νῦν δὲ ἀδικούμενοι φίλοι καὶ ἰδιῶται καὶ στρατιῶται, βιάζονταί με βούλεσθαι μεταποιεῖσθαι τῆς πολιτικῆς δυνάμεως. πρὸς ἣν ἀποπεφυκὼς, οἶδα. καὶ αὐτοί μοι τοῦτο συνίσασιν. ἀλλὰ βιάζονται σφῶν ἕνεκα, ποιεῖν τι καὶ ἀκούσιον. νῦν οὖν εἰ δοκοίη σοι τοῦτο ποιεῖν, ἐπιτρέπω. πρόσειπέ μοι τὸν ἱερὸν ἑταῖρον τὸν διάκονον. καὶ γυμναζέσθω πρὸς αὐτὰ ταῦτα τὴν ἱππικήν. προσαγορεύει σε πᾶς μου ὁ οἶκος. προσγενομένου αὐτῷ νῦν

καὶ Ἰσίωνος. ὃν ἐπόθεις ἀπὸ διηγημάτων, ὅς αἴτιός μοι γέγονε, τῶν ἀγεννοῦς καὶ ἀφιλοσόφου τῶν γραμμάτων αἰτήσεως· πρὸς τοὺς ἄρχοντας, κατὰ δὲ ἀθεὸς τὰ μὲν, αὐτοπρόσωπος ὑπὲρ πολλῶν, τὰ δὲ δι' ὧν ἐκόμισεν ἐπιστολῶν, καὶ οὗτος οὖν σε μέχρι τῶν διηγορευμένων ἀκούσεως περιμενεῖ.

Τῷ αὐτῷ.

Ἱκέτης ἐμὸς ἕδρα πέπλυσεν· οὐ τῶν πατρῴων τῶν ἐμῶν, οὐδὲ τῶν ἄλλως συντραφέντων ἐμοί, ἀλλ' οἷς γε παρ' ἐλευθερίου μεταχόντες καὶ μικροῦ δεῖν λέγειν ὁμοτίμοις ἀγόμενοι, φιλοῦσιν ὡς αἱρετὸν ἄρχοντα μᾶλλον, ἢ δεδίασιν ὡς νόμῳ δεσπότην. ἀλλ' ὁ Φιλορώμαιος, τοῦτο γὰρ ὄνομα τῷ διαπεπτηκότι, ἀδελφιδῆς μου τῆς Ἀμελίου θυγατρὸς οἰκέτης ὤν, ἐμὸς γίνεται δι' ἐκείνης· τραφεὶς δὲ ἐκ μελλῆς καὶ ἀναγωγῆς φιλόσοφον καὶ λακωνικὴν ἐπιστασίαν οὐκ ἤνεγκε. καὶ νῦν ἀντ' ἐμοῦ δεσπότην εὑράμενος ἀλεξανδρέα, πεζινος ἐμετ' ἐκείνου τὴν αἴγυπτον. ἀρτοκρατίων τις ὧδε τῶν ἡρακλειανοῦ δορυφόρων τάξιν ἔχων τοῦ βοηθοῦ βοηθεῖν· ἡ γὰρ σου βαδίου βαλέξις, τοῦτο ἑρμηνεύειν πιστεύεται. τούτῳ συνέστιν ὁ φιλορώμαιος. κἀγὼ τὸ μὲν, εἴασα ἄν, χαίρειν αὐτὸν. τοῦ παρὰ εὔλογον τὸν μὲν χείρω τῶν βελτιόνων μὴ δεῖσθαι. τοὺς δὲ βελτίονας ὁμολογοῦντας εἶναι, δεῖσθαι τοῦ χείρονος. ἀλλ' ἡ δέσποινα τοῦ κακοδαίμονος, οὔπω πείθεται πάνυ φιλοσοφεῖν, ὥστε καταφρονεῖν τῶν οὐκ ἀντεχομένων. καὶ κατεδεήθη πολλὰ, σε λῦσαι τοὺς ἐπαλλάξοντας αὐτόν. ὑπέστη δὲ τὴν ὑπηρεσίαν αὐθαίρετος ὁ σύσκηνος ἡμῶν Ἀθηναλῆς ὃν ἐγὼ θεῖόν τε ὑμῖν θαρρῶν ἔστειλα, καὶ ἀνθρωπίνην ἐπικουρίαν ὑποσχόμενος, τὴν παρὰ σοῦ. ἔπεστι τὴν

ἐπιστολὴν

ἐπιστολὴν ἐπιδοθῆναι. τὰ δὲ ἐντεῦθεν, ἐπειδὴ παρείληφας τὴν ὑ-
πόθεσιν, θεῷ καὶ αὐτῷ σοὶ καὶ ἀδελφῷ μελήσει.

Τῷ αὐτῷ.

ε Πιθυμήσας ἀρρενῶσαι τὴν ἱεράν σου ψυχὴν τῷ δὲ ἐπιστο-
λῶν ἐπιπλῆξαι περὶ σφοδρῶς διὰ τὴν συντυχίαν ἡμῶν
συστάσεως, πολλῷ πρότερον ὑπὸ τοῦ κατακλυσμοῦ τῶν ἐν τοῖς
ἐπιστολαῖς ἰύγγων, αὐτὸς ἐθηλύνθην. καὶ εἰμὶ νῦν τοιοῦτος, ὁποίῳ
σοι τυγχάνοντι πρότερον ἐνεκάλουν. ἀρθεὶς ἀγαθῶν μοι μεγάλων αἴ-
τιος ὁ θαυμάσιος Ἑρκουλιανὸς, οὕτω τὴν ἐμὴν ψυχὴν ἀρτήσας
ἑαυτοῦ, καὶ καταβιβάσας τοῦ φιλοσόφου ἀξιώματος, ἐγὼ μὲν οὐ
δι' ἄλλο, ὅτι τὰς σειρῆνας ὑπὸ τῶν ποιητῶν ἡγοῦμαι βλασφημεῖσθαι, ἢ ὅτι
τῶν μελιχρῶν διὰ φωνῆς ἀπόλλυον προσαγόμεναι τὸν πιστεύσαντα.
ἤκουσα δέ του τῶν σοφῶν, καὶ ἀλληγοροῦντος τὸν μῦθον. σειρῆνας
γὰρ αὐτὰς αἰνίττεσθαι τὰς ἀπολαυστικὰς ἡδονάς. αἳ τοὺς ἕξαντας
καὶ καταγοητευθέντας αὐτῶν τῇ προσηνείᾳ, μετὰ μικρὸν ἀπολ-
λύουσι. τί οὖν ἀποδέουσιν εἶναι σειρήνων, αἱ τῶν σῶν ἐπιστολῶν ἡδο-
ναί. ὑφ' ὧν ἐγὼ τὸ ἐμβριθὲς ἀφεὶς, ὅλος Ἑρκουλιανοῦ γέγονα. μάρ-
τυς θεὸς, οὐ νόμῳ τοῦ γράφειν, ἀντὶ ἄλλου τοὺς περὶ τούτου πε-
ποίημαι λόγους, ἵν' ὑπόθεσιν ἔχω γραμμάτων. ἀλλὰ τῶν παρ' ἐ-
κείνου δοθεισῶν ἐπιστολῶν, ἦσαν δὲ τρεῖς, ἡ μέση κατὰ τὸ μέγε-
θος ἐμβιόντι τῆς ψυχῆς πάθος ἐνέσταξέ μοι κομίσασα. καὶ γέγονα διὰ
ἐν τοῖς γράμμασι κολακείας ἥττων τοσοῦτον, ὅσον αἰσχύνεσθαι.
τὸν ἀδελφὸν Κῦρον ἔδει κομίσασθαι παρὰ σοῦ γράμματα πε-
ρὶ ὧν ἐδήλωσας διὰ τὸν ἐκ πενταπόλεως κόμητα. ἔτι χάριν μὲν ἔ-
χω τῇ προαιρέσει τοῦ συστήσαντος. ἐπελάθου δὲ ὅτι φιλοσοφεῖν
πειρώμεθα, ἃ μικρὸν ἡγούμεθα τιμὴν ἅπασιν, εἰ μὴ ὑπὸ φιλοσοφίας

δέομαι οὖν διὰ τὸν θεὸν οὐδέν, οὔτε παρὰ ἀδικοῦμεν. οὔτε ἀδικού-
μεθα. τὸ δὴ τοιοῦτον, ἐκείνῳ μὲν ὑπὲρ ἡμῶν ἔπρεπε ποιεῖν. ἡμῖν
δὲ αἰτεῖν, οὐ πρέπον. οὐ γὰρ ἔδει ζητεῖν ἐπιστολάς, αἰτεῖν ἔδει πρὸς
ἐμὲ γενέσθαι. οὕτω γὰρ ἂν ἐτιμήθην, οὐχ ὑπὲρ ἡμῶν πρὸς ἑτέρους.
ἐρρωμένως. εὐθυμῶν διαβιώης, φιλοσοφίαν ἀθλῶν ταῖς μετιών.
πᾶσα ὁ μουσεῖ ἡ οἰκία, μάρτυς θεός, καὶ παῖδες. καὶ γέροντες. καὶ γυναῖ-
κες, προσαγορεύουσιν. ἴσως δ' ἂν αὐτὸς καὶ φιλοφρονουμένας
τὰς γυναῖκας, μισοίης. ἰδοὺ τί πεποίηκας. ἐν ὁδῷ με ὄντα, ἀ-
πρὶξ λαβόμενος κατέχεις. ἦσαν ἄρα αἰγύπτιοι φαρμακεῖς, καὶ οὐ
πάντα Ὅμηρος ψεύδεται, ὅπερ αὐτὸς ἐγγύων πλήρεις ἐπιστολὰς
ἐκπέμπεις ἀπ' αἰγύπτου. Ἑλένῃ μὲν οὖν τὸ λαθικηδὲς φάρμα-
κον Πολύδαμνα πόρε Θῶνος παρακοίτις. σοὶ δὲ τίς τὸ ἀνιαρὸν δέ-
δωκεν, ᾧ χρίσας ἔπεμψας τὴν ἐπιστολήν.

Ἰωάννῃ.

ō Ἱμαίσει καὶ πρὸ εὐχῆς σου πράττειν, ὅς γε ἀφεὶς τοὺς ἀνθρώπους
ἡμᾶς ἀεὶ τῆς ἐν λιμῶνι κατὰ σκότον ἐλάσκοντας, καὶ τοὺς
χρονίαις ἐγκαλινδουμένους φροντίσιν, αὐτὸς ὑπὲρ πάντας στήσας
σεαυτὸν, ἀνεχώρησας, ἔτι δεῦρο ὤν, καὶ μακαρίας ἥψω ζωῆς, εἰ μὴ
φίλος ὢν Γάνος ἐν τῷ λέγειν καὶ διαγγέλλειν τὰ σὰ πρὸς ἡμᾶς, οἴε-
ται δεῖν τι ψεύδεσθαι. δεινὸν παρὰ ἡδύμοια, κλέψαι τὴν ἀλήθειαν
οὕτως οὖν ὁ Γάνος ἐπεφήμισέ σοι τὸν μονήρη βίον. καὶ πρόφασιν τῆς
εἰς τὴν πόλιν εἰσόδου, βιβλία νοῶ αὐτῶν ὅσα εἰς θεολογίαν τεί-
νει. καὶ φαιὸν τριβώνιον ἀμπέχεσθαι σε φησίν. οὐδὲν μὲν ἦν μέσον, εἰ καὶ
λευκὸν ἦν. τῇ δὲ φανωτάτῃ φύσει, μᾶλλον ἀνακείμενον εἴη τὸ ἐν
τοῖς αἰσθητοῖς καθαρὸν καὶ φωτοειδέστερον. εἰ δὲ καὶ τὸ μέλαν ἐπι-
τετήδευσας, ἐπειδὴ ζήλῳ τινῶν προλαβόντων ἐποίησας, ἐπαινῶ ποιῶν τὸ

ἐπὶ τοῦ θεάτρου γινόμενον. τὸ γὰρ οὐ χαίρειν γίνεται, δίδωσι κατορθοῦν τῷ ποιοῦντι. καὶ ἡ προαίρεσις ἔχει τὴν ἀρετήν. ἡμεῖς μὲν οὖν σοι συνηδόμεθα, χαίρει δὲ ὡσαύτως τὸ τέλος, ὅπερ ἡμεῖς πάλαι σὺν τῷ νῷ μόλις θυροκοπούμενοι. σὺ δὲ ἡμῖν συνέζευξαι, φθάσαι ποτὲ καὶ αὐτοῖς, καὶ εὑρέσθαι τι κέρδος ἀπὸ τῆς ἐν φιλοσοφίᾳ μεθειμένης, ἵνα μὴ τηναλλῶς ὦμεν κατατετριφότες πρὸς τοῖς βιβλίοις, τὸν βίον. ἐρρωμένως. σὺ δαιμονῶν. διαβιώης θαυμασίως. Ἰωάννῃ.

α Πάλιν που τὴν τάξιν τῶν φόρων. τί γὰρ ἦν ποιεῖν, οὐδενὸς ἐλλιμένου τὴν Λιβύην ἐπῳκηκότων θέλοντος εἰς τὴν περαίας θάλατταν ἐκπέμπειν ὁλκάδας. καὶ σὲ δὲ ἀφίημι τῆς συντάξεως. οὐδὲ γὰρ οὔροις ἐπιμελῶς κατάρξειν εἰς τὰ κυρηναίων ἐπίνεια. λάθοι δ᾽ ἄν με τοῦτό ποτε καὶ γενόμενον. οὐ γὰρ εἰμὶ γείτων θαλάττης. οὐδὲ ἐλλιμενίζω συχνά. ἀγεννῶς ᾤκισμαι πρὸς νότον ἀνέμου κυρηναίων ἔσχατος. οἱ γείτονες ἡμῖν εἰσιν. οἵους Ὀδυσσεὺς κατὰ τὴν ἰθάκην, τὸ πηδάλιον ἔχων ἐζήτει, μῆνιν ποσειδῶνος ἐκ τοῦ χρησμοῦ παραιτούμενος. οἳ οὐκ ἴσασι θάλασσαν ἀνέρες. οὐδέ θ᾽ ἅλεσσι μεμιγμένον εἶδαρ ἔδουσιν. ἀλλὰ μὴν λόγον ἄλλως εὐήθης, τὸ μὴ δὲ μέχρις ἁλῶν τοὺς δεῦρο κεχρῆσθαι θαλάττῃ, μήτε μὴν αὔαλα, διὰ τοῦτο κατεσθίειν ᾔσθου τὰ κρέα τε καὶ τὰ πέμματα. εἰσὶ νὴ τὴν ἱερὰν ἑστίαν, εἰσὶν ἠπειρῶται παρ᾽ ἡμῖν ἅλες, ἀπέχοντες πρὸς νότον ἔλαττον, ἢ πρὸς ἀπαρκτίαν ἡ θάλαττα. τούτοις ἄμμων ὁ καλούμενος τοὺς ἅλας. πέτρα δὲ αὐτοὺς ψαφαρὰ καὶ ξηρὰ καὶ κρυπτὴ φέρει ὅταν ἀφέλῃς ἐπιβεβλημένην ὥσπερ ἐφελκίδα, ῥᾳστώνη πολλὴ χερσὶν ἢ σκαλίσιν ἀροῦν τὸ βάθος. τὸ δ᾽ ἀναχωννύμενον, ἅλες εἰσίν, ἰδεῖν τε ἡδεῖς ἀσυνόσαντες τὴν ἄλλην ἡδονήν. ἀλλ᾽ ὅπως μὴ σοφιστικὴν ἀπειροκαλίαν οἰηθῇς τὸ ἐπεξελθεῖν τῶν ἐπι-

χωρίων ἄλλων τῷ διηγήματι. ἥκιστα γὰρ τοῖς ἀγροικοῖς αὐτοῖς ἡμῖν προσίζανει τὸ φιλότιμον πάθος. ἀλλὰ σὺ γὰρ ἀπαιτεῖς ἕκαστα παρ᾽ ἡμῶν, τὰ περὶ ἡμῶν εἰδέναι. ἀνέχου τοίνυν ἀδολεσχούσης ἐπιστολῆς, ἵνα καὶ τῆς ἀκαίρου πολυπραγμοσύνης δῷς δίκην. ἅμα δὲ καὶ χαλεπὸν εἰς πίστιν τὸ εἰκάσαι ἀπότροφον· οὐ φαῦλον οὖν ἔργον εὗρον ἀναπεῖσαι περὶ χερσαίων ἄλλων, ἐπεὶ καὶ δεῦρο πράγματα ἔχω, περὶ νεῶν καὶ ἱστίων καὶ θαλάττης ἀνακρινόμενος, οἶσθα γὰρ ὡς ἐγὼ καὶ φιλοσόφων ποτὲ ἅμα ὑμῖν, ἐθεασάμην τὸ χρῆμα τοῦτο τὴν θάλασσαν. ἢ πρὸς Φάρῳ. ἢ πρὸς Κανώβῳ, τὴν μεγάλην λίμνην τὴν λαμυράν. καὶ εἵλκετο ναῦς. καὶ ἀνήγετο πρὸς οὖρον αὐτή. καὶ πῶς ἐκείνη. ἐπλάττομεν ἑκάστοτε αὐτὴν ἐμοῦ ζῷον τε λύποδη. οἱ δὲ, διακείνται τὰς γνώμας, ὥσπερ ἡμεῖς ὅταν ὑπὲρ τῆς ἐπέκεινα θούλης ἀκούωμεν, ἢ τῆς ποτὲ ἔστιν ἡ θούλη, διδοῦσι τοῖς διαβᾶσιν αὐτὴν ἀναδῦναι καὶ ἀνέγκλητα ψεύδεσθαι. ἀλλ᾽ οὖν τοί γε καὶ προσίωνται ποτὲ τὰ περὶ τῶν νεῶν, ἢ δόξωσιν ἐκεῖνο γελᾶν, ἀνακρατοῦς ἀπιστοῦσιν, ὅτι δύναται τρέφειν ἀνθρώπους καὶ θάλαττα. τοῦτο γὰρ μόνην ἔχειν ἀξιοῦσι τὴν μητέρα γῆν τὸ πρεσβεῖον. ἐγὼ δὲ ποτε αὐτοῖς ἀνακύπτουσι πρὸς τὰ περὶ ἰχθύων, ἀναλαβὼν ἢ προσαράξας πέτρῳ τινὶ κέραμον, ἔδειξα τῶν ἀπαγόντων ταρίχων συχνά. οἱ δὲ, ὄφεων πονηρῶν ἔφασαν εἶναι σώματα. καὶ ἀναθορόντες ἔφυγον, τοὺς ἀκάνθας ὑποπτεύοντες, ὡς οὐδὲν ἠπιωτέρας, τὸ διὰ τῶν ὀδόντων φαρμάκου. καὶ ἔφη τις ὁ γεραίτατος, ἐν τῇ δὲ ἕξει φρενῶν ἐμβριθέστατος, χολὴν γοῦν περὶ ὕδατος, ἀλυκῆς πιστεύουσι καλόν τι αὐτὴν ἡ τρέφεσθαι καὶ ἐδώδιμον, τῶν ποτίμων, τῶν ἀγαθῶν καὶ τιμίων ναμάτων, βατράχους καὶ βδέλλας γεννώντων ὧν οὐδ᾽ ἂν ὁ μαινόμενος γεύσαιτο καὶ εἰκότα γε ἀγνοοῦσιν. εἰ γὰρ σφᾶς ἐκινήσ

ἐπεὶ

ἐγείρει κῦμα ἐπιθρώσκον πελαγίοις. ἀλλ' ἵππων χρεμετισμοί. καὶ
μυκάζον αἰπόλιον. καὶ προβατίων βληχή. καὶ ταύρου μύκημα. πρώ-
της δὲ ἀκτῖνος ἐπιβαλούσης, τῶν μελιττῶν ὁ βόμβος, εἰς ἡδονὴν
λόγων οὐδεμιᾶς παραχωρῶν μουσικῆς. μέχρι συνδοκοῦμεν ἐκδύεσ-
θαι τὰς ἀσεμαύχου, τοιοῦτον οἰκοῦντες ἀγρὸν πόῤῥω πόλεως, καὶ
ὁδῶν καὶ ἐμπορείας. καὶ τρόπων ποικίλων. ἡμῖν γὰρ ἐστὶ σχολὴ μὲν
φιλοσοφεῖν. ἀσχολία δὲ κακουργεῖν. συνόδοι δὲ πᾶσαι πᾶσιν ἐπι-
εικεῖς, χρωμένων ἀλλήλοις ἐπὶ γεωργίαν. ἐπὶ ποίμνας. ἐπὶ ποι-
μένας. ἐπὶ θήραν ὧν ἡ γῆ φέρει παντοδαπήν. οὐδὲ γὰρ νόμος ἡ-
μῖν, οὔ τούτοις, οὔτε ποσοῖς, ἀνιδρωτὶ σῖτον αἱρεῖσθαι. ἀεισῶ μὲν δὲ
ἐπ' ἀλφίτοις. ἡδίστοις μὲν ἐμφαγεῖν. ἡδίστοις δὲ ἐμπιεῖν. ἃ καὶ τῷ
Νέστορι κίρνησιν Ἑκαμήδη με. τὰ τὸν κόπον ἰσχυρὸν ὁ κυκεὼν τῷ θε-
ρινῆς ὥρας ἀλέξημα. καὶ μὲν οὖν ἐστὶν ἡμῖν καὶ πίονα θρέμματα. καὶ ζῶ-
τὰ ἀκροδρύων, τὰ μὲν, ἥμερα. τὰ δ' ἄγρια. πάντα ἐγχώρια, γῆς
ἀρίστης; χυμοὶ καὶ κηρία μελιττῶν, καὶ γάλα ἐξ αἰγῶν. οὐ γὰρ νο-
μίζομεν βοῦς ἀμέλγειν. ποῖ δὲ οὐκ ἔλαττω τὴν ἀφθονίαν ἐν
ταῖς τραπέζαις; καὶ ἡ διὰ τῶν κυνῶν καὶ τῶν ἵππων θήρα. ἣν οὐκ οἶδα
πῶς ὁ προσεῖπεν Ὅμηρος; κυδιάνειραν. οὐδὲ ἀειπρεπέας ἔφη τοὺς
ἄνδρας; ἐν αὐτῇ πονεῖσθαι. τὴν δ' ἀγορὰν ἐγκωμίῳ τοιούτῳ τετίμη-
κεν, ἀνθρώπια παρεχομένην, ἀναιδῆ καὶ παμπόνηρα. καὶ οὐδὲν ὑ-
γιὲς. ἀλλὰ λοίδορα, καὶ κακοῤῥαφεῖν εἰδότα. ἐφ' οἷς καὶ γελῶμεν
ἡμεῖς ὅταν ποτὲ ἡμῖν ὁμόῤῥοφα γένηται. φείδονται γάρ τοι πρὸς
τὰ ἐκ τῶν καμίνων κρέα τὰ θηρία. καὶ τί λέγω τὰ θηρία. φαρμάκου
γ' ἂν θᾶττον, ἢ τούτων παρ' ἡμῖν γεύσαιντο. ζητοῦσι δὲ οἶνον μὲν τὸν
λεπτότατον. μέλι δὲ τὸ παχύτατον. καὶ ἔλαιον μὲν τὸ κουφότα-
τον. πυρὸν δὲ τὸν βαρύτατον. καὶ πατρίδας αὐτῶν ὑμνοῦσι κύ-

πρὸν καὶ ὑμήττιόν τινα. καὶ φοινίκην. καὶ βάρβαρον. ἡμῖν δὲ ἡ χώρα καὶ εἰ καθ' ἑκάστην ἡττᾶται, τῆς τὸ ἄκρον φερούσης, τοῖς λοιποῖς ἑκάστην νικᾷ. καὶ τοῦτ' ἔστι τὸ ἐκ δευτέρων πρωτεῖον. ὃ καὶ Γηλλὸς καὶ Θεμιστοκλῆς εὑρόμενοι, πάντων ἄριστοι τοῖς ἄλλοις ἐκηρύχθησαν. εἰ δὲ δὴ καὶ δοίημεν τὸ δεύτερον μέλι χεῖρον εἶναι πρὸς τὸ ὑμήττιον, ἀλλὰ τοιοῦτόν ἐστιν, οἷον παρόντος, οὐδὲν δεῖν τοῦ ξένου χυμοῦ. ἔλαιον μέντοι σαφῶς τὸ ἡμεδαπὸν ἄριστον, ἣν μὴ κρίνωσιν οἱ διεφθορότες τὴν διάνοιαν. ἐκεῖνοι μὲν γὰρ αὐτὸ, ζυγοστατοῦσι, ῥοπῇ τὴν ἀρετὴν ἐξετάζοντες. καὶ τὸ μεγασωζοῦ, ἐν πλεονεκτήματος μοίρᾳ λογίζονται. ἡμῖν δὲ οὐ χαλκεύονται μὲν ἐπὶ τοῦ λοιποῦ τάλαντα· φαμὲν δὲ εἴ τι περὶ αὐτὸ δέοι κρίνειν, φύσιν εἶναι τὸ πλέον ἕλκον τιμᾶν. ἀμέλει τὸ θαυμαστὸν αὐτοῖς καὶ ὤνιον ἔλαιον, ἐν τοῖς θρυαλλίσιν, ὑπ' οὐδενείας ἀσθενῆ θρέψαι φλόγα. τὸ δ' αὐτόχθον, ὑπὸ γενναιότητος πυρκαϊὰν ὅλην ἀνίστησι. καὶ ἐπειδὰν λυχνοῦχοι, χειροποίητον ἡμέραν ποιεῖ. ἀγαθὸν δὲ λιπᾶναι μάζας. ἀγαθὸν δὲ σωμασκοῦσι θρέψαι νεῦρα. ἡμῖν δὲ καὶ τὸ μουσικῆς χρῆμα ἐπιχώριον ὡς οὐδὲν ἄλλο. καὶ ἔστιν ἀγγαμαχητοῖς λυρειόν τι ποιμενικὸν λιτὸν καὶ αὐτόσκευον, εὔφημόν τε καὶ ἄρρεν ἐπιεικῶς, οὐκ ἀνάξιον τοῦ ἐν τῇ Πλάτωνος πόλει παῖδας ἐκτρέφεσθαι ὡς ἐλογίζετο τοῦτο. τὴν ἀρετὴν ἔχει τὸ παμφανῶς ἡρμόσθαι. τῶν δὲ ἀπὸ τῶν χορδῶν, συμβαίνουσιν οἱ προσᾴδοντες. τὸ δ' ἐπιτίθεσθαι ξυμφώνοις ὑποθέσεσιν, ἀλλ' ἔστιν ἡμῖν καλόν τι χρῆμα ᾠδῆς, ἔπαινος ἐνόρχου κριοῦ· ἢ ὁ μέσουρος λύκον, ἐγκωμίου τυγχάνει. ὅτι οἶμαι δικαιοσύνῃ τοὺς [illegible]νας οὐκ ὀρρωδῶν, λαρυγγίζων τοὺς λύκους. καὶ ὁ νικητής οὐχ ἥκιστα ᾠδῆς γίνεται, τοῖς κατανεμομένοις εἰρήνην ποιῶν. καὶ εὐωχῶν ἡμᾶς, πανδαισίᾳ κρεῶν. ἢ, τεθυμένος ὁ κριὸς ὄϊς, οὐκ ἀπαξιοῦται τῆς

λύρας

λύρας, ὅτι πλείω τῶν ἐτῶν ἐκτρέφει τὰ ἔκγονα. τὴν ἢ κεραυδὴν θαμὰ καὶ τὴν ἄμπελον ἐντείναντες ψάλλομεν. οὐδὲν δὲ ὅσον ἀρχαίως τινός. ἔτι τε ᾄσματος, καὶ αἰτήσεις ἀγαθῶν ἀνθρώποις. καὶ φυτοῖς καὶ βοτοῖς. ταῦτά σοι καὶ τὰ τοιαῦτα, παρῆ μὲν ὕλεια ἀρχαῖα καὶ πενήτων ἀγαθά. βασιλεὺς δὲ καὶ βασιλέως φίλοι καὶ δαίμονος ὄρχησις, οἷα δὴ συνιόντες ἀκούομεν, ὀνόματά τινα καθέντες αἱ φλόγες ἐπὶ μέγα τῆς δόξης ἐξαπτόμενα καὶ σβεννύμενα, ταῦτα δ' ὕβροι ἐπιεικῶς σιγᾶται. καὶ χολὴ ταῖς ἀκοαῖς τοιούτων ἀκροαμάτων. ἐπεὶ καὶ βασιλεύς, ὅτι μὲν ζῇ ἀεὶ, τοῦτ' ἴσως ἐπίστανται σαφῶς. ὑπομιμνήσκονται γὰρ ἅπαν κατ' ἔτος ὑπὸ τῶν ἐκλεγόντων τοὺς φόρους. ὅστις δὲ οὗτός ἐστιν, οὐ μάλα ἔτι τοῦτο σαφῶς. ἀλλ' εἰσί τινες ἐν ἡμῖν, οἳ μέχρι καὶ νῦν Ἀγαμέμνονα κρατεῖν ἡγοῦνται τὸν Ἀτρείδην, τὸν ἐπὶ Τροίαν. τὸν μάλα καλόν τε καὶ ἀγαθόν. τοῦτο γὰρ παιδόθεν ἡμῖν ὡς βασιλικὸν παραδέδοται τοὔνομα. καὶ Ὀδυσσέα τινὰ φίλον αὐτοῦ ὀνομάζουσιν οἱ χρηστοὶ βουκόλοι, φαλακρὸν μὲν ἄνθρωπον. ἀλλὰ δεινὸν ὁμιλοῦσαι πράγμασι πόρον ἐν ἀμηχάνοις εὑρεῖν. ἀμέλει γελῶσιν, ὅταν περὶ αὐτοῦ λέγωσιν ἡγούμενοι πέρισιν ἐκτετυφλῶσθαι τὸν Κύκλωπα, καὶ ὡς εἷλκε μὲν ὑπὸ τῷ κριῷ τὸ γερόντιον. τὸ δὲ κάθαρμα τὴν οὐρὰν ἔτεινε καὶ οὐραγεῖν ᾤετο τὸν ἡγεμόνα τῆς ποίμνης, οὐκ ἀχθόμενον τῷ φορτίῳ. τῇ δὲ αὐτοῦ συμφορᾷ συναχθόμενον. ἐγένετο βραχύ τι διὰ τῆς ἐπιστολῆς μεθ' ἡμῶν τῇ γνώμῃ. τεθέασαι τὸν ἀγρόν. εἶδες ἀπόλιν πολιτευμάτων. τὸν ἐπὶ Νῶε βίον ἐρεῖς, πρὶν γενέσθαι τὴν δίκην ἐνδουλεία.

Τῷ αὐτῷ.

Μὲν ἀεὶ καὶ ἀπὼν, ἐπιδημεῖς τῇ μνήμῃ. καὶ γὰρ οὐδ' ἂν εἰ πάνυ βουληθείημεν ἐπιλαθέσθαι, δυναίμεθα. τῆς γλυκυ

πότης σου ψυχῆς καὶ τῶν ἀδουλώτων ἠθῶν ἀδελφὲ διὰ πάντων θαυμάσιε, ὡς οὐδὲν ἂν ἐν ἡμῖν γένοιτο τῆς περὶ σὲ μνήμης ἱερώτερον ἢ τὸ πάλιν περιπτύξασθαι τὴν σεβασμίαν σου κεφαλήν. ὃ δοίη γε τε θεὸς, καὶ ἴδοιμέν σε. καὶ ἀκούσαιμέν σου τῆς ἡδίστης τῶν λόγων ἠχοῦς. ὅσοις δὲ ἡμᾶς καὶ οἷς ἀπέσφηλας. ἅπαντα παρεκομισάμεθα. ἔλθοι δή ποτε καὶ συντυχίας καιρὸς καὶ εὐτυχήσαιμι τοῦτο παρὰ θεοῦ.

Πυλαιμένει.

ο Υδὲ τὴν σὴν ἡράκλειαν ἀνήκοον οἶμαι γεγονέναι τοῦ παρ᾽ ἡμῖν φιλοσοφήσαντος Ἀλεξάνδρου. ἀνδρὸς ἅπαντα χρυσοῦ διαβάντος μετὰ δόξης. κωφὸς ἀνὴρ, ὃς ἡρακλῆς σῶμα μὴ περιβάλλει. τούτου παῖς, ἐμὸς ἀνεψιὸς, ἐπιδώσειν σοι τὴν ἐπιστολὴν, τὸν πατρῷον ζῆλον ὑπεισελθὼν, οὐ διὰ τῆς στολῆς. ἀλλὰ διὰ τῆς γνώμης. στέλλεται οὖν ἐπὶ πονηροὺς ἄνδρας, τὸν ἡρακλέους τρόπον ἐκκαθαίρων αὐτῶν τὴν πατρίδα. θεοῦ δὲ ἔδει δήπου καὶ Ἡρακλέους. οὐ μὴν ἀλλὰ καὶ Ἰόλεω συμμάχου καὶ παραστάτου. οὐκοῦν τὸν μὲν θεὸν ἑαυτοῦ ποιεῖται τὸν ἐνόντα τρόπον. καὶ προσηκόντως βίου τε ἀρετῇ καὶ γνώμης εὐσεβείᾳ. τὴν δὲ σὴν φιλίαν, ἀντὶ τῆς Ἰόλεω μνηστευόμεθα ἡμεῖς αὐτῷ διὰ τῆς ἐπιστολῆς. συνέστη δὲ τοσοῦτον αὐτῷ, ὅσον ἡμῖν. κἂν χρήσῃ τῇ φιλίᾳ τοῦ νεανίσκου, πάντως ἐρεῖς οὐ φαῦλον ἐπαινέτην ἐμέ.

Τῷ αὐτῷ.

οα Ρᾷ μοι μέλεις φιλόσοφος, ἆρα ἐκεῖνος ὃν ἀπολέλοιπα, Πυλαιμένης, ἡ νεοτελὴς ψυχή. τὸ σπέρμα τὸ θεῖον; φοβοῦμαι τὸν χρόνον τὸν ἀπὸ γενέσεως. πλέον φοβοῦμαι τὴν ὁμιλίαν τῆς ἀγορᾶς, τὸ ἐνδιαλινδεῖσθαι συχνοῖς ἤδη τύχαις καὶ πράξεσι, μὴ μολύνῃ τὸν ἁγιώτατον νεών. τὸν νοῦν σου, τὸν ἱερὸν, ὃν ἐγὼ μετ᾽ ὀλίγων ἀ-

ξιώτατοι

ξιώτατον ἡγοῦμαι εὐχὰ θεοῦ. καὶ οἶδα μὲν τοῖς συνοργιάσασί σοι τὰ φιλοσοφίας εὐχὴν ταῦτα ποιησόμενος. ἐπεὶ δὲ δὴ κρείττων ὁ τῆς πατρίδος ἔρως ἐγένετο, εὔξομαι ὅπου ποτὲ ὢν ᾖς, φιλοσοφίαν ἐργάζεσθαί σε κατὰ δύναμιν. τοιγαροῦν ἀσπάζομαι τὴν φίλην κεφαλήν, καὶ πάνυ πολλάκις ἀσπάζομαι τὴν φίλην κεφαλήν. καὶ σιγῶν, καὶ λέγων, καὶ γράφων. καὶ μὴ γράφων.

Τῷ αὐτῷ.

ὀ Ἴου με περιπτύξασθαι Πυλαιμένη αὐτὴν τὴν ψυχήν, αὐτῇ τῇ ψυχῇ. ἀπορῶ λόγων οἷς ἐκχέοιτο, ὅσον ἐστὶ τὸ τῆς γνώμης μετὰ τὸ βουλόμενον. μᾶλλον δὲ οὐδὲ αὐτὸ τὸ πάθος, ὅ τι ποτέ ἐστι τὸ περὶ σέ μου τῆς ψυχῆς ἐξευρεῖν ἔχω. ἐγένετο δέ τις ἀνὴρ δεινὸς τὰ ἐρωτικά. Πλάτων ὁ Ἀρίστωνος Ἀθηναῖος. εὔπορος εὑρεῖν. εὔκολος εἰπεῖν, ἐραστοῦ φύσιν. καὶ δή, καὶ ὅ, τι αὐτῷ γενέσθαι περὶ τὰ παιδικὰ βούλεται. καὶ ὑπὲρ ἐμοῦ τοίνυν ἐξευρηκώς τε ἔστω, καὶ εἰρηκώς. βούλοιτ' ἂν οὖν φησὶν ἡφαίστου τέχνῃ συντακῆναί τε καὶ συμφῦναι. καὶ ἓν ἄμφω γενέσθαι.

Τῷ αὐτῷ.

δ Ἰέτοις ἡμῖν ἀφικνεῖται παρὰ σοῦ γράμματα, ὥσπερ καὶ τοῦτο ὡρῶν φερουσῶν. ἐμοὶ μὲν οὖν ἴσως καρπὸς ἥδιον οὗτος, ἢ ὃν ἐκτρέφουσι μηνῶν κύκλοι καὶ γεωργοί. σὺ δὲ οὐκ ἂν εἰκότα ποιοίης, τῆς ἐπιτυχούσης ἡμᾶς εὐφροσύνης ἀποστερῶν. ἀλλὰ μετάθου τὴν γνώμην. καὶ ποίησον ἡμῖν τὸ γοῦν τῆτες εὐετηρίαν ἐπιστολῶν.

Τῇ φιλοσόφῳ.

τ Ητες ἐξήνεγκα δύο βιβλία· τὸ μὲν, ὑπὸ θεοῦ κινηθείς, τὸ δέ, ὑπὸ λοιδορίας ἀνθρώπων. καὶ γὰρ τῶν ἐν λευκοῖς ἔνιοι τρίβωσι καὶ τῶν ἐν φαιοῖς, ἔφασάν με παρανομεῖν εἰς φιλοσοφίαν, ἐπεὶ

οὔτε τοῦ κάλλους ἐν λέξεσι καὶ ῥυθμοῦ, καὶ περὶ Ὁμήρου τί λέγειν ἄξι-
ον ᾤοντο, καὶ τῶν ἐν τοῖς ῥητορείοις σχημάτων, ὡς δὴ τὸν φιλόσο-
φον μισολόγον εἶναι προσήκειν, καὶ μόνα περιεργάζεσθαι τὰ δαιμό-
νια πράγματα. καὶ αὐτοὶ μὲν θεωροὶ τοῦ νοητοῦ γεγονότες, ἐμὲ δὲ
οὐ θέμις, διότι νέμω τινὰ σχολὴν ἐκ τοῦ βίου. τῷ καὶ τὴν γλῶτ-
ταν ἐκκαθήρασθαι, καὶ τὴν γνώμην, ἡδίω γενέσθαι. ἐνῆγε δὲ αὐτοὺς
πρὸς τὸ καταδικάσασθαί μου πρὸς μόνην παιδείαν ἐπιτήδειον εἶναι,
τὸ τὰς κυνηγετικὰς ἐκ τῆς οἰκίας οὐκ οἶδ᾽ ὅπως διαῤῥυείσας,
σπουδασθῆναι διαφερόντως ὑπὸ νεανίσκων ἐνίων, οἷς ἑλληνισμοῦ
τε καὶ χάριτος ἔμελε, καί τινα τῶν ἐκ ποιητικῆς, ἐπιμελῶς ἔ-
χοντα. καὶ παραδεικνύντα τι τῆς ἀρχαίας χειρὸς, ὅπερ ἐπὶ τῶν
ἀνδριάντων λέγειν εἰώθαμεν. ἀλλ᾽ ἐκεῖνοι οἱ μὲν, ἀμαθίας ἡγεμό-
νες τοῦ θράσους, προχειρότατοι πάντων εἰσὶ περὶ τοῦ θεοῦ διαλέ-
γεσθαι. οἷς ἂν ἐντύχῃς, εὐθὺς ἀκούσῃ τινὰ περὶ τῶν ἀσυλλογίστων
συλλογισμῶν, καὶ μὴ δεομένων ἐπαντλοῦσι τὸν λόγον, ἰδίᾳ τι δο-
κῶ μοι διαφέρον αὐτοῖς. ἀπὸ γὰρ τούτων ἐν ταῖς πόλεσιν οἱ δη-
μοδιδάσκαλοι γίνονται, ὃ ταυτόν ἐστι καὶ τὸ κέρας τῆς ἀμαλθεί-
ας, ᾧ οὗτοί γε δεῖν οἴονται χρῆσθαι. ἐπιγνώσῃ δ᾽ εἰ μὲν τὸ φῦλον τοῦ-
το τὸ ῥᾴδιον, ὃ διαβάλλει γενναίαν ὑπόθεσιν, οὗτοί με μαθητιᾶν
ἑαυτοῖς ἀξιοῦσι. καὶ φασὶν ἀποφαίνειν ἐν τοῖς ὀλίγου τὰ περὶ
θεοῦ παντολμότατον, ἡμέρας ἑξῆς καὶ μύστας ἀποφαίνειν δυνά-
μενον. ἅτεροι δὲ, οἱ κάλλιον ἠθημένοι παρὰ πολὺ τούτων εἰσὶ κα-
κοδαιμονέστεροι σοφισταί. καὶ βούλονται μὲν ἂν ἐπὶ τοῖς αὐτοῖς εὐ-
δοκιμεῖν. ἀλλ᾽ ἀτυχοῦσι τὸ μὴ δὲ τοῦτο δύνασθαι. καὶ οἶδά τινας
ἐν λογιστηρίοις ἀποδύντας, ἢ πάντως ἀπορίας εἴπου συμφορᾶς

ἀνάγκῃ

ἀναπεισθέντας ἐν μεσημβρίᾳ τοῦ βίου φιλοσοφεῖν, ἀπὸ μόνου τοῦ τοὺς θεοὺς ἀπομόσαι καὶ καταμόσαι, πλατωνικῶς· οὐ φθάσειεν ἂν ἥσυχα φθεγξαμένη τι τῶν δεόντων. δεινὴ δὲ ὅμως ἡ προσποίησις. ἥ,τε γὰρ ὀφρὺς, βαβαὶ τῆς ἀνατάσεως, εἰς ὅσον ἦρται. καὶ ἡ χεὶρ ὑπερβάλλει τὸ γένειον. τά τε ἄλλα σεμνοπροσωποῦσιν ὑπὲρ τὰς Ξενοκράτους εἰκόνας. οἷς καὶ νομοθετεῖν ἡμῖν ἀξιοῦσιν ἅττα σφίσι λυσιτελέσεται, μηδένα μηδὲν ἀγαθὸν εἰδότα φανερὸν εἶναι, ἡγούμενοι σφῶν αὐτῶν ἔλεγχον, εἴ τις φιλόσοφος ἐπιστήσεται φθέγγεσθαι. αὐτοὶ γὰρ αὖ ὑπὸ τῇ προσποιήσει λαθεῖν καὶ δόξαι τἄνδοθεν εἶναι σοφίας ἀνάπλεω. ἄμφω μέντοι τούτω τὼ γένη καταβεβλήκατον, ὡς ἐπὶ τοῖς οὐδενὸς ἀξίοις ἐσπουδακότα. τὸ μὲν, ὅτι μὴ ταὐτὰ φλυαρῶ· τὸ δὲ, ὅτι μὴ τὸ στόμα συγκλείσας ἔχω, καὶ τὸν βοῦν τὸν ἐκείνων ἐπὶ τῆς γλώττης τίθεμαι. ἐπὶ τούτοις συνετέθη τὸ σύγγραμμα, καὶ ἀπήντησε τῶν μὲν, τῇ φωνῇ, τῶν δὲ, τῇ σιγῇ. προοίκεται μὲν γὰρ ὡς ἐπὶ τούτοις αὐτοὺς τοὺς ἀφώνους τε καὶ βασκαίνους πῶς οἷς μετὸν εὐπρεποῦς τοῦ σχήματος. οὐ μὴν ἀλλ' ἐξευρεῖν ὡς ἂν κἀκείνους συνεφελκύσαιτο. καὶ βούλεται μὲν πολυμαθείας οὐχ ἧττον ἐπίδειξις, ὃ ἐγκώμιον εἶναι. οὐ γὰρ ἔξω μουσῶν τὰς αἰτίας. ἀλλ' ἔτι μᾶλλον αἰτιῶντο, συχνὰ καὶ πεφιλοτίμηται. προϊὸν δὲ βίων αἱρέσεις ἐξετάζειν, ἐπαινεῖ τὴν φιλοσοφίαν, ὡς φιλοσοφωτάτην αἱρέσεων. ἣν παιδιάν τινα νομίζειν εἶναι χρὴ, τοῦ βιβλίου ὑποθεμένου. τελευτῶν δὲ καὶ ὑπὲρ τῶν κιβωτίων ἀπολελόγηται, ἐχόντων τινὰ καὶ τούτων αἰτίαν, ἀδιόρθωτα κρύπτειν βιβλία. οὐδὲ γὰρ οὐδὲ τῶν τοιούτων οἱ τελχῖνες ἀ-

(πέχονται. εἰ γ᾽ ἕκαστον

ἐν τάξει τῇ προσηκούσῃ τὰ πάντα σὺν ὥρᾳ, καὶ ἀφορμαὶ δύναιντο τῶν ἑκασταχοῦ προκεχειρισμένων. καὶ εἰ μερίζεται μὲν πλείοσι κεφαλαίοις κατὰ τὸ θεσπέσιον γράμμα, τὸν Φαῖδρον, ὃν περὶ πάντων ὁμοῦ τῶν εἰδῶν τοῦ καλοῦ Πλάτων διήνεγκε, μεμηχάνηται δὲ ἅπαντα συννεύειν ἐφ᾽ ἓν τὸ προκείμενον. καὶ εἴπου γέγονε πίστις ὑφέρπουσα, τὸ ὑπὲρ ἰάσιν διήγημα, καὶ εἰ προκαλεῖσθαι ὡς ἐν τοιούτοις ἀπόδειξις ἐκ τῆς πίστεως, ἢ εἰ τὸ δι᾽ ἄλλο γινόμενον, ταῦτα μὲν, τέχνης ἂν εἴη δῶρα καὶ φύσεως. ὅστις δὲ οὐκ ἀγύμναστος ἐπιφωράσαι τι καὶ πρόσωπον θεῖον ὑπὸ φαυλοτέρῳ κρυπτόμενον σχήματι, ὥσπερ ἐν τοῖς Ἀθήνησιν οἱ δημιουργοὶ, Ἀφροδίτην τε χάριτας καὶ τοιαῦτα κάλλη θεῶν, ἀγάλμασι σειληνῶν καὶ σατύρων ἀμπέχοντες, τοῦτον, οὐ λήσεται τὸ γράμμα, συχνὰ καὶ τῶν ἀβεβήλων ἀποκαλύψαν δογμάτων ὑπὸ τῇ προσποιήσει τοῦ παρέλκειν ἑτέροις λανθάνοντα, τὰ περὶ λίαν εἰκῇ καὶ ὡς ἂν δόξειεν ἀφελῶς ἐγκατεσπάρθαι τῷ λόγῳ. τῶν μὲν γὰρ ἐκ τῆς σεληνιακῆς αἰτίας ἀποψύξεων, οἱ νοσοῦντες ἐπιληψίαν, αἰσθάνονται μόνοι. τῶν δὲ κατὰ νοῦν ἐπιβολῶν, μόνοι δέχονται τὰς ἐκλάμψεις οἷς ὑπανοίγοι τὸ νοερὸν ὄμμα, φῶς ἀνάπτει συγγενὲς ὁ θεός. ὁ τοῖς τε νοεροῖς τοῦ νοεῖν, καὶ τοῖς νοητοῖς αἴτιος τοῦ νοεῖσθαι, καθάπερ τὸ τῇδε φῶς ὄψιν συνάπτει τῷ χρώματι. κἂν ἀφελὴς, παρόντος, ἡ πρὸς αὐτὸ δύναμις ἀνενέργητος. ὑπὲρ δὴ τούτων ἁπάντων σε κεινουσαν περὶ μὲν οὖν μὲν. καὶ μὴ ψηφίσῃ προσοιστέον εἶναι, ῥήτορσιν ἅμα καὶ φιλοσόφοις ἐκκείσεται. τοῖς μὲν γὰρ, ἥσει, τοῖς δὲ, ὀνήσει. πάντως γε, εἰ μὴ παρὰ σοῦ τῆς δυναμένης κρίνειν διαγράψεται. εἰ δὲ μὴ φανεῖταί σοι τῆς τῶν ἑλλήνων ἀκοῆς ἄξιον,

καὶ σὺ

καὶ σὺ δὲ ἤδη μετὰ τοῦ εἰς τὸ τέλος πρὸ τοῦ φίλου τὴν ἀλήθειαν θήσεις, πυκνὸν καὶ βαθὺ σκότος ἐπηλυγάσεται, καὶ λύσεται τοῖς ἀνθρώποις λεγόμενον. ταῦτα μὲν περὶ τούτου. θάτερον δὲ, θεὸς καὶ ἐπέταξε καὶ ἐπένευσεν, ὃ τῇ φανταστικῇ φύσει χαριστήριον ἀνατέθειται. ἔσκεπται δὲ ἐν αὐτῷ περὶ τῆς εἰδωλικῆς ἁπάσης ψυχῆς, καὶ ἕτερα ἄττα προκεχείρισται δόγματα τῶν οὔπω φιλοσοφηθέντων Ἕλλησι. καὶ τί ἄν τις ἀπομηκύνοι περὶ αὐτοῦ. ἀλλ' ἐξείργασται μὲν ἐπὶ μιᾶς ἁπάσης νυκτὸς, μᾶλλον δὲ λειψάνου νυκτὸς, ᾗ καὶ τὴν ὄψιν ἤνεγκε τὴν περὶ τοῦ δεῖν αὐτὸ συγγεγράφθαι. ἔστι δὲ οὗ τῶν λόγων, δίς που καὶ τρὶς, ὥσπερ τις ἕτερος ὢν, ἐμαυτοῦ γέγονα μετὰ τῶν παρόντων ἀκροατής. καὶ νῦν ὁσάκις ἂν ἐπίω τὸ σύγγραμμα θαυμαστή τις περὶ ἐμὲ διάθεσις γίνεται. καί τις ὀμφή με θεία περιχεῖται κατὰ τὴν ποίησιν. εἰ δὲ μὴ μόνον τὸ πάθος ἐμοῦ, καὶ περὶ ἕτερον δ' ἂν ταῦτα γένοιτο, σὺ καὶ τοῦτο μηνύσεις. σὺ γὰρ δὴ μετ' ἐμὲ πρώτη τῶν Ἑλλήνων ἐντεύξῃ. ταῦτα τῶν τέως ἀνεκδότων ἀπέσταλκα. καὶ ἵνα τέλειος ἀριθμὸς ᾖ, προσέθηκα τὸν περὶ τοῦ δώρου, πάλαι γενόμενον ἐν τῷ καιρῷ τῆς πρεσβείας πρὸς ἄνδρα παρὰ βασιλεῖ δυναστεύοντα. καί τι τοῦ λόγου τε καὶ τοῦ δώρου παντάπολις ὤνατο.

Δομετιανῷ σχολαστικῷ.

π Ἀνὴρ σαφῶς δι' αὐτῶν μεμαθηκὼς τῶν ἔργων τὴν σὴν θαυμασίαν κεφαλὴν, χαίρουσάν τε φιλανθρωπίᾳ, καὶ τοῖς δεομένοις χεῖρα βοηθείας ὀρέγειν, ἐπεὶ τὸ δὴ τοῦτο παρακαλῶ, ἵππον εἰς πεδίον τοῦτο δὴ τὸ τοῦ λόγου, προτρέπειν ἡγούμενος. καί σοι πλέον ἢ πρότερον ὦ φίλη κεφαλὴ νῦν τὴν φιλανθρωπίαν ἐπιδεικτέον. ὅσῳ καὶ τὸ πρόσωπον ἐλεεινότερον οἷς νῦν τὸ δυσπεισόμενον.

γυνή τε γάρ ἐστιν αὕτη καὶ γυνή, δυστυχήσασα χηρείαν, εἶτα σὺν ὀρφανῷ παιδίῳ, ταλαιποροῦσα, ἃ πέπονθεν· ὅς τις δέ ἐστιν ὁ ταύτην ἀδικήσας, καὶ ὅτι, καὶ ὅπως, αὐτὴ διδάξει τὴν σὴν καλοκαγαθίαν. ὅρα τοίνυν ὦ θαυμάσιε ὅπως ἐπιμελήσῃ τῇ γυναικὶ, ἢ διὰ τὸ καλῶς ἔχον καὶ διὰ τὸ σοὶ πρέπον, ἢ δι' ἐμέ· μεθέξω γὰρ ἔγωγε σοὶ κἀγὼ τῶν εἰς αὐτὴν γινομένων, συγγενίδα τε οὖσαν ἐμὴν, καὶ τεθραμμένην ὑπὸ μητρὶ κοσμίᾳ σώφρονος παρ' ἡμῖν.

Δομετιανῷ σχολαστικῷ.

τ Α δίκαια χρήζει συμμάχων. γίνονται δ' αὖ οἱ βοηθοῦντες αὐτοῖς εὐδαίμονες, τοῖς ὀρθῶς ἔχουσι συμπονοῦντες. εὕρομεν δή σε τούτων πρόβολον. γνώμῃ τε ἀμύνοντα καὶ τέχνῃ. τὸ μὲν ἐμὸν, ἅπασιν εὖ ποιεῖν οἷς ἂν δυνώμαι. δίδου δὲ αὐτὸς ἀφορμάς. εἰωθήσῃ γὰρ φιλίας, ἣν οὔτε αὐτὸς μέμψῃ, γελάσει τε ἴσως οὐδείς.

ΤΕΛΟΣ.

α ·β ·γ ·δ ·ε ·ς· Ἐξάδια· καὶ ζ τετράδιον.

# ΔΗΜΟΣΘΕΝΟΥΣ ΕΠΙΣΤΟΛΑΙ.
## ΠΕΡΙ ΤΗΣ ΟΜΟΝΟΙΑΣ.

ΑΝΤΟΣ ἀρχομένῳ σπουδαίου λόγου καὶ ἔργου ἀπὸ τῶν θεῶν ὑπολαμβάνω προσήκειν πρῶτον ἄρχεσθαι. εὔχομαι δὲ τοῖς θεοῖς πᾶσι καὶ πάσαις, ὅ, τι τῷ δήμῳ τῷ ἀθηναίων ἄριστον ἐστὶ καὶ τοῖς εὐνοοῦσι τῷ δήμῳ καὶ νῦν καὶ εἰς τὸν ἔπειτα χρόνον, τοῦτ' ἐμοὶ μὲν ἐπὶ νοῦν ἐλθεῖν γράψαι· τοῖς δὲ ἐκκλησιάσασιν ἀθηναίων ἑλέσθαι. εὐξάμενος δὲ ταῦτα τῆς ἀγαθῆς ἐπινοίας ἐλπίδα ἔχων παρὰ τῶν θεῶν, τάδε ἐπιστέλλω.

Δημοσθένης τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν.

Ερὶ μὲν τῆς ἐμῆς οἴκαδε ἀφίξεως, ἀεὶ νομίζω πᾶσιν ὑμῖν ἔσεσθαι βουλεύσασθαι. διόπερ νῦν οὐδὲν περὶ αὐτῆς γέγραφα. τὸν δὲ παρόντα καιρὸν ὁρῶν ἑλομένων μὲν ὑμῶν τὰ δέοντα, ἅμα δόξαν καὶ σωτηρίαν καὶ ἐλευθερίαν δυνάμενον κτήσασθαι οὐ μόνον ὑμῖν ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασιν ἕλλησιν. ἀγνοησάντων δὲ ἢ παρακρουσθέντων οὐ ῥᾴδιον αὖθις τὸν αὐτὸν ἀναλαβεῖν, ᾠήθην χρῆναι τὴν ἐμαυτοῦ γνώμην ὡς ἔχω περὶ τούτων εἰς μέσον θεῖναι. Ἔστι μὲν οὖν ἔργον δι' ἐπιστολῆς ἐμμεῖναι συμβουλῇ. πολλοῖς γὰρ εἰώθατε ἀπαντᾶν ὑμεῖς πρὸ τοῦ περιμεῖναι μαθεῖν. λέγοντι μὲν οὖν ἔστιν αἰσθέσθαι τί βούλεσθε, καὶ διορθοῦσθαι τὰ ἀγνοούμενα, ῥᾴδιον. τὸ δὲ βιβλίον οὐδεμίαν ἔχει βοήθειαν τοιαύτην πρὸς τοὺς θορυβοῦντας. οὐ μὴν, ἀλλ' ἐὰν ἐθελήσητε ἀκοῦσαι σιγῇ, καὶ περιμεί-

ρητε πάντα μαθεῖν, οἴομαι καὶ σὺν θεοῖς εἰρῆσθαι, καίπερ βραχέων τῶν γεγραμμένων ὄντων. αὐτός τε φανήσεσθαι μετὰ πάσης εὐνοίας τὰ δέοντα περὶ ὑμῶν πράττων, καὶ τὰ συμφέροντα ὑμῖν ἐμφανῆ δείξειν. οὐχ ὡς ἀπορούντων δὲ ὑμῶν ῥητόρων, οὐδὲ τῶν ἀσυλλογίστως ῥᾳδίως ὅτι ἂν τύχωσιν ἐρούντων, ἔδοξέ μοι τὴν ἐπιστολὴν πέμπειν· ἀλλ᾽ ὅσα τυγχάνω δι᾽ ἐμπειρίαν καὶ τὸ παρηκολουθηκέναι τοῖς πράγμασιν εἰδώς, ταῦτ᾽ ἐβουλήθην τοῖς μὲν προαιρουμένοις λέγειν ἐμφανῆ ποιήσας, ἀφθόνους ἀφορμὰς ὧν ὑπολαμβάνω συμφέρειν ὑμῖν, δοῦναι· τοῖς δὲ πολλοῖς ῥᾳδίαν τὴν τῶν βελτίστων αἵρεσιν καταστῆσαι. ὧν μὲν οὖν ἕνεκα ἐπῆλθέ μοι τὴν ἐπιστολὴν γράφειν, ταῦτ᾽ ἐστί. δεῖ δὲ ὑμᾶς ὦ ἄνδρες ἀθηναῖοι πρῶτον μὲν ἁπάντων πρὸς ὑμᾶς αὐτοὺς ὁμόνοιαν εἰς τὸ κοινῇ συμφέρον τῇ πόλει παρασχέσθαι· καὶ τὰς ἐκ τῶν προτέρων ἐκκλησιῶν ἀμφισβητήσεις ἐᾶσαι. δεύτερον δὲ πάντας ἐκ μιᾶς γνώμης τοῖς δόξασι προθύμως συναγωνίζεσθαι. ὡς τὸ μηδὲν μηδὲ ἁπλῶς πράττειν, οὐ μόνον ἐστὶν ἀνάξιον ὑμῶν καὶ ἀγεννές, ἀλλὰ καὶ τοὺς μεγίστους κινδύνους ἔχει. δεῖ δὲ μηδὲ ταῦτα λαθεῖν ὑμᾶς, ἃ καθ᾽ αὑτὰ μὲν οὐκ ἔστιν αὐτάρκη κρατεῖν πραγμάτων, προστεθέντα δὲ ταῖς δυνάμεσι, πολλῷ πάντ᾽ εὐκατεργαστότερα ὑμῖν ποιήσει. τίνα οὖν ἐστὶ ταῦτα. μήτε πόλει μηδεμιᾷ μήτε τῶν ἑκάστῃ τῶν πόλεων συγκεχωρισμένων τοῖς καθεστηκόσι, μήτε πικραίνεσθαι, μήτε μνησικακεῖν. ὁ γὰρ τοιοῦτος φόβος τοὺς συνειδότας αὐτοῖς ὡς ἀναγκαίους τοῖς συνεστηκόσι κίνδυνον ἔχουσι πρόδηλον, προθύμους συναγωνιστὰς ποιεῖ. ἀφεθέντες δὲ τοῦ δέους τούτου πάντες, ἠπιώτεροι γενήσονται. τοῦτο δέ, οὐ

μικρὰν

μικρὰ ὠφελῆσαι ἔχει. καίτοι μὲν δὴ πόλεις τὰ τοιαῦτα εὔηθες
προλέγειν· μᾶλλον δ' οὐδὲ ἐνδυνατῶ. ὡς δ' ἂν ὑμῖν αὐτοῖς ὀ
φθῆτε χρώμενοι, τοιαύτην καὶ κατὰ τῶν ἄλλων προσδοκίαν παρα
στήσετε ἑκάστοις. φημὶ δὲ χρῆναι μήτε πόλει μήτε στρατηγῷ,
μήτε ῥήτορι μήτ' ἰδιώτῃ μηδενὶ τῶν τὰ πρὸ τοῦ γε δοκούντων συγχω
ρεῖσθαι τοῖς καθεστηκόσι μήτε μέμφεσθαι μήτ' ἐπιτιμᾶν μηδέ
να μηδὲν ὅλως. ἀλλὰ συγχωρῆσαι πᾶσι τοῖς ἐν τῇ πόλει πεπο
λιτεῦσθαι τὰ δέοντα. ἐπειδήπερ οἱ θεοὶ καλῶς ποιοῦντες σώσαν
τες τὴν πόλιν, ἀποδεδώκασιν ὑμῖν ὅτι ἂν βούλησθε ἐξ ἀρχῆς
βουλεύσασθαι. καὶ νομίζειν ὥσπερ ἂν ἐν πλοίῳ τῶν μὲν ἱστίων τῶν
δὲ κώπαις ἀναφαινομένων κομίζεσθαι, λέγεσθαι μὲν ὑπ' ἀμ
φοτέρων ἅπαντα ἐπὶ σωτηρίᾳ, γεγενῆσθαι δὲ τὴν χρείαν πρὸς
τὰ συμβάντα ἀπὸ τῶν θεῶν. ἐὰν τοῦτον τὸν τρόπον περὶ τῶν
παρεληλυθότων ἐγνωκότες ἦτε, ἐπιεικεῖς πᾶσι γενήσεσθε, καὶ καλῶν
κἀγαθῶν ἀνδρῶν ἔργα πράξετε, καὶ τὰ πράγματα ὠφελήσετε
οὐ μικρῶς, καὶ τοὺς ἐναντιωθέντας ἐν ταῖς πόλεσιν ἢ μεταγνῶ
ναι ποιήσετε πάντας, ἢ κομιδῇ τινας αὐτοὺς αἰτίους κατα-
λειφθῆναι. μεγαλοψύχως τοίνυν καὶ πολιτικῶς τὰ κοινῇ συμ
φέροντα πράττετε καὶ τῶν ἰδίων μέμνησθε. παρακαλῶ δὲ εἰς
ταῦτα, οὐ τυχὼν αὐτὸς τοιαύτης φιλανθρωπίας παρ' ἐνίων, ἀλ
λὰ ἀδίκως καὶ στασιαστικῶς εἰς τὴν ἑτέρων χεῖρα προτεθείς. ἀλ
λ' οὐδὲ τὴν ἰδίαν ὀργὴν ἀναπληρῶν, τὸ κοινῇ συμφέρον οἴομαι
δεῖν βλάπτειν. οὔτε μισῶν μὲ τῆς ἰδίας ἔχθρας, εἰς τὰ κοινῇ
συμφέροντα τὸ δεῖν. ἀλλ' ἐφ' ἃ τοὺς ἄλλους παρακαλῶ, ταῦτα αὐτὸς
οἴομαι δεῖν πρῶτον ποιεῖν. αἱ μὲν οὖν παρασκευαὶ ἃς δεῖ φυλάξασθαι

καὶ ἃ πράττωσί τις ἂν κατανθρώπινον λογισμὸν μάλιστ᾿ ἂν κα-
τορθοίη, σχεδὸν εἴρηται μοι. τοῖς δὲ καθ᾿ ἡμέραν ἐπιστατοῦσι καὶ
τοῖς ἐκ τοῦ παραχρῆμα συμβαίνουσιν ὀρθῶς χρῆσθαι καὶ συνιδεῖν
τὸν ἑκάστου καιρὸν καὶ κρῖναι τί τῶν πραγμάτων ἐξ ὁμιλίας
δυνατὸν προσαγαγέσθαι, καὶ τί βίας προσδεῖται, τῶν ἐφεστηκό-
των στρατηγῶν ἔργον ἐστί. διὸ καὶ χαλεπωτάτην τάξιν ἔχει τὸ
συμβουλεύειν. τὰ γὰρ ὀρθῶς βουλευθέντα καὶ διαμαθέντα
σὺν πολλῇ σπουδῇ καὶ πόνῳ, πολλάκις τῷ τοὺς ἐπιστάντας ἄλ-
λως χρήσασθαι διελυμάνθη. νῦν μέντοι πάνθ᾿ ἕξειν καλῶς ἐλ-
πίζω. καὶ γὰρ εἴ τις ὑπείληφεν εὐτυχῆ τὸν ἀλέξανδρον τῷ
πάντα κατορθοῦν, ἐκεῖνο λογισάσθω. ὅτι πράττων καὶ πονῶν
καὶ τολμῶν, οὐχὶ καθήμενος, εὐτυχεῖ. νῦν τοίνυν τεθνεῶτος
ἐκείνου ζητεῖ τινας ἡ τύχη μεθ᾿ ὧν ἔσται. τούτους δὲ ὑμᾶς δεῖ γε-
νέσθαι. τούς τε ἡγεμόνας δι᾿ ὧν ἀνάγκη τὰ πράγματα πράττε-
σθαι, ὡς εὐνουστάτους ἐπὶ τὰς δυνάμεις ἐφίστατε. καὶ ὅτι ποιεῖν
αὐτὸς ἕκαστος ὑμῶν δυνήσεται καὶ βουλήσεται, τοῦτο πρὸς αὐ-
τὸν εἰπάτω. καὶ ὑποσχέσθω καὶ τοῦθ᾿ ὅπως μὴ ψεύσεται. μηδὲ
ἐξαπατηθῆτε μηδὲ πεισθῆναι παραιρουθεὶς φήσας, ἀναδύσε-
ται. ὥστε τὴν ἔνδειαν ὧν ἂν ἐλλείπητε ὑμεῖς, οὐχ εὑρήσετε τοὺς ἀνα-
πληρώσοντας. οὐδὲ γὰρ αὐτὸν ἔχει κίνδυνον, περὶ ὧν ἐφ᾿ ὑ-
μῖν ἐστὶν ὅπως ἂν βούλησθε πρᾶξαι, μεταβουλεύεσθαι πολλάκις
καὶ περὶ ὧν ἂν ἐνστῇ πόλεμος. ἀλλ᾿ ἡ περὶ τούτων μετάγνωσις
ἧττα τῆς προαιρέσεως γίνεται. μηδὲ ποιήσητε τοῦτο μηδέν.
ἀλλ᾿ ὅτι πράξετε γενναίως καὶ ἑτοίμως ταῖς ψυχαῖς, τοῦτο χειρο-
τονεῖτε. κἂν ἅπαξ ψηφίσησθε, τὸν δία τὸν δωδωναῖον καὶ τοὺς
ἄλλους θεοὺς οἳ πολλὰς καὶ καλὰς καὶ ἀγαθὰς καὶ ἀληθεῖς ὑμῖν

μαν

μαντείας ἀνῃρήκασιν ἡγεμόνας ποιούμενοι, καὶ παρακαλέσαντες, καὶ κατὰ τῶν νικητηρίων ἅπασιν αὐτοῖς δεξάμενοι, μετὰ τῆς ἀγαθῆς τύχης ἐλευθεροῦτε τοὺς ἕλληνας.

## Περὶ τῆς ἰδίας καθόδου.

Δημοσθένης τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. ἐνόμιζον μὲν ἀφ᾽ ὧν ἐπολιτευόμην, οὐχ ὅπως μηδὲν ἀδικῶν τοιαῦτα πείσεσθαι, ἀλλὰ καὶ μέτρια ἂν ἐξαμαρτὼν συγγνώμης τεύξεσθαι. ἐπειδὴ δὲ οὕτω γέγονεν, ἕως μὲν ἑώρων ὑμᾶς οὐδεμιᾶς ἀποδείξεως φανερᾶς οὐδ᾽ ἐλέγχου γενομένου παρὰ τῆς βουλῆς πρὸς τὴν ταύτης ἀπόρρητα καταψηφιζομένους ἁπάντων, οὐδὲν ἔλαττον παραχωρεῖν ὑμᾶς ἡγούμενος, ἢ ἐμαυτὸν ἀποστερεῖσθαι, στέργειν ᾑρούμην. τὸ γὰρ οἷς ἂν ἡ βουλὴ φῆσιν τοὺς ὀμωμοκότας δικαστὰς προστίθεσθαι, μηδεμιᾶς ἀποδείξεως ῥηθείσης, τῆς πολιτείας παραχωρεῖν ἦν. ἐπειδὴ δὲ καλῶς ποιοῦντες ᾔσθησθε τὴν δυναστείαν, ἥντινες τῶν ἐν τῇ βουλῇ κατεσκευάζοντο ἑαυτοῖς, καὶ πρὸς τὰς ἀποδείξεις τοὺς ἀγῶνας κρίνετε τὰ δι᾽ ἀπόρρητα τούτων ἐπιτιμήσεως ἄξια εὑρήκατε, οἶμαι δεῖν ἐὰν καὶ ὑμῖν βουλομένοις ᾖ, τῆς ὁμοίας τυχεῖν σωτηρίας τοῖς τῶν ὁμοίων αἰτιῶν τετυχηκόσι. καὶ μὴ μόνος δι᾽ αἰτίαν ψευδῆ τῆς πατρίδος καὶ τῶν ὄντων καὶ τῆς τῶν οἰκειοτάτων συνηθείας ἀπεστερῆσθαι. εἰκότως δ᾽ ἂν ὑμῖν ὦ ἄνδρες ἀθηναῖοι μέλοι τῆς ἐμῆς σωτηρίας οὐ μόνον κατὰ τοῦτο ὅτι οὐδὲν ὑμᾶς ἀδικῶν τοιαῦτα πέπονθα, ἀλλὰ καὶ τῆς παρὰ τοῖς ἄλλοις ἀνθρώποις ἕνεκ᾽ εὐδοξίας. μὴ γὰρ εἰ μηδεὶς ὑμᾶς ἀναμιμνήσκει τοὺς χρόνους μηδὲ τοὺς καιροὺς ἐν οἷς τὰ μέγιστ᾽ ἐγὼ χρήσιμος ἦν τῇ πόλει, τοὺς ἄλλους ἕλληνας ἀγνοεῖν νομίζετε. μηδ᾽ ἐπιλελῆσθαι τῶν ἐμοὶ πεπραγμένων

ὑπὲρ ὑμῶν ἃ ἐπὶ δυοῖν ἕνεκα νῦν ὀκνῶ γράφειν καθέκαστον· ἑνὸς μὲν τὸν φθόνον δεδιὼς πρὸς ὃν οὐδενὸς εἶναι προὔργου τἀληθῆ λέγειν· ἑτέρου δὲ ὅτι πολλὰ καὶ ἀνάξια ἐκείνων διὰ τὴν τῶν ἄλλων ἑλλήνων κακίαν νῦν πράττειν ἀναγκαζόμεθα. ἐν κεφαλαίῳ δὲ τοιαῦτ' ἐστὶν ἐφ' οἷς ἐξητασμένως ὑπὲρ ὑμῶν ἐγώ, ὥσθ' ὑμᾶς μὲν ἐπαινεῖσθαι ὑπὸ πάντων ζηλοῦσθαι. ἐμοὶ δὲ ἐλπίδα τῶν μεγίστων δωρεῶν προσδοκᾶσθαι παρ' ὑμῶν. τῆς δὲ ἀμαρτηκίας μὲν ἀγνώμονος δὲ τύχης οὐχ ὡς δίκαιον ἦν ἀλλ' ὡς ἐβούλετο κρινάσης τὸν ὑπὲρ τῆς τῶν ἑλλήνων ἐλευθερίας ἀγῶνα, ὃν ὑμεῖς ἠγωνίσασθε, οὐδὲ ἐν τοῖς μετὰ ταῦτα χρόνοις ἀπέστην τῆς εἰς ὑμᾶς εὐνοίας· οὐδ' ἀντηλλαξάμην ἀντὶ ταύτης οὐδέν. οὐ χάριν. οὐκ ἐλπίδας. οὐ πλοῦτον. οὐ δυναστείαν. οὐκ ἀσφάλειαν. καίτοι πάντα ταῦθ' ἑώρων ὑπάρχοντα τοῖς καθ' ὑμῶν βουλομένοις πολιτεύεσθαι. ὃ δὲ πολλῶν ὄντων καὶ μεγάλων ἐφ' οἷς εἰκότως ἐπέρχεταί μοι παρρησιάζεσθαι, μέγιστον ἡγοῦμαι, οὐκ ὀκνήσω γράψαι πρὸς ὑμᾶς. ὅτι ἐν ἅπαντι τῷ αἰῶνι τῶν μνημονευομένων ἀνθρώπων δεινοτάτου γενομένου φιλίππου, καὶ δι' ὁμιλίας πεῖσαι προσέχειν αὐτῷ τὸν νοῦν ὡς βούλοιτο καὶ διαφθεῖραι χρήμασι τοὺς ἐν ἑκάστῃ τῶν ἑλληνίδων πόλεων γνωρίμους, ἐγὼ μόνος οὐδετέρου τούτων ἡττήθην ὃ καὶ κοινὴν ὑμῖν φιλοτιμίαν φέρει, πολλὰ μὲν ἐντυχὼν φιλίππῳ διαλεχθεὶς, ἐφ' οἷς ὑμεῖς ἐπέμπετε πρεσβεύοντά με, πολλῶν δὲ προτεινομένων χρημάτων διδόντος ἐκείνου. ἃ τῶν συνειδότων ἔτι πολλοὶ ζῶσιν· οὓς τίνα γνώμην ἔχειν περὶ ὑμῶν εἰκὸς λογίσασθε. τὸ γὰρ τῷ τοιούτῳ τοῦτον τὸν τρόπον κεχρῆσθαι, ἐμοὶ μὲν ἂν εὖ οἶδ' ὅτι φανείη συμφορά· κακία δὲ οὐδὲ μία. ὑμετέρα δὲ ἀγνωμοσύνη. ἣν τῷ μεταγνῶναι λύσετε. πάντα τοίνυν τὰ προειρημένα, ἐλάττω νομίζω τῆς συνεχοῦς καὶ καθ' ἡμέραν πολιτείας

ἐν ᾧ παρέσχον ἐμαυτὸν ἐγὼ πολιτευόμενος οὐδὲ μιᾶς ὀργῆς οὐδὲ δυσ-
μενείας οὐδ' ἀδίκου πλεονεξίας οὔτε κοινῆς οὔτε ἰδίας προϊστά-
μενος· οὐδένα συκοφαντήσας οὐδένα πώποτε οὔτε πολίτην οὔτε ξένον·
οὐδὲ καθ' ὑμῶν ἰδίᾳ δεινὸς ὤν. ἀλλ' ὑπὲρ ὑμῶν ἐπιδείξειν ἐξεται-
ζόμενος δημοσίᾳ. ἐθεάσασθε δ' οἱ πρεσβύτεροι καὶ λέγειν τοῖς νεωτέ-
ροις ἐστὲ δίκαιοι τὴν πρὸς Πύθωνα τὸν Βυζάντιον ἐκκλησίαν, ὅτε τοὺς
ἀπὸ τῶν Ἑλλήνων ἦλθε πρέσβεις ἔχων, ὡς ἀδικοῦσαν δείξων
τὴν πόλιν. ἀπῆλθε δὲ τἀναντία τούτων παθών, μόνου τῶν τότε
ῥητόρων ἐξετάσαντος ἐμοῦ τὰ ὑπὲρ ὑμῶν δίκαια. καὶ ἐῶ πρε-
σβείας ὅσας ὑπὲρ ὑμῶν ἐπρέσβευσα· ἐν αἷς οὐδὲν ἠλαττώθητε
πώποτε. οὐδὲ καθ' ὑμῶν ἐπολιτευόμην, ὦ ἄνδρες Ἀθηναῖοι, οὐχ
ὅπως ἀλλήλων ὑμεῖς περιγένησθε σκοπῶν. οὐδ' ἐφ' ἑαυτὴν ὁ-
πλίζων τὴν πόλιν, ἀλλ' ἀφ' ὧν δόξαν καὶ μεγαλοψυχίαν ὑμῖν ὑ-
πάρξειν ἐνόμιζον. ἐφ' οἷς ἅπασι μὲν, μάλιστα δὲ τοῖς νέοις ἀ-
γασθῆναι προσήκει, καὶ σκοπεῖν μὴ μόνον τὸν διακονήσοντα πρὸς χάριν
πάντ' ἐν τῇ πολιτείᾳ, τούτου μὲν γὰρ οὐδέποτ' ἔσται ἀπορῆσαι, ἀλλὰ καὶ τὸν
ἐπὶ τοῖς βελτίοσιν ἃ ἀγνοεῖτε ἐπιτιμήσοντα. ἐπὶ πλεῖον παραλεί-
πω πολλά, ἐφ' οἷς ἕτερος ὁστισοῦν μηδὲν ἄλλο χρήσιμος γεγονὼς δικαίως ἂν
ἠξίου σώζεσθαι. χορηγίας καὶ τριηραρχίας καὶ χρημάτων
ἐπιδόσεις ἐν ἅπασι τοῖς καιροῖς. ἐν οἷς ἐγὼ φανήσομαι οὐ μόνον αὐτὸς
ἐξητασμένος πρῶτος, ἀλλὰ καὶ τοὺς ἄλλους παρακεκληκώς. τού-
των ἕκαστον, ὦ ἄνδρες Ἀθηναῖοι, λογίσασθε ὡς ἀνάξιον τῆς περιεστη-
κυίας νῦν ἐμοὶ συμφορᾶς. ἀφθόρων δ' ὄντων, ἀπορῶ τί πρῶτον ὀδύ-
ρωμαι τῶν παρόντων κακῶν. πότερα τὴν ἡλικίαν, ἐν ᾗ φυγῆς ἐπικιν-
δύνου πειρᾶσθαι παρ' ἀξίαν ἀναγκάζομαι, ἢ τὴν αἰσχύ-
νην ἐφ' ᾗ κατ' οὐδένα ἔλεγχον οὐδ' ἀπόδειξιν ἀλλ' ἁπλῶς ἀλλ' ἡ εἰ

πίδας· ὧν διαμαρτών, ὧν ἑτέροις προσῆκε κληρονόμοις εἶναι κα-
κῶν· οὔτε γὰρ ἔγωγε τῶν Ἁρπάλου φίλων φανήσομαι γεγονώς,
οὔτε ἐφ᾽ οἷς ἐπολιτευόμην πρότερον, δίκην ὀφείλων δοῦναι. οὔτε
τῶν ἐφ᾽ οἷς ἐκρινόμην ἐξελεγχθέντων, τῶν τε γραφέντων περὶ Ἁρ-
πάλου μόνα τὰ ἐμοὶ πεπραγμένα ἀνέγκλητον πεποίηκε τὴν πό-
λιν. ἐξ ὧν πάντων δῆλόν ἐστιν, ὅτι καιρῷ τινι ληφθεὶς καὶ οὐκ ἀ-
δικήμασι, τῇ πρὸς ἅπαντας τοὺς ἐν ταῖς αἰτίαις ὀργῇ περιπέ-
πτωκα ἀδίκως, τῷ πρώτως εἰσιέναι. ἐπεὶ τί τῶν δικαίων οὐκ
εἶπον ἐγώ, τῶν σεσωκότων τοὺς ὕστερον κρινομένους. ἢ τίνα νῦν ἂν
εἰπεῖν ἔχει τις· οὐ γάρ ἐστιν οὐδείς. τὰ γὰρ μὴ γενόμενα οὐκ ἔστι
κρῖναι γεγενῆσθαι. ἀλλὰ περὶ μὲν τούτων παύομαι πολλὰ γρά-
φειν ἔχων. τὸ γὰρ μηδὲν ἐμαυτῷ συνειδέναι πεῖραν μοι δέδωκεν,
εἰς μὲν ὠφέλειαν ἀσθενὲς ὄν· εἰς δὲ τὸ μᾶλλον λυπεῖσθαι πάντων ὀ-
δυνηρότατον. ἐπειδὴ δὲ καλῶς ποιοῦντες, πᾶσι τοῖς ἐν ταῖς αἰ-
τίαις διηλλάχθε, καὶ ἐμοὶ διαλλάγητε ὦ ἄνδρες Ἀθηναῖοι. οὔτε γὰρ
ἠδίκηκα ὑμᾶς οὐδένα, ὡς ἴσασιν οἱ θεοὶ καὶ ἥρωες. μαρτυρεῖ δέ μοι
πᾶς ὁ πρόσθεν παρεληλυθὼς χρόνος, ὃς δικαιότερον ἂν πιστεύ-
εσθαι ὑφ᾽ ὑμῶν, τῆς ἀνεγκλήτου νῦν ἐπενεχθείσης αἰτίας. οὔτ᾽ ἐγὼ
χείριστος οὐδ᾽ ἀπιστότατος φανήσομαι τῶν διαβληθέντων. καὶ μὴν
τὸ ἀπελθεῖν οὐκ ἂν εἰκότως ὀργὴν πρός με ποιήσειεν. οὐ γὰρ ἀπ-
εγνωκὼς ὑμᾶς, οὐδ᾽ ἑτέρωσε βλέπων οὐδαμοῦ μετέστην. ἀλλὰ πρῶ-
τον μὲν τοὔνειδος τῆς εἱρκτῆς χαλεπῶς τῷ λογισμῷ φέρων. ἔπει-
τα διὰ τὴν ἡλικίαν οὐκ ἂν οἷός τ᾽ ὢν τῷ σώματι τὴν κακοπά-
θειαν ὑπενεγκεῖν. ἔτι δ᾽ οὐδ᾽ ὑμᾶς ἐνόμιζον ἀβουλεῖν ἔξω με
προπηλακισμοῦ γενέσθαι. ὃς οὐδὲν ὑμᾶς ὠφελῶν, ἐμὲ
ἀπώλλυεν. ἐπεὶ ὅτι γε ὑμῖν προσεῖχον τὸν νοῦν καὶ
οὐδέσιν ἄλλοις, πολλὰ ἂν ἴδοιτε σημεῖα. ἔστε γὰρ πόλι

ἦλθον οὐκ ἐν ᾗ μέγιστα πράξειν αὐτὸς ἔμελλον, ἀλλ' εἰς ἣν καὶ τοὺς
προγόνους ἐλθόντας ᾔδειν ὅτε ὁ πρὸς τὸν πέρσην κατελάμβανεν
αὐτοὺς κίνδυνος. καὶ παρ' ᾗ πλείστην εὔνοιαν ὑπάρχουσαν ὑμῖν ἠ-
πιστάμην. ἔστι δ' ἡ τροιζηνίων αὕτη. ἣ μάλιστα μὲν οἱ θεοὶ τῆς πρὸς
ὑμᾶς εὐνοίας ἕνεκα καὶ τῆς πρὸς ἐμὲ εὐεργεσίας, εὖνοι πάντες ἦ-
σαν. εἶτα σωθεὶς ὑφ' ὑμῶν, δυνηθείην ἀποδοῦναι χάριτας. ἔπειτα ταύ-
τῃ τινῶν ὡς ἐμοὶ χαριζομένων, ἐπιτιμᾶν ὑμῖν τι πειρωμένων τῇ
κατ' ἐμὲ ἀγνοίᾳ, ἐγὼ πᾶσαν εὐφημίαν ὥσπερ ἐμοὶ προσῆκε πα-
ρεχόμενος. ἀξιῶ καὶ μάλιστα νομίζω πάντας ἀγαθέντας δημοσίᾳ
τιμῆσαι. ὁρῶν δὲ τὴν μὲν εὔνοιαν τῶν ἀνδρῶν μεγάλην, τὴν δὲ εἰς
τὸ παρὸν δύναμιν καταδεεστέραν, μετελθὼν εἰς τὸ τοῦ ποσειδῶ-
νος ἱερὸν ἐν καλαυρίᾳ, κάθημαι. οὐ μόνον τῆς ἀσφαλείας ἕνεκα
ἣν διὰ τὸν θεὸν ἐλπίζω μοι ὑπάρχειν, (οὐ γὰρ εὖ οἶδα, ἃ γὰρ ἐφ' ἑτέ-
ροις ἐστὶν ὡς ἂν βούλωνται πρᾶξαι, λεπτὴν καὶ ἄδηλον ἔχει τῷ
κινδυνεύοντι τὴν ἀσφάλειαν,) ἀλλ' ὅτι καὶ τὴν πατρίδα ἐντεῦθεν ἑ-
κάστης ἡμέρας ἀφορῶ, εἰς ἣν τοσαύτην εὔνοιαν ἐμαυτῷ σύνοιδα,
ὅσης παρ' ὑμῶν εὔχομαι τυχεῖν. ὅπως οὖν ὦ ἄνδρες ἀθηναῖοι μη-
κέτι πλείω χρόνον τοῖς παροῦσι κακοῖς συνέχωμαι, ψηφίσασθέ
μοι ταῦτα ἃ καὶ ἄλλοις τισὶν ἤδη. ἵνα μήτε ἀνάξιον ὑμῶν μηδέν μοι
συμβῇ, μήτε ἱκέτης ἑτέρων ἀναγκασθῶ γενέσθαι. οὐδὲ γὰρ ὑμῖν τοῦ-
το γένοιτ' ἂν καλόν. ἐπεὶ εἴ γ' ἐμοὶ τὰ πρὸς ὑμᾶς ἀδιάλλακτα ὑπάρ-
χει, τεθνάναι με κρεῖττον ἦν. εἰκότως δ' ἄν μοι πιστεύοιτε ταύτην
τὴν διάνοιαν ἔχειν καὶ μὴ ἂν μάτην θρασύνεσθαι. ἐγὼ γὰρ ἐμαυτοῦ
κυρίους ὑμᾶς ἐποίησα. καὶ οὐκ ἔφυγον τὸν ἀγῶνα, ἵνα μήτε προ-
δῶ τὴν ἀλήθειαν, μήτ' ἄκυρος ὑμῶν ἐμοῦ μηδεὶς γένηται. ἀλλ' ὅ
τι βούλεσθε, τοῦτο χρήσησθε. παρ' ὧν γὰρ ἁπάντων καλῶν κἀγα-

θεῶν ἔτυχον, τούτους ᾤμην δεῖν ἔχειν καὶ ἁμαρτεῖν εἰ βούλοιντο εἰς ἐμέ. ἐπειδὴ δὲ καλῶς ποιοῦσα ἡ δικαία τύχη τῆς ἀδίκου κρατήσασα, δι' ὧν περὶ τῶν αὐτῶν ἀπέδωκεν ὑμῖν βουλεύσασθαι, δέομαι μηδὲν ἀνήκεστον ψηφίσασθαι περὶ ἐμοῦ, σώσατέ με ὦ ἄνδρες Ἀθηναῖοι καὶ ψηφίσασθε καὶ ὑμῶν αὐτῶν ἄξια καὶ ἐμοῦ. ἐν οὐδενὶ γὰρ τῶν πεπραγμένων ἠδικηκότα με εὑρήσετε. οὐδ' ἐπιτήδειον ἄτιμον εἶναι οὐδ' ἀπολωλέναι. ἀλλὰ καὶ εὔνουν τῷ πλήθει τῷ ὑμετέρῳ τοῖς μάλιστα ὁμοίως ἵνα μηδὲν ἐπίφθονον γράφω. καὶ πλεῖστα πεπραγματευμένον τῶν νυνὶ ζώντων ὑπὲρ ὑμῶν. καὶ μέγιστα ὑπάρχοντά μοι κατ' ἐμαυτὸν σύμβολα εὐνοίας πρὸς ὑμᾶς. μηδεὶς δ' ὑμῶν ἡγείσθω με ὦ ἄνδρες Ἀθηναῖοι μήτε ἀνανδρίᾳ μήτε ἄλλῃ προφάσει φαύλῃ μηδεμιᾷ παρ' ὅλην τὴν ἐπιστολὴν ὀδύρεσθαι. ἀλλ' ἃ τοῖς παροῦσιν ἕκαστος ἀφθόνως χρῆται, ἐμοὶ δὲ ταῦτα νῦν πάρεστιν ὡς μὴ ὤφελε, λῦπαι καὶ δάκρυα καὶ τῆς πατρίδος καὶ ὑμῶν πόθος, καὶ ὧν πέπονθα λογισμός, ἃ πάντα ποιεῖ με ὀδύρεσθαι. ἃ ἐπισκοποῦντες δικαίως, ἐν οὐδενὶ τῶν πεπολιτευμένων ὑπὲρ ὑμῶν οὔτε μαλακίαν οὔτε ἀνανδρίαν προσοῦσαν εὑρήσετέ μοι. πρὸς μὲν δὴ πάντας ὑμᾶς τοσαῦτα. ἰδίᾳ δὲ τοῖς ἐμοὶ προσκρούουσιν ἐναντίον ὑμῶν βούλομαι διαλεχθῆναι. ὅσα μὲν γὰρ τοῖς ὑφ' ὑμῶν ἀγνοηθεῖσιν ὑπηρετοῦντες ἐποίουν, ἔστω δι' ὑμᾶς αὐτοῖς πεπρᾶχθαι καὶ οὐδὲν ἐγκαλῶ. ἐπειδὴ δ' ἔγνωσθ' ὑμεῖς οἷα ταῦτ' ἐστίν, ἐὰν μὲν ὡς περὶ τῶν λοιπῶν ἐῶσι καὶ ἐμοὶ συγχωρήσωσι, καλῶς ποιήσουσιν. ἐὰν δ' ἐπηρεάζειν ἐγχειρῶσιν, ὑμᾶς ἀξιῶ μοι βοηθεῖν ἅπαντας. καὶ μὴ κυριωτέραν τὴν τούτων ἔχθραν τῆς παρ' ὑμῶν χάριτος ποιήσασθαι.

εὐτυχεῖτε.

# ΠΕΡΙ ΤΩΝ ΛΥΚΟΥΡΓΟΥ ΠΑΙΔΩΝ.

Δημοσθένης τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. περὶ μὲν τῶν κατ' ἐμαυτὸν, ἅ μοι παρ' ὑμῶν νομίζω δίκαιον εἶναι γενέσθαι, τὴν προτέραν ἔπεμψα πρὸς ὑμᾶς ἐπιστολὴν, ἃ ὅταν ὑμῖν δοκῇ, τότε συγχωρήσετε· περὶ δ' ὧν νυνὶ ἐπέσταλκα, βουλοίμην ἂν ὑμᾶς μὴ παριδεῖν, μηδὲ πρὸς φιλονεικίαν ἀλλὰ πρὸς τὸ δίκαιον ἀκοῦσαι. συμβαίνει γάρ μοι καίπερ ἐκποδὼν διατρίβοντι, πολλῶν ἀκούειν ἐπιτιμώντων ὑμῖν ἐπὶ τοῖς περὶ τοὺς λυκούργου παῖδας γινομένοις. ἐπέστειλα μὲν οὖν ἂν τὴν ἐπιστολὴν καὶ τῶν ἐκείνῳ ζῶντι πεπραγμένων ἕνεκα, ὧν ὁμοίως ἐμοὶ πάντες ἂν αὐτῷ δικαίως ἔχοιτε χάριν εἰ τὰ προσήκοντα βούλεσθε ποιεῖν. ἐκεῖνος γὰρ αὑτὸν ἐν τῇ περὶ τὴν διοίκησιν μερίδι τάξας τῆς πολιτείας τὴν ἀρχὴν, καὶ περὶ τῶν ἑλληνικῶν καὶ συμμαχικῶν οὐδὲν εἰωθὼς γράφειν, ὅτε καὶ τῶν δημοτικῶν εἶναι προσποιουμένων οἱ πολλοὶ κατέλιπον ὑμᾶς, τότε ταῖς τοῦ δήμου προαιρέσεσι προσένειμεν ἑαυτὸν, οὐχ ὅτι δωρεὰς καὶ προσόδους ἐκ τούτων ὑπῆρχε λαμβάνειν. ἀπὸ γὰρ τῶν ἐναντίων πάντα τὰ τοιαῦτα ἐγίνετο. οὐδ' ὅτι ταύτην ἀσφαλεστέραν τὴν προαίρεσιν οὖσαν ἑώρα. πολλοὺς γὰρ καὶ προδήλους εἶχε κινδύνους οὓς ἀναγκαῖον ἦν ὑπομένειν τὸν ὑπὲρ τοῦ δήμου λέγειν καὶ πράττειν προαιρούμενον. ἀλλ' ὅτι δημοτικὸς καὶ φύσει χρηστὸς ἀνὴρ ἦν. καίτοι παρὼν ἑώρα τοὺς μὲν βοηθήσοντας αὐτῷ δήμῳ, ἀσθενεῖς ἐπὶ τοῖς συμβεβηκόσιν ὄντας, τοὺς δ' ἐναντία πράττοντας, κατὰ πάντα ἐρρωμένους. ἀλλ' ὅμως οὐδὲν ἧττον ἐκεῖνος ἔχετο τούτων ἃ συμφέρειν ᾤετο τῷ δήμῳ. καὶ μετὰ ταῦτα ἀόκνως

καὶ λέγων καὶ πράττων ἃ προσῆκεν ἦν φανερὸς ἐφ᾽ οἷς εὐθὺς ἐξητεῖτο ὡς ἅπαντες ἴσασιν. ἐπέστειλα μὲν οὖν ἂν ὥσπερ εἶπον ἐν ἀρχῇ καὶ διὰ τὴν ἐκείνου χάριν. οὐ μὴν ἀλλὰ καὶ ὑμῖν νομίζων ξυμφέρειν τὰς παρὰ τοῖς ἔξω γιγνομένας ἐπιτιμήσεις εἰδέναι, πολλῷ προθυμότερον πρὸς τὸ πέμψαι τὴν ἐπιστολὴν ἔσχον. παραιτοῦμαι δὲ τοὺς ἰδίᾳ πρὸς ἐκεῖνον ἔχοντας δυσκόλως ὑπομεῖναι τἀληθῆ καὶ τὰ δίκαια ἀκοῦσαι περὶ αὐτοῦ. εὖ γὰρ ἴστε ὦ ἄνδρες ἀθηναῖοι ὅτι νῦν ἐκ τῶν περὶ τοὺς παῖδας αὐτοῦ γιγνομένων, φαύλην δόξαν ἡ πόλις λαμβάνει. οὐδεὶς γὰρ τῶν ἑλλήνων ἀγνοεῖ, ὅτι ζῶντα λυκοῦργον ἐτιμᾶθ᾽ ὑμεῖς εἰς ὑπερβολήν. καὶ πολλῶν αἰτιῶν ἐπενεχθεισῶν ὑπὸ τῶν φθονούντων αὐτῷ, οὐδεμίαν πώποθ᾽ εὕρετ᾽ ἀληθῆ. οὕτω δ᾽ ἐπιστεύετε αὐτῷ καὶ δημοτικὸν παρὰ πάντας ἡγεῖσθε, ὥστε πολλὰ τῶν δικαίων ἐν τῷ φῆσαι λυκοῦργον ἐκρίνετε. καὶ τοῦθ᾽ ὑμῖν ἐξήρκει. οὐ γὰρ ἂν καὶ τοιοῦτον μὴ δοκοῦν ὑμῖν. νῦν τοίνυν ἅπαντες ἀκούοντες τοὺς υἱεῖς αὐτοῦ δεδέσθαι, τὸν μὲν τεθνεῶτα ἐλεοῦσι. τοῖς παισὶ δ᾽ ὡς ἀνάξια πάσχουσι συνάχθονται. ὑμῖν δ᾽ ἐπιτιμῶσι πικρῶς ὡς οὐκ ἂν τολμήσαιμι γράφειν ἐγώ. ἃ γὰρ ἄχθομαι τοῖς λέγουσι καὶ ἀντιλέγω καθ᾽ ὅσον δύναμαι βοηθῶν ὑμῖν, ταῦτα ἄχρι μὲν τοῦ δῆλον ὑμῖν ποιῆσαι ὅτι πολλοὶ μέμφονται, συμφέρειν ὑμῖν νομίζων εἰδέναι, γέγραφα. ὅσα μέντοι λοιδορίας χωρὶς ἐστὶν ὧν λέγουσί τινες, καὶ ἀκηκοέναι συμφέρειν ὑμῖν ἡγοῦμαι, ταῦτα δηλώσω. οὐδεὶς γὰρ ὑπείληφεν ὡς ἄρα ἠγνοήκατε καὶ διεψεύσθητε τῆς ἀληθείας περὶ αὐτοῦ λυκούργου. τό, τε γὰρ τοῦ χρόνου πλῆθος, ὃν ἐξεταζόμενος οὐδὲν πώποθ᾽ εὑρέθη περὶ ὑμᾶς οὔτε φρονῶν οὔτε ποιῶν ἄδικον, καὶ τὸ μηδένα ἀνθρώπων εἰς μηδὲν τῶν ἄλλων ἀναισθησίαν ὑμῶν καταγνῶναι, εἰκότως ἀναιρεῖ τὴν ὑπὲρ

τῆς ἀ

φλάγνοίας σκῆψιν. λείπεται τοίνυν, ὃ πάντες ἂν εἶναι φαῦλον ἀν-
θρώπων ἔργον φήσαιεν τὸ, ὅσον ἂν χρῆσθε χρείαν, τοσοῦτον ἑκάστου
φροντίζειν δοκεῖν. μετὰ δὲ ταῦτα μηδένα ἔχειν λόγον. εἰς τί γὰρ
τῶν ἄλλων χρὴ προσδοκᾶν τῷ τετελευτηκότι τὴν παρ' ὑμῶν ἔσε-
σθαι χάριν, ὅταν εἰς τοὺς παῖδας καὶ τὴν εὐδοξίαν, τἀναντία ὁρᾶ-
τε γινόμενα· ὧν μόνων ἡ τελευτῶσι πᾶσιν ὅπως ἕξει καλῶς, μέ-
λει. καὶ μὴν οὐδὲ χρημάτων ποιεῖν ἕνεκα ταῦτα δοκεῖν, τῶν κα-
λῶν κἀγαθῶν ἐστιν. οὔτε γὰρ τῆς μεγαλοψυχίας οὔτε τῆς ἄλλης
προαιρέσεως τῆς ὑμετέρας, ἀκόλουθον ἂν φανείη. εἰ γὰρ ὑμᾶς
λύσασθαι παρ' ἑτέρων ἔδει, δόντας ἐκ τῶν προσιόντων τὰ χρή-
ματα ταῦτα, πάντας ἂν ἡγοῦμαι προθύμους εἶναι, ὃ λόγῳ καὶ
φθόνῳ γέγονεν, οὐκ ἔχω τί καταγνῶ, εἰ μὴ ὅλως πικρῶς καὶ παρα-
δόξως ἔχειν πρὸς τοὺς δημοτικοὺς ὡρμήκατε. εἰ δὲ τοῦτ' ἐστὶν οὔ-
τ' ὀρθῶς, οὔτε συμφερόντως βουλεύεσθαι ἐγνώκατε. θαυμάζω δὲ
εἰ μηδεὶς ὑμῶν ἐννοεῖ, ὅτι τῶν αἰσχρῶν ἐστι τὸν δῆμον τῶν ἀθηναίων
συνέσει καὶ παιδείᾳ πάντων προέχειν δοκοῦντα, ὃς καὶ τοῖς ἀτυ-
χήμασιν ἀεὶ κοινὴν ἔχει καταφυγὴν, ἀγνωμονέστερον φαίνεσθαι
φιλίππου, ὃς ἀνουθέτητος ὢν εἰκότως, τραφεὶς ἐν ἐξουσίᾳ, ὅ-
μως ᾤετο δεῖν ἐπειδὴ εὐτύχησε, μάλιστα τἀνθρώπινα πράττων
φαίνεσθαι. καὶ τοὺς παραταξαμένους πρὸς οὓς περὶ τῶν ὅλων δι-
εκινδύνευσεν οὐκ ἐτόλμησε δῆσαι, τὸ τίνες καὶ τίνων εἰσὶν ἐξε-
τάσας. καὶ γὰρ ὡς ἔοικεν ὁμοίως τῶν παρ' ὑμῖν ῥητόρων ἐνίοις,
οὔτε δίκαια εἶναι πρὸς ἅπαντας τὰ αὐτὰ οὔτε καλὰ ἡγεῖτο.
ἀλλὰ τὴν τῆς ἀξίας προσθήκην συλλογιζόμενος, τὰ τοιαῦτ' ἐπέ-
κρινεν. ὑμεῖς δ' ὄντες ἀθηναῖοι καὶ παιδείας μετέχοντες, ἣ καὶ
τοὺς ἀμαθεῖς τοὺς ἀνεκτοὺς ποιεῖν δοκεῖ γίνεσθαι, πρῶτον μὲν ὃ

πάντων ἀγνωμονέστατόν ἐστι, περὶ ὧν τὸν πατέρα αἰτιᾶσθαί τινες τοὺς υἱεῖς δεδέχατε. εἶτα τὸ ταῦτα ποιεῖν ἴσον φατέ, ὥσπερ ὑπὲρ σταθμῶν ἢ μέτρων τὸ ἴσον σκοπούμενοι, ἀλλ' οὐχ ὑπὲρ ἀνδρῶν προαιρέσεως καὶ πολιτείας βουλευόμενοι. ἐν οἷς ἐξεταζομένοις, εἰ μὲν χρηστὰ καὶ δημοτικὰ καὶ ἐπ' εὐνοίᾳ τὰ Λυκούργῳ πεπραγμένα φαίνεται, μηδενὸς κακοῦ, ἀλλὰ καὶ πάντων τῶν ἀγαθῶν τοὺς παῖδας αὐτοῦ δίκαιόν ἐστι τυγχάνειν παρ' ὑμῶν· εἰ δὲ τἀναντία τούτων, ἐκεῖνον ὅτε ἔζη, ἔδει δίκην διδόναι. τούτους δὲ μηδ' οὕτως ἐφ' οἷς ἐκείνῳ τις ἐγκαλεῖ, τυγχάνειν ὀργῆς· πᾶσι γὰρ πάντων τῶν ἁμαρτημάτων ὅρος ἐστὶ τελευτή. ἐπεὶ εἰ οὕτως ἕξετε, ὥστε οἱ μὲν ἀχθεσθέντες τι τοῖς ὑπὲρ τοῦ δήμου πολιτευομένοις μηδὲ πρὸς τελευτήσαντας διαλλαγήσονται, ἀλλὰ καὶ τοῖς παισὶ τὴν ἔχθραν διαφυλάξουσιν· ὁ δὲ δῆμος ᾧ συναγωνίζεται τῶν δημοτικῶν ἕκαστος μέχρι τοῦ παρόντος χρῆσθαι μνημονεύσει τὰς χάριτας, μετὰ ταῦτα δὲ μηδὲν φροντιεῖ, οὐδὲν ἀθλιώτερον ἔσται τοῦ τὴν ὑπὲρ τοῦ δήμου τάξιν αἱρεῖσθαι. εἰ δὲ Μοιροκλῆς ἀποκρίνεται ταῦτα μὲν σοφώτερα ἢ καθ' ἑαυτὸν εἶναι, ἵνα δὲ μὴ ἀποδρῶσιν, αὐτὸς αὐτοὺς δῆσαι, ἐρωτήσατ' αὐτὸν ἡνίκα Ταυρέας καὶ Πάταικος καὶ Ἀριστογείτων καὶ αὐτός, εἰς τὸ δεσμωτήριον παραδοθέντες οὐ μόνον οὐκ ἐδέδεντο, ἀλλ' ἐδημηγόρουν, τί δήποτε οὐκ ἐχώρει τὰ δίκαια ταῦτα. εἰ δὲ μὴ φήσει τὸ τότ' ἄρχειν, τὸ δὲ λέγειν, ἔκ τε τῶν νόμων αὐτῷ προσήκειν· ὥστε πῶς ἴσον ἐστί, τοὺς μὲν ἄρχειν οἷς μηδὲ λέγειν ἔξεστι, τοὺς δὲ δεδέσθαι, ὧν πολλὰ χρήσιμος ἦν ὑμῖν ὁ πατήρ. ἐγὼ μὲν οὐκ ἔχω συλλογίσασθαι. εἰ μὴ τοῦτο ἀποδεῖξαι δημοσίᾳ βούλεσθε, ὅτι βδελυρία καὶ ἀναίδεια καὶ προαίρεσις πονηρίας ἐν τῇ πόλει ἰσχύει· καὶ διασωθῆναι πλείω προσδοκίαν ἔχει, κἄν τι συμβῇ χαλεπὸν τοῖς τοιούτοις, ἀπόλυσις γίγνεται. ἐν δὲ προαιρέσει χρηστῇ καὶ βίῳ σώφρονι καὶ δημοτικῷ προελέσθαι ζῆν,

σφαλερόν. κἂν τι γίγνηται τῷ ψηφίσματι, ἄφυκτον ἔσται. ἔτι τοίνυν τὸ
μὲν μὴ δικαίους ἐνίους τὴν αὐτὴν δόξαν ἔχειν ἣν περὶ ζῶντος εἴχετ' ἐ-
κείνου, καὶ τὸ τῶν τε τελευτηκότων ἢ τῶν παρόντων πλείω ποιεῖ-
σθαι λόγον δίκαιον εἶναι, καὶ πάντα τὰ τοιαῦτα, ἐάσω. παρὰ πᾶ-
σιν ὁμολογεῖσθαι ταῦτα ὑπείληφα. ὅσοις μέντοι περὶ καὶ εὐερ-
γεσίας ἀπεμνημονεύσατε τῶν ἄλλων, ἡδέως αὖ ἴδοιμι ὑμᾶς καὶ
πολλῶν ἑτέρων ἀπογόνοις. οὐχ ὡς ἐπιτιμῶν δὲ ταῦτα παρήνεγκα
τοσοῦτον δέω τοῦτο ποιεῖν, ὥστε συμφέρειν μάλιστα τῇ πόλει τὰ
τοιαῦτα κρίνω. προκαλεῖσθαι γὰρ πάντας ἐκ τούτων δημοτι-
κοὺς εἶναι ὁρῶντας ὅτι καὶ ἐν τῷ καθ' ἑαυτοὺς βίῳ ταῖς προσηκού-
σαις αὐτῶν τιμαῖς ἀφθόνως αὐτοῖς ἔσται, τοῖς γε παισὶν ὑπάρξει τὰ προ-
σήκοντα παρ' ὑμῶν κομίσασθαι. πῶς οὖν οὐκ ἄτοπον, μᾶλλον δὲ
καὶ αἰσχρόν, τῶν μὲν ἄλλων τισὶ καὶ παλαιῶν ὄντων τῶν χρόνων κα-
θ' οὓς ἐγένοντο χρήσιμοι, καὶ δι' ὧν ἀκούετε τὰς εὐεργεσίας, οὐκ ἐξ ὧν
ἑωράκατε ὑπειληφότας, ὅμως τὴν δικαίαν εὔνοιαν διασώζειν.
Λυκούργῳ δ' οὕτως ὑπογύου καὶ τῆς πολιτείας καὶ τῆς τελευτῆς
γεγονυίας, μηδὲ ταῦθ' ἃ καὶ τοῖς ἀγνώμοσι καὶ ὑφ' ὧν ἠδικεῖσθε ἑτοῖ-
μοι τὸν ἄλλον ἦτε χρόνον εἰς ἔλεον καὶ φιλανθρωπίαν, μηδὲ ταῦθ'
ὑμᾶς αὐτοὺς ὁμοίους παρέχειν καὶ ταῦτ' εἰς τοὺς παῖδας αὐτοῦ
γιγνομένης τῆς τιμωρίας. οὗ κἂν ἐχθρὸς εἴπερ μέτριος εἴη καὶ
λογισμὸν ἔχων, ἐλεήσαι. θαυμάζω τοίνυν καὶ τοῦτ' εἴ τις ὑμῶν ἀ-
γνοεῖ, ὡς οὐδὲ τοῦτο συμφέρει τῇ πολιτείᾳ φανερὸν γενόμενον.
ὅτι τοῖς μὲν ἄλλοις τινὰ κτησαμένοις φιλίαν καὶ κατορθοῦσιν, ἐν
πᾶσι πλεονεκτεῖν ὑπάρχει· κἂν ἀτυχήσωσί τι, ῥᾳδίας εὑρεῖν τὰς
λύσεις. τοῖς δ' εἰς τὸν δῆμον ἀνηρτήσασιν ἑαυτούς, ἐμοῦ χωρὶς τἆλλ' ἐλάτ-
τω ἔχειν ὑπάρξει, ἀλλὰ καὶ τὰς συμφορὰς βεβαίας τούτοις μόνοις τῶν
ἄλλων μένειν. ἀλλὰ μὴν ὅτι τοῦθ' οὕτως γίγνεται, ῥᾴδιον δεῖξαι. τίς γὰρ

οὐκ οἶδεν ὑμῶν λαχόντι τῷ Μελανώπου, ἁλῶναι μὲν ὁμοίως ἐν
δικαστηρίῳ συνέβαινεν, ὡς καὶ νῦν τοῖς Λυκούργου παισίν. ἀφεθῆναι
δὲ πᾶν τὸ ὄφλημα ἐπιστείλαντος Ἀλεξάνδρου. καὶ πάλιν Μνησι-
βούλῳ τῷ Ἀχαρνεῖ ἁλῶναι μὲν ὁμοίως κατέστη αὐτοῦ τῷ δι-
καστηρίου, ὥσπερ καὶ τῶν Λυκούργου παίδων, ἀφεῖσθαι δὲ κα-
λῶς ποιοῦντι. ἄξιος γὰρ ἀνήρ. καὶ οὐδεὶς ἂν ἐπὶ τούτοις τοὺς νό-
μους ἔφη καταλύεσθαι τῶν νῦν βοώντων. εἰκότως. οὐ γὰρ κατελύ-
οντο. εἴπερ ἅπαντες οἱ νόμοι τῶν δικαίων ἕνεκα καὶ σωτηρίας τῶν
χρηστῶν ἀνθρώπων τίθενται. καὶ μήτε ἀϊδίους τοῖς ἀτυχήσασι κα-
θιστάναι τὰς συμφορὰς συμφέρει, μήτ' ἀχαρίστους ὄντας φαίνε-
σθαι. ἀλλὰ μὴν εἰ τοῦθ' οὕτως ὥσπερ ἂν φήσαιμεν ἔχειν συμφέ-
ρει, οὐ μόνον τοὺς νόμους οὐ κατελύετε, ἡνίκα ἐκείνους ἠφίετε,
ἀλλὰ καὶ τοὺς βίους ἐσώζετε τῶν τοὺς νόμους θεμένων ἀνθρώπων,
λάχητα μὲν πρὸς χάριν δεηθέντος Ἀλεξάνδρου ἀφέντες. Μνησίβου-
λον δὲ τῇ τοῦ βίου σωφροσύνῃ σώσαντες. μὴ τοίνυν τὸ κτήσασθαι
τὴν ἔξωθεν φιλίαν λυσιτελέστερον δεικνύτε, ἢ τὸ τῷ δήμῳ πα-
ρακαταθέσθαι ἑαυτόν. μηδέ τῳ τῶν ἀγνώτων εἶναι κρεῖττον ἢ τοῖς
πολλοῖς ὑμῖν τὰ συμφέροντα πολιτευόμενον γενέσθαι. τὸ
μὲν γὰρ πᾶσιν ἀρέσκειν τὸν συμβουλεύοντα καὶ τὰ κοινὰ πράττον-
τα, ἀδύνατον. ἐὰν δὲ ἐπ' εὐνοίᾳ ταῦτα τῷ δήμῳ τις φρονῇ, δίκαι-
ός ἐστι σώζεσθαι. εἰ δὲ μὴ καὶ θεραπεύειν ἑτέρους μᾶλλον ἢ τὸν δῆ-
μον ἅπαντας διδάξετε. καὶ φεύγειν τὸ τῶν ὑμῖν συμφερόντων
ποιοῦντά τι συνωφθῆναι. ὅλως δὲ κοινόν ἐστιν ὄνειδος ἄνδρες Ἀθηναῖοι
καὶ ὅλης τῆς πόλεως συμφορὰ, τὸν φθόνον δοκεῖν μεῖζον ἰσχύειν πα-
ρ' ὑμῖν, ἢ τὰς τῶν εὐεργεσιῶν χάριτας. καὶ ταῦτα, τὸ μὲν νοσή-
ματος ὄντος. τῶν δὲ, τοῖς θεοῖς ἀποδεδειγμένων. καὶ μὴν οὐδὲ τὸ

πυθέα

πυθέα παραλείψω τὸν μέχρι τῆς προόδου δημοτικόν. μετὰ ταῦ
τα δ' ἐξετασμὸν εἰς τὰ καθ' ὑμῶν πάντα. τίς γὰρ οὐκ οἶδε τοῦτον
ὅτε μὲν τὴν ὑπὲρ ὑμῶν τάξιν ἔχων εἰς τὸ πολιτεύεσθαι παρῄει
ὡς δοῦλον ἐλαυνόμενον καὶ γραφὴν ξενίας φεύγοντα καὶ μικροῦ
πραθέντα ὑπὸ τούτων, οἷς νῦν ὑπηρετῶν, τοὺς κατ' ἐμοῦ λόγους
ἔγραφεν. ἐπειδὴ δ' ἃ κατηγόρει τότε τῶν ἄλλων, νῦν αὐτὸς πράτ
τει, εὐημεροῦντα μὲν οὕτως, ὥστε δύ' ἔχειν ἑταίρας, αἳ μέχρι φθό
νου καλῶς ποιοῦσαι προπεπέμφασιν αὐτόν· πέντε τάλαντα δ' ὀ-
φλόντα ῥᾳδίως ἐκτῖσαι, ἢ πέντε δραχμὰς ἂν ἐξευρεῖν πρότερον,
πρὸς δὲ τούτοις παρ' ὑμῶν τοῦ δήμου, οὐ μόνον τῆς πολιτείας με
τειληφότα, ὃ κοινὸν ὄνειδός ἐστιν ἅπασιν, ἀλλὰ καὶ θύοντα ὑπὲρ ὑ-
μῶν τὰς πατρῴας θυσίας ἐν Δελφοῖς. ὅταν οὖν τοιαῦτα καὶ τηλικαῦ
τα πᾶσιν ἰδεῖν ᾖ παραδείγματα, ἀφ' ὧν ἀλυσιτελὲς προελέσθαι
τὰ τοῦ δήμου πᾶσί τισιν εἶναι, φοβοῦμαι μήποτε ἔρημοι τῶν ὑ-
πὲρ ὑμῶν ἐρούντων γένησθε. ἄλλως τε καὶ ὅταν τῶν δημοτικῶν τοὺς
μὲν, ἡ καθήκουσα μοῖρα καὶ ἡ τύχη καὶ ὁ χρόνος παραιρῆται, οἷον
Ναυσικλέα καὶ Χάρητα καὶ Διότιμον καὶ Μενεσθέα καὶ Εὔδοξον. ἔτι
δ' Εὐδήμην καὶ Ἐφιάλτην καὶ Λυκοῦργον. τοὺς δ' ὑμεῖς προῆσθε, ὡς
τὸν Χαρίδημον καὶ Φιλοκλέα καὶ ἐμέ, ὧν ἑτέρους εὐνουστέρους οὐ-
δ' αὐτοὶ νομίζετε. εἶ δ' ὁμοίους τινάς, οὐ φθονῶ. βουλοίμην δ' ἂν
εἴπερ ὑμεῖς δικαίως αὐτοῖς προσοίσεσθε καὶ μὴ ταῦτα ἅπερ ὑμεῖς
πείσονται, ὡς πλείστους αὐτοὺς γενέσθαι. ἀλλ' ὅταν τοιαῦτα οἷα
τὰ νῦν παραδείγματα ἐκφέρητε, τίς ἐστιν ὅστις εἰς ταύτην τὴν
τάξιν ἑαυτὸν εὐνοϊκῶς ὑμῖν ἐθελήσει δοῦναι. ἀλλὰ μὴν τῶν γε προσ
ποιουμένων οὐκ ἀπορήσετε. οὐδὲ γὰρ πρότερον. μὴ γένοιτο δ' ἰδεῖν
ἐξελεγχθέντας αὐτοὺς ὁμοίως ἐκείνοις, οἳ φανερῶς ἃ τότε ἠροῦν

τον μὲν πολιτευόμενον οὐδένα ὑμῶν οὔτε δεδοίκασιν οὔτε αἰσχύνονται ἀρχὴ λογιζομένους ὦ ἄνδρες ἀθηναῖοι, μήτε τῶν ἄλλων ὀλιγωρεῖν, μήτε τοῖς προάγουσιν εἰς πλεονεξίαν καὶ ὠμότητα τὴν πόλιν πείθεσθαι. πολὺ γὰρ μᾶλλον εὐνοίας καὶ φιλανθρωπίας τὰ παρόντα πράγματα δεῖται, ἢ ταραχῆς καὶ δυσμενείας. ὧν ὑπερβολῇ χρώμενοί τινες ἐργολαβοῦσι καθ᾽ ὑμῶν εἰς ὑπόθεσιν πραγμάτων. ὧν διαψεύσειεν αὐτοὺς ὁ λογισμός. εἰ δέ τις ὑμῶν διασυρεῖ ταῦτα, πολλῆς εὐηθείας μεστός. εἰ γὰρ ἃ μηδεὶς ἂν ἤλπισεν ὁρῶν γεγενημένα ἃ πρότερον γέγονε τοῦ δήμου πρὸς τοὺς ὑπὲρ αὐτοῦ λέγοντας ὑπ᾽ ἀνθρώπων ἐγκληθέντων, διαβληθέντες νῦν μὴ ἂν οἴεται γενέσθαι, πῶς οὐ τετύφωται; ταῦτα γὰρ εἰ μὲν παρῆν, λέγων ἂν ὑμᾶς ἐδίδασκον. ἐπειδὴ δ᾽ ἐν τοῖς τοιούτοις εἰμί, ἐν οἷς εἴ τις ἐμοῦ κατέψευσται ἐφ᾽ οἷς ἀπελλα γένοιτο, γράψας ἐπέσταλκα. πρῶτον μὲν τὸ πλεῖστον λόγον ποιούμενος τοῦ καλοῦ καὶ τοῦ συμφέροντος ὑμῖν. δεύτερον, δ᾽ ὅτι τὴν αὐτὴν εὔνοιαν ἣν πρὸς ζῶντα λυκοῦργον εἶχον, δικαίαν εἶναι νομίζω καὶ πρὸς τοὺς παῖδας αὐτοῦ φαίνεσθαι ἔχων. εἰ δέ τῳ παρέστηκεν ὡς πολύ μοι περίεστι τῶν ἐμαυτοῦ πραγμάτων, ἕνεκ᾽ ἂν ἐκινησαίμι πρὸς τοῦτον εἰπεῖν, ὅτι τοῦ συμφέροντος ὑμῖν καὶ τοῦ μηδένα τῶν φίλων ἐγκαταλείπειν ὁμοίως ὥσπερ τῆς ἐμαυτοῦ σωτηρίας φροντίζω. οὐκ οὖν ἐκ τοῦ περιόντος ταῦτα ποιῶ, ἀλλ᾽ ἀπὸ τῆς αὐτῆς σπουδῆς καὶ προαιρέσεως καὶ ταῦτα κἀκεῖνα μιᾷ γνώμῃ πραγματεύομαι. περίεστι δέ μοι ταῦτα, οἷα τοῖς κακῶς νοοῦσιν ὑμῖν περιγένοιτο. καὶ περὶ μὲν τούτων ἱκανά. ἡδέως δ᾽ ἂν ὑμῖν τὴν ἐν εὐνοίᾳ καὶ φιλίᾳ μέμψιν ποιησαίμην νῦν μὲν ἐν κεφαλαίῳ. μικροῦ δ᾽ ὕστερον δι᾽ ἐπιστολῆς μακρᾶς. ἣν ἐάνπερ ἐγὼ ζῶ προσδοκᾶτε, ἂν μὴ τὰ δίκαια πάντα τύχω παρ᾽ ὑμῶν πρότερον. οὕτως ἐξ ὠμῶν

εἰ πολ

ἐτῶν μηθ᾽ ἁμαρτεῖν δοκοίην, μήτε ψευσαίμην λίαν ὀλίγωροι, εἴ τινας ἄγετ᾽ οὐχ ὑμᾶς αὐτοὺς αἰσχύνεσθε, ἐφ᾽ οἷς Ἀριστογείτονα ἀφήκατε, ἐπὶ τούτοις Δημοσθένην ἐκβεβληκότες. καὶ τοῖς πολλοῖς μηδὲν ὑμῶν φροντίζειν, μὴ λαβοῦσι παρ᾽ ὑμῶν ἔξεστιν ἔχειν ταῦτ᾽ οὐ δεδωκότες ἐμοὶ ἵνα οἷός τε ὦ τά τε ὀφειλόμενα εἰσπράξας καὶ τοὺς φίλους ἐρανίσας τὰ πρὸς ὑμᾶς διοικήσω. καὶ μὴ γῆρας καὶ φυγὴν ἐπὶ χεῖρα τῶν ὑπὲρ ὑμῶν πεπονημένων ἔχων, κοινὸν ὄνειδος τῶν ἀδικησάντων ἐπὶ ξένης περιιὼν ὁρῶμαι. βουλομένου δέ μου τῆς ὑμετέρας χάριτος καὶ μεγαλοψυχίας τὰ ζῇ τὴν οἴκαδέ μοι ἄφιξιν γενέσθαι, ἐμαυτῷ τὴν λύσιν τῆς γεγενημένης οὐ δικαίως βλασφημίας πορίσασθαι, καὶ μόνον αἰτοῦντος ἄδειαν ὅσονπερ χρόνον τὴν ἔκτισιν δεδώκατε, ταῦτα μὲν οὐ συγχωρεῖτε. ἐρωτᾶτε δ᾽ ὡς ἀπαγγέλλεται πρὸς ἐμέ, τίς οὖν αὐτὸν κωλύει παρεῖναι καὶ ταῦτα πράττειν, τὸ ἐπαισχύνεσθαι, ὦ ἄνδρες Ἀθηναῖοι. καὶ τὸ ἀναξίως τῶν ὑπὲρ ὑμῶν πεπολιτευμένων πράττειν, καὶ τὸ τὰ ὄντα ἀπολωλεκέναι διὰ τουτονί, ἵνα μὴ διπλᾶ καταθῶνται, ἃ οὐκ ἠδύναντο ἁπλᾶ, ἐπειδὴ ὑπογράψασθαι τὴν ἀρχὴν τῆς καταβολῆς, παρ᾽ ὧν με τὰ μὲν τῆς ὑμετέρας εὐνοίας ἀφικόμενος, μέρος εἰ καὶ μὴ πάντα ἴσως ἂν αἰτοίμην, ὥστε μηδὲν ἀσχημονεῖν τὸ λοιπὸν τοῦ βίου. ἀλλ᾽ ὡς οἱ ταῦτα λέγοντες ἀξιοῦσί με ἔλθω, ἅμα ἀδοξίᾳ καὶ ἀπορίᾳ καὶ φόβῳ συνέξομαι. ὧν οὐδὲν ὑμεῖς συλλογίζεσθε. ἀλλὰ ῥημάτων μοι καὶ φιλανθρωπίας φθονοῦντες ἂν οὕτω τύχῃ δι᾽ ὑμᾶς, περιόψεσθε ἀπολούμενον. οὐ γὰρ ἂν δεηθείην ἄλλων ἢ ὑμῶν. καὶ τότε φήσετε δεινὰ πεπονθέναι με ἀκριβῶς οἶδα, ὅτε οὔτ᾽ ἐμοὶ πλέον οὐδέν, οὔθ᾽ ὑμῖν ἔσται. οὐ γὰρ χρήματά γ᾽ εἶναί μοι προσδοκᾶτε, ἔξω τῶν φανερῶν ὧν ἀφίσταμαι. καὶ τὰ λοιπὰ βούλομαι συναγα-

γεῖν, ἐάν μοι μὴ φιλονείκως ἀλλ' ἀνθρωπίνως δῶτε τὸ πρὸς
τοῦ τοῖς ἀσφαλῶς εἶναι. καὶ μὴν οὐδὲ παρ' ἀρπάλου με λαβόντα
δείξετε. οὔτε γὰρ ἠλέγχθην, οὔτ' ἔλαβον. εἰ δὲ τὸ φανερὸν ἀξίωμα
τῆς βουλῆς ἢ τὸν ἄρειον πάγον προσβλέπετε, τῆς ἀριστογείτονος
κρίσεως ἀναμνησθέντες, ἐγκαλύψασθε. οὐ γὰρ ἔχω τούτου πρᾳό-
τερον πρόσταγμα τοῖς τοιαῦτ' ἐξημαρτηκόσιν εἰς ἐμέ. οὐ γὰρ δήπου
τοῖς αὐτοῖς ἐλέγχοις ὑπὸ τῆς αὐτῆς βουλῆς ἀποφανθέντα ἐκεῖνον
μὲν ἀφεῖσθαι δίκαιον εἶναι φήσετε. ἐμὲ δὲ ἀπολωλέναι. οὐ-
χ οὕτως ὑμεῖς ἀλογίστως ἔχετε. οὔτε γὰρ ἄξιος οὔτ' ἐπιτήδειος
οὔτε χείρων, ἀτυχὴς μέντοι δι' ὑμᾶς ὁμολογῶ. πῶς γὰρ οὐκ ἀτυ-
χὴς ᾧ πρὸς τοῖς ἄλλοις κακοῖς καὶ πρὸς ἀριστογείτονα ἐμαυτὸν ἐ-
ξετάζειν συμβαίνει. καὶ τοῦτο πολλῷ λόγῳ ὅτι πρὸς σωτηρίας τετυχη-
κότα. καὶ μή με ὑπολαμβάνετε ὀργίζεσθαι τοῖς λόγοις τούτοις.
οὐ γὰρ ἂν πάθοιμι τοῦτο πρὸς ὑμᾶς ἐγώ. ἀλλ' ἔχει τινὰ τοῖς ἀ-
δικουμένοις ῥᾳστώνην τὸ λέγειν ἃ πάσχουσιν, ὥσπερ τοῖς ἀλ-
γοῦσι τὸ στένειν. ἐπεὶ τὴν εὔνοιαν οὕτως ἔχω πρὸς ὑμᾶς, ὡς ὑμᾶς
ἂν εὐξαίμην πρὸς ἐμέ. καὶ τοῦτ' ἐν πᾶσι πεποίηκα καὶ ποιήσω φα-
νερόν. ἔγνωκα γὰρ ἐξ ἀρχῆς παντὶ τῷ πολιτευομένῳ προσήκειν
ὥσπερ ἂν ὁ δίκαιος πολίτης, ὥσπερ οἱ παῖδες πρὸς τοὺς γονέας,
οὕτως πρὸς ἅπαντας τοὺς πολίτας ἔχειν. εὔχεσθαι
μὲν ὡς εὐγνωμονεστάτων τυγχάνειν. φέρειν δὲ
τοὺς ὄντας εὐμενῶς. ἡ γὰρ ἐν τοῖς τοιού-
τοις ἧττα καλὴ καὶ προσή-
κουσα νίκη παρὰ τοῖς εὖ
φρονοῦσι κρίνεται.

Εὐτυχεῖτε

# ΠΡΟΣ ΤΑΣ ΘΗΡΑΜΕΝΟΥΣ ΒΛΑΣΦΗΜΙΑΣ.

Ημοσθένης τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. ἀκούω περὶ ἐμοῦ Θηραμένην ἄλλους τε λόγους βλασφήμους εἰρηκέναι καὶ δυστυχίαν προφέρειν. τὸ μὲν οὖν τοῦτον ἀγνοεῖν ὅτι λοιδορίας ἣ μηδὲ μίαν κακίαν κατ' ὅτου λέγεται δείκνυσιν, οὐδέν ἐστ' ὄφελος παρ' εὖ φρονοῦσιν ἀνθρώποις, οὐχὶ θαυμάζω· τὸν γὰρ θρασὺν μὲν τῷ βίῳ, μὴ πολίτην δὲ τὴν φύσιν, ἐν ἐργαστηρίῳ δὲ τεθραμμένον ἐκ παιδός, ἀναισθήτως ἔχειν τῶν τοιούτων, εὐλογώτερον ἦν ἢ μὴ συνιέναι. τούτῳ μὲν οὖν ἐὰν ἀφίκωμαί ποτε καὶ σωθῶ, πειράσομαι διαλεχθῆναι περὶ ὧν εἰς ἐμὲ καὶ περὶ ὧν εἰς ὑμᾶς παροινεῖ. καὶ νομίζω καίπερ οὐδὲν μετέχοντα τοῦ αἰσχύνεσθαι, μετριώτερον αὐτὸν ποιήσειν. ὑμῖν δὲ τοῦ κοινῇ συμφέροντος εἵνεκα, βούλομαι δι' ἐπιστολῆς οὓς περὶ τούτων ἔχω λόγους δηλῶσαι. οἷς πάνυ τὸν νοῦν προσέχετε· ἀκοῦσαι γὰρ ἀξίους οἶμαι οὐκ ἀκοῆς μόνον ἀλλὰ καὶ μνήμης ἀξίους εἶναι. ἐγὼ τὴν πόλιν τὴν ὑμετέραν εὐτυχεστάτην πασῶν πόλεων ὑπολαμβάνω καὶ θεοφιλεστάτην. καὶ ταῦτα οἶδα καὶ τὸν Δία τὸν Δωδωναῖον καὶ τὴν Διώνην καὶ τὸν Ἀπόλλω τὸν Πύθιον ἀεὶ λέγοντας ἐν ταῖς μαντείαις καὶ προσεπισφραγιζομένους τὴν ἀγαθὴν τύχην ἐν τῇ πόλει εἶναι τῇ παρ' ὑμῖν. ὅσα τοίνυν περὶ τῶν ἐπιόντων δηλοῦσιν οἱ θεοί, δῆλον ὡς προλέγουσι. τὰς δ' ἐκ τῶν παρεληλυθότων προσηγορίας ἐπὶ ταῖς γιγνομέναις πράξεσι τίθενται. ἃ τοίνυν ἐγὼ πεπολίτευμαι παρ' ὑμῖν, τῶν ἤδη γεγενημένων ἐστίν, ἀφ' ὧν εὐτυχεῖς ὑμᾶς προσηγορεύκασιν οἱ θεοί. πῶς ἂν δίκαιον τοὺς μὲν πεισθέντας εὐτυχεῖς ὀνομάζεσθαι, τὸν δὲ πείσαντα, τῆς ἐναντίας προσηγορίας τυγχάνειν; πλὴν εἰ τοῦτό τις εἴπαι, τὴν μὲν

κοινὴν εὐτυχίαν ἧς ἐγὼ σύμβουλος, θεοὺς τοὺς λέγοντας εἶναι, οἷς οὐ θέμις ψεύδεσθαι· τὴν δὲ δυσβλασφημίαν, ἣν κατ' ἐμοῦ κέχρηται Θηραμένης θρασὺν καὶ ἀναιδῆ καὶ οὐδὲ νοῦν ἔχων τὸν ἄνθρωπον εἰρηκέναι. οὐ τοίνυν μόνον τοῖς παρὰ τῶν θεῶν μαντείαις ἀγαθὴν οὖσαν εὑρήσετε, ἣν κέχρησθε τύχην, ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν ἔργων θεωροῦντες ἂν ἐξετάζητε ὀρθῶς. ὑμεῖς γὰρ εἰ μὲν ὡς ἄνθρωποι τὰ πράγματα βούλεσθε θεωρεῖν, εὐτυχεστάτην εὑρήσετε ἀφ' ὧν ἐγὼ συνεβούλευσα τὴν πόλιν γεγονυῖαν· εἰ δ' ἃ τοῖς θεοῖς ἐξαίρετον ὑπάρχει μόνοις, τούτων ἀξιώσετε τυγχάνειν, ἀδυνάτων ἐφίεσθε. τί οὖν ἔστι θεοῖς ἐξαίρετον, ἀνθρώποις δ' οὐ δυνατόν; ἁπάντων τῶν ἀγαθῶν ἐγκρατεῖς ὄντας κυρίους εἶναι καὶ αὐτοὺς ἔχειν καὶ δοῦναι τοῖς ἄλλοις. φλαῦρον δὲ μηδὲν μηδέποτε παρὰ τὸν αἰῶνα μήτε παθεῖν μήτε μελλῆσαι. καὶ μὴν ὑποκειμένων τούτων ὥσπερ προσήκει, σκοπεῖτε τὰ ὑμέτερα αὐτῶν πρὸς τὰ τῶν ἄλλων ἀνθρώπων. οὐδεὶς γὰρ οὕτως ἐστὶν ἀγνώμων, ὅστις ἂν ἢ τὰ Λακεδαιμονίοις συμβεβηκότα, οἷς οὐκ ἐγὼ συνεβούλευον, ἢ τὰ Πέρσαις, πρὸς οὓς οὐδὲ ἀφικόμην πώποτε, αἱρετώτερα φήσειεν εἶναι τῶν ὑμῖν παρόντων. καὶ ἐῶ Καππαδόκας καὶ Σύρους καὶ τοὺς τὴν Ἰνδικὴν χώραν κατοικοῦντας ἀνθρώπους ἐπ' ἔσχατα τῆς γῆς, οἷς ἅπασι συμβέβηκε πολλὰ καὶ δεινὰ πεπονθέναι καὶ χαλεπά. ἀλλὰ νὴ Δία τούτων μὲν ἄμεινον ὑμᾶς πράττειν ἅπαντες ὁμολογήσουσι, Θετταλῶν δὲ καὶ Ἀρκάδων καὶ Ἀργείων χεῖρον ἤ τινων ἄλλων, οἷς ἐκ συμμαχίας συνέβη γενέσθαι Φιλίππῳ. ἀλλὰ τούτων καὶ πολὺ βέλτιον ἀπηλλάχατε. οὐ μόνον τῷ μὴ δεδουλωκέναι, καίτοι τί τηλικοῦτον ἕτερον; ἀλλὰ καὶ τῷ τοὺς μὲν πάντας αἰτίους εἶναι δοκεῖν τῶν τοῖς Ἕλλησι κακῶν συμβεβηκότων διὰ Φιλίππου καὶ τῆς

δουλείας

δουλείας, ἐξ ὧν εἰκότως μισοῦμέν τε ὑμᾶς διορᾶσθε ὑπὲρ τῆς ἑλλή-
νων καὶ σώμασι καὶ χρήμασι καὶ πόλει καὶ χώρᾳ καὶ πᾶσιν ἠγωνισμένης. αὐ-
θις δὲ δουλείαν εἰκὸς ὑπάρχειν καὶ χεῖρον ἀθάνατον παρὰ τῶν τὰ δί-
καια βουλευομένων κρίνειν. οὐκοῦν ἀφ' ὧν ἐγὼ συνεβούλευσα, τὸ
μὲν ἀντιστρατεύων ἄριστα πράττειν τῇ πόλει συμβέβηκε. τὸ δὲ συνηγο-
ρεῖν μὲν ἀνεπιδοξότερον εἶναι πέπεισθε. τοιγαροῦν ἐπὶ τούτοις οἱ θεοὶ τὰς
μὲν μαντείας τὰς ἀγαθὰς ὑμῖν διδόασι. τὴν δὲ δίκην βλασφη-
μίαν, εἰς κεφαλὴν τῷ λέγοντι τρέπουσι. γνοίη δ' ἄν τις, εἰ προέλοιτο
ἐξετάσαι τὰ ἐπιτηδεύματα ἐν οἷς ζῇ. ἀγορὰν αὖ καταρᾶται τοῖς
θεοῖς, ταύτην τὴν προαιρέσεως ποιεῖν ἐχθρὸς μὲν δοκεῖ τοῖς γονεῦσι. φί-
λος δὲ πανουργίας τῆς πόρρω καὶ θρασύνεται μὲν ὡς ἀνήρ. πάσχει
δὲ ὡς γυνή. καὶ τοῦ μὲν πατρός ἐστι κρείττων. τῶν δ' αἰσχρῶν ἥττων.
οἷς δὲ τὸ πάντων δυσχεραίνεται, τούτοις τὴν διάνοιαν ἀγάλλεται
αἰσχρορρημοσύνῃ τε τῷ διηγεῖσθαι ταῦτα περὶ οἷς ἀλγοῦσιν οἱ ἀκούον-
τες. οὐδ' ὡς ἀφελὴς καὶ παρρησίας μεστὸς οὔπω ἐστί. καὶ ταῦτα οὐκ ἂν
ἔγραψα, εἰ μὴ κινῆσαι τὴν ἐν ὑμῖν μνήμην τῶν προσόντων αὐ-
τῷ κακῶν ἠβουλόμην. ἃ γὰρ ἂν εἰπεῖν ἄρτι σοι κηρῦσαι, καὶ γράψαι
φυλάξαι τὰ μέν. οἶμαι δὲ κἂν ἀκούσαντα δυσχεραίνειν ταῦτα. ἀπὸ
τούτων μνησθεὶς οἶδεν ἕκαστος ὑμῶν πολλὰ καὶ δεινὰ καὶ αἰσχρὰ
τούτῳ προσόντα. ὥστε μοί γε μηδὲν ἀναιδὲς εἰρῆσθαι, καὶ τούτων
ὑπόμνημα τῶν ἑαυτοῦ κακῶν ὀφθέντα παραπέμψαι. εὐτυχεῖτε.

Πρὸς ἡρακλεόδωρον.

Ημοθένης Ἡρακλεοδώρῳ εὖ πράττειν. οὐ θ' ὅπως χρὴ
πιστεύειν οἷς ἀπέστειλέ μοι Μενεκράτης τὸ ὅπως ἀπιστεῖν
ἔχω. ἔφη γὰρ Ἐπίτιμον ἐνδεδεῖχθαι μὲν καὶ ἀπῆχθαι ὑπὸ Ἀράτου.
σε δὲ ἀγωνίζεσθαι καὶ ἀπάντων αὐτῷ χαλεπώτατον εἶναι. δέομαι

δέομαί σου πρὸς Διὸς ξενίου καὶ πάντων τῶν θεῶν, μή με καταστή-
σῃς ἀηδεῖ καὶ δεινῷ μηδενὶ περιπετῆ. εὖ γὰρ ἴσθι χρεῖος τοῦ με-
λῆν μοι τῆς Ἐπιτίμου σωτηρίας, καὶ νομίσαι μεγάλην ἂν συμ-
φορὰν εἴ τι πάθοι, καὶ τούτου σὺ συναίτιος εἴης, αἰσχύνομαι γοῦν σου
εἰδότας μοι τοὺς λόγους οὓς ἐγὼ περὶ σοῦ πρὸς ἅπαντας ἀνθρώ-
πους ἔλεγον, πεπειθὼς ἐμαυτὸν ἀληθῆ λέγειν, οὐκ ἐκ τοῦ πε-
πλησιακέναι σοι πεῖραν ἔχων. ἀλλ' ὁρῶν ὅτι δόξης ἐπιτυγχά-
νων καὶ παιδείαν ἀπεδέχου καὶ ταῦτα τῆς ἀπὸ τῆς Πλάτωνος δια-
τριβῆς ὑπὲρ ὅσα ἀληθῶς τῶν μὲν πλεονεκτημάτων καὶ τῶν
περὶ ταῦτα σοφισμάτων ἔξω. τοῦ βελτίστου δὲ καὶ τοῦ δικαιοτά-
του παρὰ ἕνεκα ἐξητασμένη. ὡς μὰ τοὺς θεοὺς ἐμὲ μεταχεῖν τιμὴν
οὐχὶ ἀφυλεῖν καὶ πρὸς ἅπαντας ἀγαθὸν εἶναι οὐχ ὅσιον ἡγοῦμαι.
γένοιτο δή μοι κἀκεῖνο τῶν χαλεπωτάτων. εἰ γὰρ ὁρμηκὼς ἐ-
μαυτὸν συνοικῶς ἔχειν σοι, τὴν ἐναντίαν γνώμην μεταλαβεῖν ἀνα-
γκασθείην, ἃ δὴ ὑπολαμβάνω παρεωρᾶσθαι καὶ πεφενακίσθαι,
κἂν μὴ φῶ, νόμιζε οὕτως ἔχειν. εἰ δὲ ἡμῶν καταπεφρόνηκας ὅτι
τῶν πρώτων οὐκ ἐσμέν πω, λόγισαι ὅτι καὶ σὺ τότ' ἦσθα νέος, καὶ τὴν
ἡλικίαν εἶχες ἣν ἡμεῖς νῦν· ἔτι δὲ τοῦ συμβουλεύειν καὶ πράττειν
ἐγγύνησαι τηλικοῦτος. καὶ ἡμῖν τι τοιοῦτο συμβαίη. τὸ μὲν γὰρ εὖ βουλεύ-
εσθαι πάρεστι, τῆς δὲ τύχης συλλαμβανούσης, καὶ τοὔργον γίνοιτ' ἄν.
καλὸς οὖν ἔρανος, χάρις δικαία ἣν καὶ σὺ κτήσαι πρὸς ἐμέ. καὶ μὴ
δι' ἑνὸς τῶν εὖ φρονούντων χεῖρον ἄγου. μὴ δὲ ἢ πῶς. ἀλλ' ἐκεί-
νους μὲν ἄγε, ἐπὶ τὰ σοὶ δοκοῦντα. καὶ πράττε οὕτως ὅπως μηδε-
νὸς τῶν ὁμολογηθέντων στερηθῶ μέν. ἀλλ' Ἐπιτίμῳ γίνηται σωτηρία
τις καὶ ἀπαλλαγὴ τῶν κινδύνων. παρέσομαι δὲ εἰς τὸν χρόνον κἀ-
γὼ καθ' ὃν σὺ φῄς καιρὸν εἶναι. γράψας δέ μοι πέμψον ἢ καὶ ὡς φί-
λῳ ἐπίστελλε.

εὐτύχει

Ἡμοθέρης τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. ἦλθεν ἐπιστολὴ
παρ' Ἀντιφίλου πρὸς τοὺς τῶν συμμάχων συνέδρους,
τοῖς μὲν βουλομένοις ἀγαθὰ προσδοκᾶν ἱκανῶς γεγραμμένη. τοὺς δὲ ὑ-
πηρετοῦσιν Ἀντιπάτρῳ πολλοὺς καὶ δυσχερεῖς ἀπολείπουσα
λογισμούς. οἱ παραλαβόντες τὰ παρ' Ἀντιπάτρου γράμματα πρὸς
Δείναρχον εἰς Κόρινθον ἐλθόντα, ἁπάσαις ταῖς ἐν Πελοποννήσῳ πό-
λεσι. τοιούτων λόγων ἐπλήσαν, οἵων εἰς κεφαλὴν αὐτῶν προστρέ-
ψειαν οἱ θεοί. ἀφικομένου δὲ Στρυνίου ἥκοντος μετὰ τοῦ παρ' ἐμοῦ φέ-
ροντος γράμματα παρὰ Πολεμαίου πρὸς τὸν ἀδελφὸν Ἐπί-
νικον ἄνδρα ὑμῖν εὔνουν καὶ ἐμοὶ φίλον, κἀκείνου πρὸς ἐμὲ ἀνα-
γνόντος ἀκούσαντί μοι ἃ ἔλεγεν, ἐδόκει πρὸς ὑμᾶς αὐτὸν ἀ-
ποστεῖλαι, ὅπως πάντα σαφῶς ἀκούσαντες τὰ ἐν
τῷ στρατοπέδῳ γεγονότα, τοῦ περὶ τὴν μά-
χην παραγγελμένου τότε, εἰς τὸ
παρὸν θαρρῆτε, ἢ τὰ λοιπὰ
τῶν θεῶν θελόντων ἀβέλε
δεῖ ἔχειν ὑπολαμ-
βάνητε.

ΕΥΤΥΧΕΙΤΕ.

Τέλος τῶν Ἡμοθέρους ἐπιστολῶν

# ΕΠΙΣΤΟΛΑΙ ΠΛΑΤΩΝΟΣ.

## ΠΛΑΤΩΝ ΔΙΟΝΥΣΙΩι ΕΥΠΡΑΤΤΕΙΝ.

Ιατρίψας ἐγὼ παρ' ὑμῖν χρόνον τοσοῦτον, καὶ διοικῶν τὴν ὑμετέραν ἀρχὴν πεπιστευμένος, πάντων μάλιστα τὰς ὠφελείας ὑμῶν λαμβανόντων, τὰς διαβολὰς δυσχερεῖς οὔσας ὑπέμενον· ᾔδειν γὰρ ὅτι τῶν ὠμοτέρων οὐδὲν ἐμοῦ συνελθόντος, ὑμῖν δόξει πεπρᾶχθαι. πάντες γὰρ οἱ συμπολιτευόμενοι μεθ' ὑμῶν, ὑπάρχουσί μοι μάρτυρες· ὧν ἐγὼ πολλοῖς συνηγωνισάμην, ἀπολύσας αὐτοὺς οὐ σμικρᾶς ζημίας. αὐτοκράτωρ δὲ πολλάκις τὴν ὑμετέραν πόλιν διαφυλάξας, ἀπεπέμφθην ἀτιμότερον, ἢ πτωχὸν ὑμῶν ἀποστελλόντων προσήκει. καὶ κελευόντων ἐκπλεῦσαι, τοσοῦτον παρ' ὑμῖν διατρίψαντα χρόνον. ἐγὼ μὲν οὖν περὶ ἐμαυτοῦ βουλεύσομαι τὸ λοιπὸν, τρόπον ἀπανθρωπότερον· σὺ δὲ τοιοῦτος ὢν τύραννος, οἰκήσεις μόνος. τὸ δὲ χρυσίον τὸ λαμπρὸν ὅπερ ἔδωκας εἰς ἀποστολὴν, ἄγει σοι Βακχεῖος ὁ τὴν ἐπιστολὴν φέρων· οὔτε γὰρ ἐφόδιον ἐκεῖνό γε ἦν ἱκανὸν, οὔτε πρὸς τὸν ἄλλον βίον ξυμφέρον. ἀδοξίαν δὲ πλείστην μὲν τῷ διδόντι σοι παρασκευάζον· οὐ πολλῷ δὲ ἐλάττω κἀμοὶ τῷ λαμβάνοντι. διόπερ οὐ λαμβάνω. σοὶ δ' οὐδὲν διαφέρει δηλονότι καὶ λαβεῖν καὶ δοῦναι τοσοῦτον. ὥστε κομισάμενος, ἄλλον τινὰ τῶν ἑταίρων θε-

ραπευσομένους πρὸς ἐμέ. κἀγὼ γὰρ ἱκανῶς ὑπὸ σοῦ τεθεράπευμαι. καί μοι τὸ τοῦ Εὐριπίδου, κατὰ καιρὸν δοκεῖ εἰπεῖν, ὅτι σοὶ πραγμάτων ἄλλων ποτὲ ξυμπεσόντων, οὐδ' ἕξει τοιοῦτον ἄνδρα σοὶ παραστάναι. ὑπομνῆσαι δέ σε βούλομαι. διότι καὶ τῶν ἄλλων τραγῳδοποιῶν οἱ πλεῖστοι ὅταν ὑπό τινος ἀποθνήσκοντα τύραννον εἰσάγωσιν, ἀναβοῶντα ποιοῦσι. φίλων ἔρημος ὢ τάλας ἀπόλλυμαι. χρηστοῦ δὲ οὐδενὸς ἀπολλυμένου, οὐδεὶς πεποίηκε. κἀκεῖνο δὲ τὸ ποίημα τοῖς νοῦν ἔχουσιν, οὐ κακῶς ἔχειν δοκεῖ. οὐ χρυσὸς ἀγλαὸς σπανιώτατος ἐν θνατῶν δυσελπίστω βίῳ οὐδ' ἀδάμας, οὐδ' ἀργύρου κλῖναι, πρὸς ἄνθρωπον

δοκιμαζόμενα ἀστράπτει πρὸς ὄψεις. οὐδὲ γαίας εὐρυ-
πέδου, γόνιμοι βρίθοντες αὐτάρκεις γύαι, ὡς
ἀγαθῶν ἀνδρῶν ὁμοφραδμων νόησις.
ἔρρωσο. σὺ γίνωσκε τοσοῦτον ἡ-
μῶν διημαρτηκὼς ἵνα
πρὸς τοὺς ἄλλους
βέλτιον
προσ-
φέ-
ρῃ.

## Τῷ αὐτῷ.

Κουσα ἀρχεδήμου ὅτι σὺ ἡγῇ χρῆναι περὶ σοῦ, μὴ μόνον ἐμὲ ἡσυχίαν ἄγειν, ἀλλὰ καὶ τοὺς ἐμοὺς ἐπιτηδείους· τοῦ φλαῦρόν τι ποιεῖν ἢ λέγειν περὶ σοῦ. Δίωνα δὲ μόνον, ἐξαίρετον ποιῇ. οὗτος δὲ ὁ λόγος σημαίνει, τὸ δίωνα ἐξαίρετον εἶναι, ὅτι οὐκ ἄρχω ἐγὼ τῶν ἐμῶν ἐπιτηδείων· εἰ γὰρ ἦρχον ἐγὼ οὕτω τῶν τε ἄλλων καὶ σοῦ καὶ δίωνος, πλείω ἂν ἦν ὑμῖν τε πᾶσιν ἀγαθὰ, τοῖς τε ἄλλοις ἕλλησιν ὡς ἐγώ φημι· νῦν δὲ μέγας ἐγώ εἰμι, ἐμαυτὸν παρέχων τῷ ἐμῷ λόγῳ ἑπόμενον· καὶ ταῦτα λέγω ὡς οὐχ ὑγιές τι κρατιστόλου καὶ πολυξένου πρὸς σὲ εἰρηκότων, ὧν φασι λέγειν τὸν ἕτερον, ὅτι ἀκούοι ὀλυμπίασι πολλῶν τινων τῶν μετ' ἐμοῦ σε κατηγορούντων· ἴσως γὰρ ὀξύτερον ἐμοῦ ἀκούει· ἐγὼ μὲν γὰρ οὐκ ἤκουσα· χρὴ δὲ ὡς ἐμοὶ δοκεῖ οὑτωσί σε ποιεῖν τὸ λοιπόν· ὅταν τι τοιοῦτον λέγῃ τις περὶ ἡμῶν τινος, γράμματα πέμψαντα, ἐμὲ ἐρέσθαι· ἐγὼ γὰρ τἀληθῆ λέγειν, οὔτε ὀκνήσω, οὔτε αἰσχυνοῦμαι· ἐμοὶ δὲ δὴ καὶ σοὶ τὰ πρὸς ἀλλήλους οὑτωσὶ τυγχάνει ἔχοντα· οὔτε αὐτοὶ ἀγνῶτες ἐσμὲν οὐδενὶ ἑλλήνων ὡς ἔπος εἰπεῖν· οὔτε ἡ συνουσία ἡμῶν σιγᾶται· μὴ λανθανέτω δέ σε ὅτι οὐδ' εἰς τὸν ἔπειτα χρόνον σιγηθήσεται· τοιοῦτοι οἱ παραδεδεγμένοι εἰσὶν αὐτήν· ἅτε οὐκ ὀλίγην γεγενημένην οὐδ' ἠρέμα· τί οὖν δὴ λέγω νυνί· ἐρῶ ἄνωθεν ἀρξάμενος· πέφυκε ξυνιέναι εἰς ταὐτὸ φρόνησίς τε καὶ δύναμις μεγάλη· καὶ ταῦτ' ἄλληλα ἀεὶ διώκει καὶ ζητεῖ καὶ ξυγγίγνεται· ἔπειτα καὶ οἱ ἄνθρωποι χαίρουσι περὶ τούτων, αὐτοί τε διαλεγόμενοι καὶ ἄλλων ἀκούοντες ἔν τε ἰδίαις συνουσίαις καὶ ἐν ταῖς ποιήσεσιν· οἷον καὶ περὶ ἱέρωνος ὅταν διαλέγωνται

ἄνθρωποι καὶ παυσανίου τοῦ λακεδαιμονίου χαίροισι τὴν σιμωνίδου ξυνουσίαν περιφέροντες, ἅ, τε ἔπραξε, καὶ εἶπε πρὸς αὐτούς. καὶ περίανδρον τὸν κορίνθιον. καὶ θαλῆν τὸν μιλήσιον, ὑμνεῖν εἰώθασιν ἅμα. καὶ περικλέα καὶ ἀναξαγόραν. καὶ κροῖσον αὖ καὶ σόλωνα, ὡς σοφούς. καὶ κῦρον, ὡς δυνάστην. καὶ δὴ ταῦτα μιμούμενοι οἱ ποιηταί, κρέοντα μὲν καὶ τειρεσίαν συνάγουσι. πολύειδον δέ, καὶ μίνω. ἀγαμέμνονα δέ, καὶ νέστορα. καὶ ὀδυσσέα καὶ παλαμήδην. ὡς δ' ἐμοὶ δοκεῖ, καὶ προμηθέα δὴ τούτῳ τῷ συνῆγον οἱ πρῶτοι ἄνθρωποι. τούτων δὲ τοὺς μὲν εἰς διαφοράν, τοὺς δὲ εἰς φιλίαν ἀλλήλοις ἰόντας. τοὺς δέ, τοτὲ μὲν εἰς φιλίαν. τοτὲ δ' εἰς διαφοράν. καὶ τὰ μέν, ὁμονοοῦντα, τὰ δέ, διαφερομένους ᾄδουσι. πάντα δὴ ταῦτα λέγω, τόδε βουλόμενος ἐνδείξασθαι. ὅτι οὐκ ἐπειδὰν ἡμεῖς τελευτήσωμεν, καὶ οἱ λόγοι οἱ περὶ ἡμῶν αὐτῶν σεσιγήσονται. ὥστε ἐπιμελητέον αὐτῶν ἐστίν. ἀνάγκη γὰρ ὡς ἔοικε, μέλειν ἡμῖν καὶ τοῦ ἔπειτα χρόνου. ἐπειδὴ καὶ τυγχάνουσι κατά τινα φύσιν. οἱ μὲν ἀνδραποδωδέστατοι οὐδὲν φροντίζοντες αὐτοῦ. οἱ δ' ἐπιεικέστατοι πάντα ποιοῦντες, ὅπως ἂν εἰς τὸν ἔπειτα χρόνον εὖ ἀκούωσιν, ὃ δὴ καὶ ἐγὼ τεκμήριον ποιοῦμαι. ὅτι ἐστί τις αἴσθησις τοῖς τε θνεῶσι, τῶν ἐνθάδε. αἱ γὰρ βέλτισται ψυχαί, μαντεύονται ταῦτα οὕτως ἔχειν. αἱ δὲ μοχθηρόταται οὔ φασι. κυριώτερα δέ, τὰ τῶν θείων ἀνδρῶν μαντεύματα, ἢ τὰ τῶν μή. οἶμαι δ' ἔγωγε τοῖς ἔμπροσθεν περὶ ὧν λέγω, εἰ ἐξείη αὐτοῖς ἐπανορθώσασθαι τὰς αὐτῶν συνουσίας, πάνυ ἂν σπουδάσαι ὥστε βέλτιον λέγεσθαι περὶ αὐτῶν ἢ νῦν. τοῦτο ἡμῖν ἔτι σὺν θεῷ εἰπεῖν ἔξεστιν. εἴ τι ἄρα μὴ καλῶς πέπρακται κατὰ τὴν ἔμπροσθεν συνουσίαν ἐπανορθώσασθαι, καὶ ἔργῳ καὶ λόγῳ. περὶ γὰρ φιλοσοφίαν φημὶ ἐγὼ τὴν ἀληθινὴν δόξαν ἔσεσθαι

ἔσεσθαι ἡμῶν μὲν ὄντων ἐπιεικῶν, βελτίω· φαύλων δὲ, τοὐναντίον.
καίτοι περὶ τούτου ἡμᾶς ἐπιμελουμένους, οὐδὲν ἂν ἀσεβέστερον
πράττοιμεν· οὐδὲ μὴ ἀμελοῦντας, ἀσεβέστερον. ὡς δὴ δεῖ γίνεσθαι, καὶ τὸ
δίκαιον ὃ ἔχει, ἐγὼ φράσω. ἦλθον ἐγὼ εἰς σικελίαν, δόξαν ἔχων
πολὺ τῶν ἐν φιλοσοφίᾳ διαφέρειν. βουλόμενος δὲ ἐλθεῖν εἰς συ-
ρακούσας συμμάρτυρα λαβεῖν σε. ἵνα μοι τιμῷτο φιλοσοφία
καὶ παρὰ τῷ πλήθει. τοῦτο δ' οὐκ εὐαγές μοι ἀπέβη. τὸ δ' αἴτιον,
οὐ λέγω ὅπερ ἂν πολλοὶ εἴποιεν. ἀλλ' ὅτι ἐφαίνου, οὐ πάνυ ἐμοὶ πι-
στεύειν σύ. ἀλλ' ἐμὲ μὲν πως ἀποπέμψασθαι ἐθέλειν, ἑτέρους δὲ με-
ταπέμψασθαι, καὶ ζητεῖν δὲ πρᾶγμα, τί τὸ ἐμόν ἐστιν, ἀπιστῶν ὡς
ἐμοὶ δοκεῖ. καὶ οἱ ἐπὶ τούτοις βοῶντες, πολλοὶ ἦσαν, λέγοντες, ὡς
σὺ ἐμοῦ μὲν, καταπεφρόνηκας. ἄλλα δ' ἐσπουδάκεις. ταῦτα δὴ
διαβεβόηται. ὃ δὴ μετὰ ταῦτα δίκαιόν ἐστι ποιεῖν, ἄκουε. ἵνα σοι
καὶ ἀποκρίνωμαι ὃ σὺ ἐρωτᾷς, πῶς χρὴ ἔχειν ἐμὲ καὶ σὲ πρὸς ἀλ-
λήλους. εἰ μὲν ὅλως φιλοσοφίας καταπεφρόνηκας, ἐᾶν χαί-
ρειν. εἰ δὲ παρ' ἑτέρου ἀκήκοας, ἢ αὐτὸς βελτίονα εὕρηκας
τῶν παρ' ἐμοὶ, ἐκεῖνα τίμα. εἰ δ' ἄρα τὰ παρ' ἡμῶν σοι ἀρέσκει,
τιμητέον καὶ ἐμὲ μάλιστα. νῦν οὖν ὥσπερ καὶ ἐξ ἀρχῆς, σὺ κα-
θηγοῦ. ἕψομαι δὲ ἐγώ. τιμώμενος μὲν γὰρ ὑπὸ σοῦ, τιμήσω σε.
μὴ τιμώμενος δὲ, ἡσυχίαν ἕξω. ἔτι δὲ σὺ μὲν ἐμὲ τιμῶν καὶ τού-
του καθηγούμενος φιλοσοφίαν δόξεις τιμᾶν. καὶ αὐτὸ τοῦτο ὅτι
διεσκόπεις καὶ ἄλλους, πρὸς πολλῶν εὐδοξίαν σοι οἴσει ὡς φιλο-
σόφῳ ὄντι. ἐγὼ δέ σε τιμῶν μὴ τιμῶντα, πλοῦτον δόξω θαυμάζειν τε
καὶ διώκειν. τοῦτο δ' ἴσμεν ὅτι παρὰ πᾶσιν ὄνομα οὐ καλὸν ἔχει.
ὡς δ' ἐν κεφαλαίῳ εἰπεῖν, σοῦ μὲν τιμῶντος, ἀμφοτέροις κό-

σμος. ἐμὲ δὲ, ἔνθαδος ἀμφοῖν. περὶ μὲν οὖν τούτων ταῦτα. τὸ δὲ σφαιρίον, οὐκ ὀρθῶς ἔχει. δηλώσει δέ σοι Ἀρχέδημος, ἐπειδὰν ἔλθῃ. καὶ δὴ καὶ περὶ τοῦδε ὃ τούτου τιμιώτερόν τ᾽ ἐστὶ καὶ θειότερον, καὶ μάλα σφόδρα αὐτῷ δηλωτέον, ὑπὲρ οὗ σὺ πέπομφας ἀπορούμενος. φὴς γὰρ δὴ κατὰ τὸν ἐκείνου λόγον, οὐχ ἱκανῶς ἀποδεδεῖχθαί σοι περὶ τῆς τοῦ πρώτου φύσεως. φραστέον δή σοι δι᾽ αἰνιγμῶν, ἵν᾽ ἄν τι ἡ δέλτος ἢ πόντου ἢ γῆς ἐν πτυχαῖς πάθῃ, ὁ ἀναγνοὺς μὴ γνῷ. ὧδε γὰρ ἔχει. περὶ τὸν πάντων βασιλέα πάντ᾽ ἐστὶ καὶ ἐκείνου ἕνεκα πάντα. καὶ ἐκεῖνο αἴτιον ἁπάντων τῶν καλῶν. δεύτερον δὲ, περὶ τὰ δεύτερα, καὶ τρίτον περὶ τὰ τρίτα. ἡ οὖν ἀνθρωπίνη ψυχὴ, περὶ αὐτὰ ὀρέγεται, μαθεῖν ποῖ᾽ ἄττα ἐστὶ, βλέπουσα εἰς τὰ αὑτῆς συγγενῆ ὧν οὐδὲν ἱκανῶς ἔχει. τοῦ δὴ βασιλέως πέρι καὶ ὧν εἶπον, οὐδέν ἐστι τοιοῦτον. τὸ δὴ μετὰ τοῦτο ἡ ψυχή φησιν. ἀλλὰ ποῖόν τι μήν; τοῦτ᾽ ἐστὶν ὦ παῖ Διονυσίου καὶ Δωρίδος τὸ ἐρώτημα, ὃ πάντων αἴτιόν ἐστι κακῶν. μᾶλλον δὲ ἡ περὶ τούτου ὠδὶς, ἐν τῇ ψυχῇ ἐγγιγνομένη. ἣν εἰ μή τις ἐξαιρεθήσεται, τῆς ἀληθείας ὄντως οὐ μήποτε τύχοι. σὺ δὲ τοῦτο πρὸς ἐμὲ ἐν τῷ κήπῳ ὑπὸ ταῖς δάφναις, αὐτὸς ἔφησθα ἐννενοηκέναι. καὶ εἶναι σὸν εὕρημα. καὶ ἐγὼ εἶπον, ὅτι τοῦτο εἰ φαίνοιτό σοι οὕτως ἔχειν, πολλῶν ἂν εἴης λόγων ἐμὲ ἀπολελυκώς. οὐ μὴν ἄλλῳ πώποτ᾽ ἔφην ἐντετυχηκέναι, τοῦθ᾽ ηὑρηκότι. ἀλλὰ ἡ πολλή μοι πραγματεία, περὶ τοῦτ᾽ εἴη. σὺ δὲ ἴσως μὲν ἀκούσας του, τάχα δ᾽ ἂν θείᾳ μοίρᾳ, κατὰ τοῦθ᾽ ὁρμήσας. ἔπειτα αὐτοῦ τὰς ἀποδείξεις ὡς ἔχων βεβαίως, οὐ κατέδησας, ἀλλ᾽ ἄττει σοι τοτὲ μὲν οὕτως, τοτὲ δὲ ἄλλως, περὶ τὸ φανταζόμενον. τὸ δὲ, οὐδέν ἐστι τοιοῦτον. καὶ τοῦτο, οὐ σοὶ μόνῳ γέγονεν. ἀλλ᾽ εὖ ἴσθι μηδένα πώποτέ μου τὸ πρῶτον ἀκούσαντα, ἔχειν ἄλλως πως, ἢ οὕτως κατ᾽ ἀρχάς. καὶ ὁ μὲν πλείω ἔχων πράγματα, ὁ δὲ ἐλάττω, μόγις ἀπαλλάττονται.

σχεδὸν

σχεδὸν δὲ οὐδεὶς ὀλίγα. τούτων δὴ γεγονότων καὶ ἐχόντων οὕτω σχεδὸν κατὰ τὴν ἐμὴν δόξαν εὑρήκαμεν ὃ σὺ ἐπέστειλας, ὅπως δεῖ πρὸς ἀλλήλους ἡμᾶς ἔχειν. ἐπεὶ γὰρ βασανίζεις αὐτὰ ξυγγιγνόμενός τε ἄλλοις, καὶ παραθεώμενος παρὰ τὰ τῶν ἄλλων, καὶ αὐτὰ καθ᾽ αὑτά, νῦν σοι ταῦτά τε, εἰ ἀληθὴς ἡ βάσανος, προσφύσεται. καὶ οἰκεῖος τούτοις τε καὶ ἡμῖν ἔσῃ. πῶς οὖν οὐ ταῦτ᾽ ἔσται καὶ πάντα ἃ εἰρήκαμεν; τὸν ἀρχέδημον, νῦν τε ὀρθῶς ἐποίησας πέμψας. καὶ τὸ λοιπὸν ἐπειδὰν ἔλθῃ πρὸς σέ, καὶ ἀπαγγείλῃ τὰ παρ᾽ ἐμοῦ. μετὰ ταῦτα ἴσως ἄλλαι σε ἀπορίαι λήψονται. πέμψεις οὖν αὖθις ἂν ὀρθῶς βουλεύῃ παρ᾽ ἐμὲ τὸν ἀρχέδημον. ὁ δὲ ἐμπορευσάμενος, ἥξει πάλιν. καὶ τοῦτο ἐὰν δὶς ἢ τρὶς ποιήσῃς, καὶ βασανίσῃς τὰ παρ᾽ ἐμοῦ πεμφθέντα ἱκανῶς, θαυμάζοιμ᾽ ἂν εἰ μὴ τὰ πρὶν ἀπορούμενα πολύ σοι διοίσει, ἢ τὰ νῦν. θαρροῦντες οὖν ποιεῖτε οὕτως. οὐ μὴ γὰρ ποτε περὶ ἐμπορείας ταύτης, οὔτε σὺ στελεῖς, οὔτε ἀρχέδημος ἐμπορεύσεται καλλίω καὶ θεοφιλεστέραν. εὐλαβοῦ μέντοι, μήποτε ἐκπέσῃ ταῦτα εἰς ἀνθρώπους ἀπαιδεύτους. σχεδὸν γὰρ ὥς ἐμοὶ δοκεῖ, οὐκ ἔστι τούτων πρὸς τοὺς πολλοὺς καταγελαστότερα ἀκούσματα. οὐδ᾽ αὖ πρὸς τοὺς εὐφυεῖς θαυμαστότερά τε καὶ ἐνθουσιαστικώτερα. πολλάκις δὲ λεγόμενα καὶ ἀεὶ ἀκουόμενα, καὶ πολλὰ ἔτη, μόγις ὥσπερ χρυσὸς ἐκκαθαίρεται μετὰ πολλῆς πραγματείας. ὃ δὲ θαυμαστὸν αὐτοῦ γέγονεν, ἄκουσον. εἰσὶ γὰρ ἄνθρωποι ταῦτα ἀκηκοότες, καὶ πλείους, δυνατοὶ μὲν μαθεῖν. δυνατοὶ δὲ μνημονεῦσαι. καὶ βασανίσαντες πάντῃ, πάντως κρῖναι γέροντες ἤδη, καὶ οὐκ ἐλάττω τριάκοντα ἐτῶν ἀκηκοότες. οἳ νῦν ἄρτι σφίσι φασὶ, τὰ μὲν τότε ἀπιστότατα δόξαντα εἶναι, νῦν πιστότατα καὶ ἐναργέστατα φαίνεσθαι. ἃ δὲ τότε πιστότατα, νῦν τοὐναντίον. πρὸς ταῦτ᾽ οὖν σκοπῶν εὐλαβοῦ μήποτέ σοι μεταμελήσῃ τῶν νῦν ἀξίως ἐκ-

σοι τῶν. μεγίστη δὲ φυλακὴ, τὸ μὴ γράφειν, ἀλλ' ἐκμανθάνειν. οὐ γάρ ἐστι τὰ γραφέντα, μὴ οὐκ ἐκπεσεῖν. διὰ ταῦτα οὐδὲν πώποτ' ἐγὼ περὶ τούτων γέγραφα. οὐδ' ἔστι σύγγραμμα πλάτωνος οὐδὲν, οὐδ' ἔσται. τὰ δὲ νῦν λεγόμενα, σωκράτους ἐστὶ καλοῦ καὶ νέου γεγονότος. ἔρρωσο, καὶ πείθου. καὶ τὴν ἐπιστολὴν ταύτην νῦν πρῶτον πολλάκις ἀναγνοὺς, κατάκαυσον. ταῦτα μὲν ταύτῃ. περὶ δὲ πολυξένου, ἐθαύμασας, ὅτι οὐ πέμψαιμι σοι. ἐγὼ δὲ καὶ περὶ λυκόφρονος, καὶ τῶν ἄλλων τῶν παρὰ σοὶ ὄντων, λέγω καὶ πάλαι καὶ νῦν τὸν αὐτὸν λόγον, ὅτι πρὸς τὸ διαλεχθῆναι καὶ φύσει καὶ τῇ μεθόδῳ τῶν λόγων, πάμπολυ διαφέρεις αὐτῶν. καὶ οὐδεὶς αὐτῶν ἑκὼν ἐξελέγχεται ὥς τινες ὑπολαμβάνουσιν, ἀλλ' ἄκοντες. καὶ δοκεῖς μέντοι πάνυ μετρίως κεχρῆσθαί τε αὐτοῖς καὶ δεδωρῆσθαι. ταῦτα μὲν περὶ τούτων πολλὰ, ὡς περὶ τοιούτων. φιλιστίωνι δὲ, εἰ μὲν αὐτὸς χρῇ, σφόδρα χρῶ. εἰ δὲ οἷόν τε, σπευσίππῳ χρῆσον καὶ ἀπόπεμψον. δεῖται δέ σου καὶ σπεύσιππος. ὑπέσχετο δέ μοι καὶ φιλιστίων, εἰ σὺ ἀφείης αὐτὸν, ἥξειν προθύμως ἀθήναζε. τὸν ἐκ τῶν λατομιῶν εὖ ἐποίησας ἀφείς. ἐλαφρὰ δὲ ἡ δέησις, καὶ περὶ τῶν οἰκετῶν αὐτοῦ, καὶ περὶ ἡγησίππου τοῦ ἀρίστωνος. ἐπέστειλας γάρ μοι, αὖ τις ἀδικῇ ἢ τοῦτον ἢ ἐκείνους, καὶ σὺ αἴσθῃ, μὴ ἐπιτρέψειν. καὶ περὶ λυσικλείδου, τἀληθὲς εἰπεῖν ἄξιον. μόνος γὰρ τῶν ἐκ σικελίας ἀθήναζε ἀφικομένων, οὐδὲν μετεβάλετο περὶ τῆς σῆς καὶ ἐμῆς συνουσίας, ἀλλ' ἀεί τι ἀγαθὸν καὶ ἐπὶ τὰ βελτίω λέγων περὶ τῶν γεγονότων, διατελεῖ. Τῷ αὐτῷ.

π Πλάτων, διονυσίῳ χαίρειν ἐπιστείλας, ἆρ' ὀρθῶς ἂν τυγχάνοιμι τῆς βελτίστης προσρήσεως, ἢ μᾶλλον κατὰ τὴν ἐμὴν συνήθειαν γράφων εὖ πράττειν, ὥσπερ εἴωθα ἐν ταῖς ἐπιστολαῖς τοὺς φίλους προσαγορεύειν; σὺ μὲν γὰρ δὴ καὶ τὸν θεὸν ὡς ἤγγελλον οἱ τότε θεωροῦντες, προσεῖπες ἐν δελ-

φοῖς αὐτῷ τούτῳ θωπεύσας τῷ ῥήματι. καὶ γέγραφας ὥς φασὶ χαῖρε καὶ ἡδόμενον βίοτον διάσωζε τυράννου· ἐγὼ δὲ, οὐδὲ ἀνθρώπῳ, μὴ ὅτι δὴ θεῷ, παρακελευσαίμην ἂν δρᾶν τοῦτο. θεῷ μὲν, ὅτι παρὰ φύσιν προστάττοιμ' ἄν. πόρρω γὰρ ἡδονῆς ἵδρυται καὶ λύπης, τὸ θεῖον. ἀνθρώπῳ δὲ, ὅτι τὰ πολλὰ βλάβην ἡδονὴ καὶ λύπη γεννᾷ. δυσμαθίαν καὶ λήθην καὶ ἀφροσύνην καὶ ὕβριν τίκτουσα ἐν τῇ ψυχῇ. καὶ ταῦτα μὲν οὕτως εἰρήσθω παρ' ἐμοῦ περὶ τῆς προσρήσεως. σὺ δ' ἀναγνοὺς αὐτὰ, ὅπη βούλει δέξασθαι, ταύτῃ δέχου. Φασὶ δ' οὐκ ὀλίγοι, λέγειν σε πρός τινας τῶν παρὰ σὲ πρεσβευόντων. ὡς ἄρα σοῦ ποτε λέγοντος, ἀκούσας ἐγὼ μέλλοντος τάς τε Ἑλληνίδας πόλεις ἐν Σικελίᾳ οἰκίζειν, καὶ Συρακουσίους ἐπικουφίσαι τὴν ἀρχὴν, ἀντὶ τυραννίδος εἰς βασιλείαν μεταστήσαντα, ταῦτ' ἄρα σὲ μὲν τότε διεκώλυσα ὡς σὺ φὴς, σοῦ σφόδρα προθυμουμένου. νῦν δὲ Δίωνα διδάσκοιμι δρᾶν αὐτὰ ταῦτα. καὶ τοῖς διανοήμασι τοῖς σοῖς, τὴν σὴν ἀρχὴν ἀφαιρούμεθά σε. σὺ δὲ εἰ μέν τι διὰ τοὺς λόγους τούτους ὠφελῇ, γινώσκεις αὐτός. ἀδικεῖς δ' οὖν ἐμὲ τἀναντία τῶν γινομένων λέγων. ἅδην γὰρ ὑπὸ Φιλιστίδου, καὶ ἄλλων πολλῶν, πρὸς τοὺς μισθοφόρους, καὶ εἰς τὸ Συρακουσίων πλῆθος διεβλήθην, διὰ τὸ μένειν ἐν ἀκροπόλει. τοὺς δ' ἔξωθεν, εἴ τι γίγνοιτο ἁμάρτημα, πᾶν εἰς ἐμὲ τρέπειν, σὲ φάσκοντας πάντα ἐμοὶ πείθεσθαι. σὺ δ' αὐτὸς οἶσθα σαφέστατα τῶν πολιτικῶν ἐμὲ σοὶ κοινῇ πραγματευσάμενον ἑκόντα, ὀλίγα δὴ κατ' ἀρχὰς ὅτε τι πλέον τι ἂν ᾤμην. ἄλλα τε βραχέ' ἄττα περὶ τὰ τῶν νόμων προοίμια σπουδάσαντα μετρίως, χωρὶς ὧν σὺ προσέγραψας ἤ τις ἕτερος. ἀκούω γὰρ ὕστερον ὑμῶν τινας αὐτὰ διασκευωρεῖν. δῆλα μὴν ἑκάτερα ἔσται, τοῖς τὸ ἐμὸν ἦθος δυναμένοις κρίνειν. ἀλλ' οὖν ὅπερ ἄρτι εἶπον, οὐ διαβολῆς προσδέομαι πρὸς Συρακουσίους, οὐδ' εἴ τινας ἑτέρους πείθεις λέγων αὐτά.

ἀλλὰ πολὺ μᾶλλον ἀπολογίας πρός τε τὴν προτέραν γενομένην
διαβολὴν· καὶ τὴν νῦν μετ' ἐκείνην μείζω φυομένην καὶ σφοδρο-
τέραν. πρὸς δύο δή μοι, διττὰς ἀναγκαῖον ποιήσασθαι τὰς ἀπο-
λογίας. πρῶτον μὲν, ὡς εἰκότως σοι ἔφυγον κοινωνεῖν περὶ τὰ τῆς
πόλεως πράγματα· τὸ δὲ δεύτερον, ὡς οὐκ ἐμὴν ταύτην εἶχες
συμβουλήν· οὐδ' ἐμὲ διακωλύσειν μέλλοντί σοι κατοικίζειν ἑλληνίδας
πόλεις, ἐμποδὼν ἐμὲ γεγονέναι. τὴν οὖν ἀρχὴν ὧν εἶπον, περὶ προτέρων
ἄκουε πρότερον. ἦλθον καλούμενος εἰς συρακούσας, ὑπό τε σοῦ καὶ
Δίωνος. τοῦ μὲν δεδοκιμασμένου παρὰ σοὶ καὶ ξένου πάλαι γε-
γονότος. ἐν ἡλικίᾳ τε ὄντος μέσῃ τε καὶ καθεστηκυίᾳ. ὧν δὴ πάντως
χρεία τοῖς νοῦν καὶ σμικρὸν κεκτημένοις, μέλλουσι περὶ τοσούτων
ὅσα ἦν τότε τὰ σὰ, βουλεύεσθαι. σοῦ δὲ ὄντος μὲν σφόδρα νέου,
πολλῆς δὲ ἀπειρίας οὔσης περὶ σὲ, τούτων ὧν ἔμπειρον ἔδει γε-
γονέναι, καὶ σφόδρα ἀγνῶτος ἐμοί. τὸ μετὰ τοῦτο, εἴτ' ἄνθρωπος, εἴτε θε-
ὸς, εἴτε τύχη τις μετὰ σοῦ δίωνα ἐξέβαλεν, ἐλείφθης μόνος. ἆρ' οὖν
οἴει μοι τότε πολιτικῶν εἶναι κοινωνίαν πρὸς σέ. τὸν μὲν ἔμφρονα
κοινωνὸν, ἀπολωλεκότι. τὸν δὲ ἄφρονα, ὁρῶν τι μετὰ πονηρῶν
καὶ πολλῶν ἀνθρώπων καταλελειμμένον. οὐκ ἄρχοντα, οἰόμε-
νον δ' ἄρχειν. ὑπὸ δὲ τοιούτων ἀνθρώπων ἀρχόμενον. οἷς τί χρῆν ποιεῖν
ἐμέ. μῶν οὐχ ὅπερ ἐποίουν ἀναγκαῖον ἐκ τῶν λοιπῶν; τὰ μὲν πο-
λιτικὰ χαίρειν ἐᾶν, εὐλαβούμενον τὰς ἐκ τοῦ φθόνου διαβολάς.
ὑμᾶς δὲ πάντως καίπερ ἀλλήλων χωρὶς γεγονότας καὶ διαφό-
ρους ὄντας, πειρᾶσθαι φίλους ἀλλήλοις ὅτι μάλιστα ποιεῖν. τού-
των δὴ καὶ σὺ μάρτυς, ὅτι τοῦτο αὐτὸ συντείνων, οὐκ ἀνῆκα πώ-
ποτε καὶ μόγις μὲν, ὅμως δ' ὡμολογήθη νῷν, πλεῦσαι μὲν οἴκαδε
ἐμὲ, ἐπειδὴ πόλεμος ὑμᾶς κατεῖχεν. εἰρήνης δ' αὖ γενομένης,
ἐλθεῖν

ἐλθεῖν ἐμέ τε καὶ δίωνα εἰς συρακούσας· σὲ δὲ καλεῖν ἡμᾶς καὶ ταῦ-
τα μὲν οὕτως ἐγένετο. τῆς ἐμῆς εἰς συρακούσας ἀποδημίας πέρι
τῆς πρώτης, καὶ τῆς πάλιν οἴκαδε σωτηρίας. τὸ δὲ δεύτερον, εἰ-
ρήνης γενομένης ἐκάλεις με· οὐ κατὰ τὰς ὁμολογίας, ἀλλὰ μό-
νον ἥκειν ἐπέστελλες. δίωνα δὲ εἰσαῦθις ἔφησθα μεταπέμψασθαι.
διὰ ταῦτα οὐκ ἦλθον, ἀλλὰ καὶ δίωνι ἀπηχθόμην· ᾤετο γὰρ
εἶναι βέλτιον, ἐλθεῖν ἐμὲ καὶ ὑπακοῦσαι. τὸ δὲ μετὰ ταῦτα, ὕ-
στερον ἐνιαυτῷ τριήρης ἀφίκετο καὶ ἐπιστολαὶ παρὰ σοῦ. τῶν δὲ ἐν
ταῖς ἐπιστολαῖς γραμμάτων ἦρχεν, ὡς ἂν ἀφίκωμαι, τὰ δίω-
νός μοι γενήσοιτο πράγματα πάντα, κατὰ νοῦν τὸν ἐμόν· μὴ ἀφι-
κομένου δὲ τἀναντία. αἰσχύνομαι δὴ λέγειν, ὅσαι τότε ἐπιστολαὶ πα-
ρὰ σοῦ, καὶ παρ' ἄλλων ἦλθον διὰ σὲ ἐξ ἰταλίας καὶ σικελίας· καὶ
παρ' ὅσους τῶν ἐμῶν οἰκείων καὶ τῶν γνωρίμων· καὶ πᾶσαι διακε-
λευόμεναί μοι ἰέναι, καὶ δεόμεναι σοὶ πάντως ἐμὲ πείθεσθαι. ἐδό-
κει δὴ πᾶσιν ἀρξαμένοις ἀπὸ δίωνος, δεῖν ἐμὲ πλεῦσαι καὶ μὴ
μαλθακίζεσθαι· καίτοι τήν θ' ἡλικίαν αὐτοῖς προὔτεινόμην
καὶ περὶ σοῦ διισχυριζόμην, ὡς οὐχ οἷός τ' ἔσοιο, αὐταρκέσαι
τοῖς διαβάλλουσιν ἡμᾶς καὶ βουλομένοις εἰς ἔχθραν ἐλθεῖν. ἑώ-
ρων γὰρ καὶ τότε καὶ νῦν ὁρῶ, τὰς μεγάλας οὐσίας καὶ ὑπερόγ-
κους τῶν τε ἰδιωτῶν καὶ τῶν μονάρχων σχεδὸν, ὅσῳπερ ἂν μεί-
ζους ὦσι, τοσούτῳ πλείους καὶ μείζους τοὺς διαβάλλοντας, καὶ πρὸς
ἡδονὴν μετ' αἰσχρᾶς βλάβης ὁμιλοῦντας, τρεφούσας· οὗ κακὸν
οὐδὲν μεῖζον γεννᾷ πλοῦτός τε καὶ ἡ τῆς ἄλλης ἐξουσίας δύναμις. ὅ-
μως δ' οὖν πάντα ταῦτα χαίρειν ἐάσας ἦλθον. διανοηθεὶς, ὡς οὐδένα
δεῖ τῶν ἐμῶν φίλων ἐμὲ αἰτιᾶσθαι, ὡς διὰ τὴν ἐμὴν ῥαθυμίαν,
τὰ σφέτερα πάντα ἔξον μὴ ἀπολέσθαι, διώλετο. ἐλθὼν δὲ, οἶσθα

ὧς δὴ σύμπαντα τάγ' ἐντεῦθεν ἤδη γιγνόμενα. ἐγὼ μὲν, ἠξίουν δίκην κατὰ τὴν ὁμολογίαν τῶν ἐπιστολῶν πρῶτον μὲν, καταγαγεῖν Δίωνα οἰκειωσάμενον φράζων τὴν οἰκειότητα. ἣν ἐμοὶ τότε ἐπείθου. τάχ' ἂν βέλτιον τῶν νῦν γεγονότων ἔσχε, καὶ σοὶ καὶ συρακούσαις. καὶ τοῖς ἄλλοις ἕλλησιν, ὡς ἡ ἐμὴ δόξα μαντεύεται. ἔπειτα τὰ δίωνος, τοὺς οἰκείους ἔχειν ἠξίουν. καὶ μὴ διανείμασθαι τοὺς διανειμαμένους, οὓς σὺ οἶσθα. πρὸς δὲ τούτοις, ὤμην δεῖν τὰ χρήματα τὰ κατ' ἐνιαυτὸν ἕκαστον εἰωθότα αὐτῷ κομίζεσθαι. καὶ μᾶλλον ἔτι καὶ οὐχ ἧττον ἐμοῦ παραγενομένου πέμπεσθαι. τούτων οὐδενὸς τυγχάνων, ἠξίουν ἀπιέναι. τὸ μετὰ ταῦτα, ἔπειθές με μεῖναι τὸν ἐνιαυτὸν· φάσκων τὴν δίωνος ἀποδόμενος οὐσίαν πᾶσαν, τὰ μὲν ἡμίσεα ἀποπέμψειν εἰς κόρινθον. τὰ δ' ἄλλα τῷ παιδὶ καταλείψειν αὐτοῦ. πολλὰ ἔχων εἰπεῖν, ὧν ὑποσχόμενος, οὐδὲν ἐποίησας, διὰ τὸ πλῆθος αὐτῶν συντεμῶ. τὰ γὰρ δὴ χρήματα πάντα ἀποδόμενος οὐ πείσας δίωνα. φάσκων οὐ πωλήσειν ἄνευ τοῦ πείθειν, τὸν κολοφῶνα ὦ θαυμάσιε ταῖς ὑποσχέσεσιν ἁπάσαις, νεανικώτατον ἐπέθηκας. μηχανὴν γὰρ οὔτε καλὴν οὔτε κομψὴν οὔτε δικαίαν οὔτε ξυμφέρουσαν, εὗρες ἐμὲ ἐκφοβεῖν ὡς ἀγνοοῦντα τὰ τότε γιγνόμενα, ἵνα μηδὲ ἐγὼ ζητοίην τὰ χρήματα ἀποπέμπεσθαι. ἡνίκα γὰρ ἡρακλείδην ἐξέβαλες οὔτε συρακουσίοις δοκοῦν δίκαιον οὔτ' ἐμοὶ, διότι μετὰ τοῦ θεοδότου καὶ εὐρυβίου σε ἐδεήθην σου μὴ ποιεῖν ταῦτα, ταύτην λαβὼν ὡς ἱκανὴν πρόφασιν εἶπες· ὅτι καὶ πάλαι σοι δῆλος εἴην. σοῦ μὲν οὐδὲν φροντίζων δίωνος δὲ καὶ τῶν δίωνος φίλων καὶ οἰκείων. καὶ ἐπειδὴ νῦν θεοδότης καὶ ἡρακλείδης ἐν διαβολαῖς εἶεν οἰκεῖοι δίωνος ὄντες, πάντα μηχανῴμην, ὅπως οὗτοι μὴ δώσουσι δίκην. καὶ ταῦτα μὲν ταύτῃ περὶ τὰ πολιτικὰ κοινωνίας τῆς ἐμῆς καὶ σῆς. εἰ δέ τινα ἑτέραν ἀλλοτριότητα

ἐνεῖδες

φορὰς ἐν ἐμοὶ πρός σε, εἰκότως οἶμαι ταύτῃ πάντα ταῦτα γε-
γονέναι, καὶ μὴ θαύμαζε. κακὸς γὰρ ἂν ἔχων τι γνοῦν ἀνδρὶ φαι-
νοίμην ἐνδίκως. πεισθεὶς ὑπὸ τοῦ μεγέθους τῆς σῆς ἀρχῆς, τὸν μὲν
παλαιὸν φίλον καὶ ξένον, κακῶς πράττοντα διὰ σὲ μηδὲν σοῦ
χείρονα, ἵνα οὕτως εἴπω, τοῦτον μὲν προδοῦναι. σὲ δὲ τὸν ἀδι-
κοῦντα ἑλέσθαι, καὶ πάντα δρᾶν, ὅπῃ σὺ προστάττοις ἕνεκα χρη-
μάτων δηλονότι οὐδὲν γὰρ ἂν ἕτερον ἔφησεν αἴτιον τις εἶναι τῆς ἐ-
μῆς μεταβολῆς, εἰ μετεβαλόμην. ἀλλὰ ταῦτα μὲν ταύτῃ γενό-
μενα, τὴν ἐμὴν καὶ σὴν λυκοφιλίαν καὶ ἀκοινωνίαν διὰ σὲ
ἀπειργάσατο. σχεδὸν δ᾽ εἰς λόγον ὁ λόγος ἥκει μοι ξυνεχὴς τῷ νῦν
δὴ γενομένῳ. περὶ οὗ μοι τὸ δεύτερον ἀπολογητέον ἔφην εἶναι. σκό-
πει δὴ καὶ πρόσεχε πάντως, ἄν σοι τι ψεύδεσθαι δόξω καὶ μὴ
τἀληθῆ λέγειν. φημὶ γάρ σε ἀρχεδήμου παρόντος ἐν τῷ κήπῳ καὶ
ἀριστοκρίτου, σχεδὸν ἡμέραις πρότερον εἴκοσι τῆς ἐμῆς ἐκ
συρακουσῶν οἴκαδ᾽ ἀποδημίας, ἃ νῦν δὴ λέγεις ἐμοὶ μεμφόμε-
νος, ὡς ἡρακλείδου τε μοι καὶ τῶν ἄλλων πάντων μᾶλλον, ἢ σοῦ
μέλοι. καί με τούτων ἐναντίον διηρώτησας, εἰ μνημονεύω κατ᾽ ἀρ-
χὰς ὅτ᾽ ἦλθον, κελεύων σε τὰς πόλεις τὰς ἑλληνίδας κατοικί-
ζειν. ἐγὼ δὲ συνεχώρουν μεμνῆσθαι. καὶ ἔτι νῦν μοι δοκεῖ ταῦτ᾽ εἶναι
βέλτιστα. ῥητέον δὲ ὦ διονύσιε, καὶ τοὐπὶ τούτῳ τότε λεχθέν. ἠ-
ρόμην γὰρ δή σε, πότερον αὐτὸ τοῦτό σοι ξυμβουλεύσαιμι μόνον,
ἤ τι καὶ ἄλλο πρὸς τούτῳ. σὺ δὲ καὶ μάλα ἀπεκρίνω μηνιμάτως καὶ ὑβρι-
στικῶς, ὡς ᾤου. διὸ τὸ τότε σοι ὕβρισμα, νῦν ὕπαρ ἀντ᾽ ὀνείρατος
γέγονεν. εἶπες δὲ καὶ μάλα πλαστῶς γελῶν, εἰ μέμνημαι, ὡς παιδευθέντα με
ἐκέλευες ποιεῖν πάντα ταῦτα, ἢ μὴ ποιεῖν. ἔφην ἐγὼ κάλλιστα

μὲν μόνον σώσει. οὐκοῦν ἦ σπουδὴ λέγεται ἔφη ἀθάνατος με ζῆν. ἢ πῶς; κακῶς τὸ μετὰ τοῦτο τὸ ὃ ἐπήει μοι εἰπεῖν, οὐκ εἴασα. φοβοῦ μέρος μὲν σμικροῦ ῥήματος ἕνεκα τὸν ἐκπλοῦν ὃν προσεδόκων, μή μοι στενὸς γένοιτο ἀντ' εὐρυχωρίας. ἀλλ' οὖν ὧν ἕνεκα πάντ' εἴρηται, ταῦτ' ἐστί. μή με διάβαλλε λέγων, ὡς οὐκ εἴων ἐγώ σε πόλεις ἑλληνίδας ἐρρούσας ὑπὸ βαρβάρων, οἰκίζειν οὐδὲ συρακουσίους ἐπικουφίσαι, βασιλείαν ἀντὶ τυραννίδος μεταστήσαντα. τούτων γὰρ οὔχ ἧττον ἐμοὶ πρέποντα ἔχοις ἄν ποτε λέγων καταψεύσασθαι. πρὸς δὲ τούτοις, ἔτι σαφεστέρους τούτων εἰς ἔλεγχον λόγους ἐγὼ δοίην ἂν εἴ τις ἱκανή που φαίνοιτο κρίσις. ὡς ἐγὼ μὲν ἐκέλευον, σὺ δ' οὐκ ἤθελες πράττειν αὐτά. καὶ μὴν οὐ χαλεπὸν εἰπεῖν ἐναργῶς ὡς ἦν ταῦτα ἄριστα πραχθέντα, καὶ σοὶ καὶ συρακουσίοις καὶ σικελιώταις πᾶσιν. ἀλλ' ὦ τᾶν εἰ μὲν φῂς εἰρηκέναι εἰρηκὼς ταῦτα, ἔχω τὴν δίκην. εἰ δ' ὁμολογεῖς, τὸ μετὰ τοῦτο ἡγησάμενος εἶναι σοφὸν τὸν στησίχορον, τὴν παλινῳδίαν αὐτοῦ μιμησάμενος ἐκ τοῦ ψεύδους εἰς τὸν ἀληθῆ λόγον μεταστήσῃ.

## Πλάτων δίωνι συρακουσίῳ εὖ πράττειν

ἶμαι μὲν φανερὰν εἶναι διὰ παντὸς τοῦ χρόνου τὴν ἐμὴν προθυμίαν, περὶ τὰς συμβεβηκυίας πράξεις. καὶ ὅτι πολλὴν εἶχον περὶ αὐτῶν σπουδὴν εἰς τὸ ξυμπεπερανθῆναι, οὐκ ἄλλου τινὸς ἕνεκα μᾶλλον, ἢ τῆς ἐπὶ τοῖς καλοῖς φιλοτιμίας. νομίζω γὰρ δίκαιον εἶναι, τοὺς ὄντας τῇ ἀληθείᾳ ἐπιεικεῖς, καὶ πράττοντας τοιαῦτα, τυγχάνειν δόξης τῆς προσηκούσης. τὰ μὲν οὖν

εἰς τὸ

ἐκ τοῦ παρόντος σὺν θεῷ εἰπεῖν ἔχει καλῶς. τὰ δὲ περὶ τὸν μέλλοντα, ὁ μέγιστός ἐστιν ἀγών. ἀνδρείᾳ μὲν γὰρ καὶ τάχει καὶ ῥώμῃ διενεγκεῖν, δόξειεν ἂν καὶ ἑτέρων εἶναί τινων. ἀληθείᾳ δὲ καὶ δικαιοσύνῃ, καὶ μεγαλοπρεπείᾳ καὶ τῇ περὶ πάντα ταῦτα εὐσχημοσύνῃ συμφαίη τις ἂν τοὺς τιμῶντας τὰ τοιαῦτα τιμᾶν, εἰκότως τῶν ἄλλων διαφέρειν. νῦν οὖν δῆλον μέν ἐστιν ὃ λέγω. ἀναμιμνήσκειν δὲ ὅμως δεῖ ἡμᾶς αὐτούς. ὅτι προσήκει πλέον ἢ παίδων, τῶν ἄλλων ἀνθρώπων διαφέρειν, τοὺς οἶσθα δήπου. φανεροὺς οὖν δεῖ ἡμᾶς γενέσθαι, ὅτι ἐσμὲν τοιοῦτοι οἷοίπερ φαμέν. ἄλλως τε καὶ ἐπειδὴ σὺν θεῷ εἰπεῖν ῥᾴδιον ἔσται. τοῖς μὲν γὰρ ἄλλοις, συμβέβηκεν ἀναγκαῖον εἶναι πλανηθῆναι πολὺν τόπον, εἰ μέλλουσι γνωσθῆναι. τὸ δὲ νῦν ὑπάρχον περὶ σὲ τοιοῦτόν ἐστιν εἰπεῖν. εἰς ἕνα τόπον ἀποβλέπειν. καὶ ἐν τούτῳ μάλιστα πρὸς σέ. ὡς οὖν ὑπὸ πάντων ὁρώμενος παρασκευάζου, τόν τε Λυκοῦργον ἐκεῖνον ἀρχαῖον ἀποδείξων καὶ τὸν Κῦρον. καὶ εἴ τις ἄλλος πώποτε ἔδοξεν ἤθει καὶ πολιτείᾳ διενεγκεῖν. ἄλλως τε καὶ ἐπειδὴ πολλοὶ καὶ σχεδὸν ἅπαντες οἱ τῇδε λέγουσιν ὡς πολλή ἐστιν ἐλπὶς ἀναιρεθέντος Διονυσίου, διαφθαρῆναι τὰ πράγματα, διὰ τὴν σήν τε καὶ Ἡρακλείδου καὶ Θεοδότου καὶ τῶν ἄλλων γνωρίμων φιλοτιμίαν. μάλιστα μὲν οὖν, μηδεὶς εἴη τοιοῦτος. ἐὰν δ' ἄρα καὶ γίγνηταί τις, σὺ φαίνου ἰατρεύων. καὶ πρὸς τὸ βέλτιστον ἔλθοιτ' ἄν. ταῦτα δὲ ἴσως, γελοῖόν σοι φαίνεται εἶναι τὸ ἐμὲ λέγειν, διότι καὶ αὐτὸς οὐκ ἀγνοεῖς. ἐγὼ δὲ καὶ ἐν τοῖς θεάτροις ὁρῶ τοὺς ἀγωνιστὰς ὑπὸ τῶν παίδων παροξυνομένους, μή τι δὴ ὑπὸ τῶν φίλων, οὓς ἄν τις οἴηται μετὰ σπουδῆς, κατ' εὔνοιαν παρακελεύεσθαι. νῦν οὖν αὐτοί τε ἀγω

μίζεσθε, ἢ ὑμῖν εἴ του δεῖ ἐπιστέλλετε. τὰ δ᾽ ἐνθάδε παραπλησίως ἔχει, καθάπερ καὶ ὑμῶν παρόντων. ἐπιστέλλετε δὲ ὅτι πέπρακται ὑμῖν, ἢ πράττοντες τυγχάνετε. ὡς ἡμεῖς πολλὰ ἀκούοντες οὐδὲν ἴσμεν. καὶ νῦν ἐπιστολαὶ παρὰ μὲν θεοδότου καὶ ἡρακλείδου, ἥκουσιν εἰς λακεδαίμονα καὶ αἴγιναν. ἡμεῖς δὲ καθάπερ εἴρηται, πολλὰ ἀκούοντες περὶ τῶν τῇδε, οὐδὲν ἴσμεν. ἐνθυμοῦ δὲ, καὶ ὅτι δοκεῖς τισιν, ἐνδεεστέρως τοῦ προσήκοντος θεραπευτικὸς εἶναι. μὴ οὖν λανθανέτω σε ὅτι διὰ τοῦ ἀρέσκειν τοῖς ἀνθρώποις, καὶ τὸ πράττειν ἐστίν. ἡ δ᾽ αὐθάδεια ἐρημίᾳ ξύνοικος. εὐτύχει.

## Πλάτων Περδίκκᾳ εὖ πράττειν

Υφραίῳ μὲν συνεβούλευσα καθάπερ ἐπέστελλες τῶν σῶν ἐπιμελούμενον, περὶ ταῦτα διατρίβειν. δίκαιος δ᾽ εἰμὶ καὶ ξενικὴν καὶ ἱερὰν ξυμβουλὴν λεγομένην συμβουλεύειν, περί τε τῶν ἄλλων ὧν ἂν φράζῃς, καὶ ὡς εὐφραίῳ δεῖ τανῦν χρῆσθαι. πολλὰ μὲν γὰρ ὁ ἀνὴρ χρήσιμος. μέγιστον δὲ οὗ καὶ σὺ νῦν ἐνδεὴς εἶ. διά τε τὴν ἡλικίαν, καὶ διὰ τὸ μὴ πολλοὺς αὐτοῦ πέρι ξυμβούλους εἶναι τοῖς νέοις. ἔστι γὰρ δή τις φωνὴ τῶν πολιτειῶν ἑκάστης, καθαπερεί τινων ζώων ἄλλη μὲν δημοκρατίας, ἄλλη δ᾽ ὀλιγαρχίας. ἡ δ᾽ αὖ μοναρχίας. ταύτας φαῖεν μὲν ἂν ἐπίστασθαι πάμπολλοι. πλεῖστον δ᾽ ἀπολείπονται τοῦ κατανοεῖν αὐτὰς πλὴν ὀλίγων δή τινων. ἥτις μὲν ἂν οὖν τῶν πολιτειῶν τὴν αὑτῆς φθέγγηται φωνὴν, πρός τε θεοὺς καὶ πρὸς ἀνθρώπους, καὶ τῇ φωνῇ τὰς πράξεις ἑπομένας ἀποδιδῷ, θάλλει τε ἀεὶ καὶ σώζεται

ζεται· μιμουμένη δ᾽ ἄλλην φθείρεται· πρὸς ταῦτ᾽ οὖν Εὐφραῖος σοι γένοιτο οὐχ ἥκιστα ἂν χρήσιμος. καίπερ καὶ πρὸς ἄλλα ὢν ἀνδρεῖος· τοὺς γὰρ τῆς μοναρχίας λόγους, οὐχ ἥκιστα αὐτὸν ἐλπίζω συνεξευρήσειν τῶν περὶ τὴν σὴν διατριβὴν ὄντων. εἰς ταῦτ᾽ οὖν αὐτῷ χρώμενος, ὀνήσῃ τε αὐτὸς καὶ ἐκεῖνον πλεῖστα ὠφελήσεις. ἐὰν δέ τις ἀκούσας ταῦτα εἴπῃ, Πλάτων ὡς ἔοικε προσποιεῖται μὲν τὰ δημοκρατίᾳ ξυμφέροντα εἰδέναι. ἐξὸν δ᾽ ἐν τῷ δήμῳ λέγειν καὶ συμβουλεύειν αὐτῷ τὰ βέλτιστα, οὐπώποτε ἀναστὰς ἐφθέγξατο, πρὸς ταῦτ᾽ εἰπεῖν, ὅτι Πλάτων ὀψὲ ἐν τῇ πατρίδι γέγονε. καὶ τὸν δῆμον κατέλαβεν ἤδη πρεσβύτερον καὶ εἰθισμένον ὑπὸ τῶν ἔμπροσθεν, πολλὰ καὶ ἀνόμοια τῇ ἐκείνου ξυμβουλῇ πράττειν· ἐπεὶ πάντων ἂν ἥδιστα καθάπερ πατρὶ συνεβούλευεν αὐτῷ, εἰ μὴ μάτην μὲν κινδυνεύσειν ᾤετο, πλέον δ᾽ οὐδὲν ποιήσειν. ταὐτὸν δὴ οἶμαι δρᾶσαι ἂν καὶ τὴν ἐμὴν ξυμβουλήν. εἰ γὰρ δόξαιμεν ἀνιάτως ἔχειν, πολλὰ ἂν χαίρειν ἡμῖν εἰπὼν, ἐκτὸς ἂν γένοιτο τῆς περὶ ἐμὲ καὶ τὰ ἐμὰ ξυμβουλῆς.

Πλάτων Ἑρμείᾳ καὶ Ἐράστῳ καὶ Κορίσκῳ, εὖ πράττειν.

Ἐμοὶ φαίνεται θεῶν τις ὑμῖν τύχην ἀγαθὴν ἂν δέξησθε εὐμενῶς καὶ ἱκανῶς παρασκευάζειν. οἰκεῖτε γὰρ δὴ γείτονές τε αὐτοῖς. καὶ χρείαν ἔχοντες ὥστε ἀλλήλους εἰς τὰ μέγιστα ὠφελεῖν. Ἑρμείᾳ μὲν γὰρ οὔτε ἵππων πλῆθος οὔτε ἄλλης συμμαχίας οὐδ᾽ ἂν χρυσοῦ προσγενομένου γένοιτ᾽ ἂν μείζων εἰς τὰ πάντα δύναμις, ἢ φίλων βεβαίων τε καὶ ἦθος ἐχόντων ὑγιές. Ἐράστῳ δὲ καὶ Κορίσκῳ, πρὸς τῇ τῶν εἰδῶν σοφίᾳ τῇ κα-

λῇ ταύτῃ φημ' ἐγώ, καίπερ γέρων ὢν, προσδεῖν σοφίας τῆς περὶ τοὺς πονη-
ροὺς καὶ ἀδίκους φυλακτικῆς καί τινος ἀμυντικῆς δυνάμεως. ἄπειροι
γάρ εἰσι διὰ τὸ μεθ' ἡμῶν μετρίων ὄντων καὶ οὐ κακῶν, συχνὸν διατετρι-
φέναι τοῦ βίου· διὸ δὴ τούτων προσδεῖν εἶπον, ἵνα μὴ ἀναγκάζωνται τῆς
ἀληθινῆς μὲν ἀμελεῖν σοφίας· τῆς δὲ ἀνθρωπίνης τε καὶ ἀναγκαίας
ἐπιμελεῖσθαι μειζόνως ἢ δεῖ. ταύτην δ' αὖ τὴν δύναμιν, Ἑρμείας
μοι φαίνεται φύσει τε, ὅσα μήπω ξυγγεγονότι, καὶ τέχνῃ, δι' ἐμ-
πειρίας εἰληφέναι. τί οὖν δὴ λέγω; σοὶ μὲν Ἑρμεία, πεπειραμένος
Ἐράστου καὶ Κορίσκου πλέονα ἢ σύ, φημὶ καὶ μηνύω καὶ μαρτυρῶ
μὴ ῥᾳδίως σε εὑρήσειν ἀξιοπιστότερα ἤθη τούτων τῶν γειτόνων. ἔχε-
σθαι δὴ παντὶ ξυμβουλεύω δικαίῳ τρόπῳ τούτων τῶν ἀνδρῶν,
μὴ πάρεργον ἡγούμενον. Κορίσκῳ δὲ καὶ Ἐράστῳ πάλιν Ἑρμείου ἀν-
τέχεσθαι ξύμβουλός εἰμι. καὶ πειρᾶσθαι ταῖς ἀνθέξεσιν ἀλλήλων
εἰς μίαν ἀφικέσθαι φιλίας ξυμπλοκήν. ἂν δέ τις ὑμῶν ἄρα ταύ-
την πῃ λύειν δοκῇ, τὸ γὰρ ἀνθρώπινον οὐ παντάπασι βέβαιον, δεῦρο
παρ' ἐμὲ καὶ τοὺς ἐμούς, πέμπετε μομφῆς κατήγορον ἐπιστολήν.
οἶμαι γὰρ δίκῃ τε καὶ αἰδοῖ τοὺς παρ' ἡμῶν ἐντεῦθεν ἐλθόντας
λόγους. εἰ μή τι τὸ λυθὲν μέγα τύχοι γενόμενον, ἐπῳδῆς ἡστινο-
σοῦν μᾶλλον ἂν συμφῦσαι καὶ συνδῆσαι πάλιν εἰς τὴν προϋπάρ-
χουσαν φιλότητά τε καὶ κοινωνίαν. ἣν ὅταν μὲν φιλοσοφῶμεν ἅ-
παντες ἡμεῖς τε καὶ ὑμεῖς ὅσον ἂν δυνώμεθα καὶ ἑκάστῳ παρείκῃ, κύ-
ρια τὰ νῦν κεχρησμῳδημένα ἔσται. τὸ γὰρ ἂν μὴ δρῶμεν ταῦτα, οὐκ ἐρῶ·
φήμην γὰρ ἀγαθὴν μαντεύομαι. καί φημι ταῦθ' ἡμᾶς πάντ' ἀγαθὰ
ποιήσειν, ἂν θεὸς ἐθέλῃ. ταύτην τὴν ἐπιστολὴν πάντας ὑμᾶς τρεῖς ὄντας
ἀναγνῶναι χρή. μάλιστα μὲν ἀθρόους. εἰ δὲ μή, κατὰ δύο κοινῇ,

κατὰ

κατὰ δύναμιν οἷόν τ' ἐστὶ παρείκει· καὶ χρῆσθαι συνθήκῃ καὶ νόμῳ κυρίῳ, ὅ ἐστι δίκαιον· ἐπομνύντας σπουδῇ τε ἅμα μὴ ἀμούσῳ καὶ τῇ τῆς σπουδῆς ἀδελφῇ παιδείᾳ, καὶ τὸν τῶν πάντων θεὸν ἡγεμόνα τῶν τε ὄντων καὶ τῶν μελλόντων, τοῦ τε ἡγεμόνος καὶ αἰτίου πατέρα κύριον ὃν ἂν ὄντως φιλοσοφῶμεν, εἰσόμεθα πάντες σαφῶς εἰς δύναμιν ἀνθρώπων εὐδαιμόνων.

## Πλάτων τοῖς Δίωνος οἰκείοις τε καὶ ἑταίροις, εὖ πράττειν.

Πεστείλατέ μοι νομίζειν δεῖν τὴν διάνοιαν ὑμῶν εἶναι τὴν αὐτὴν ἣν εἶχε καὶ Δίων. καὶ δὴ καὶ κοινωνεῖν διεκελεύεσθέ μοι, καθ' ὅσον οἷός τέ εἰμι ἔργῳ καὶ λόγῳ. ἐγὼ δὲ εἰ μὲν δόξαν καὶ ἐπιθυμίαν τὴν αὐτὴν ἔχετε ἐκείνῳ ξύμφημι κοινωνήσειν. εἰ δὲ μὴ βουλεύσεσθαι πολλάκις. τίς δ' ἦν ἡ ἐκείνου διάνοια καὶ ἐπιθυμία, σχεδὸν οὐκ εἰκάζων, ἀλλ' ὡς εἰδὼς σαφῶς εἴποιμ' ἄν. ὅτε γὰρ κατ' ἀρχὰς εἰς συρακούσας ἐγὼ ἀφικόμην, σχεδὸν ἔτη τετταράκοντα γεγονὼς δίων εἶχε τὴν ἡλικίαν, ἣν τὰ νῦν ἱππαρῖνος γέγονε καὶ ἣν ἔσχε τότε δόξαν, ταύτην καὶ διετέλεσεν ἔχων· συρακοσίους οἴεσθαι δεῖν ἐλευθέρους εἶναι κατὰ νόμους τοὺς ἀρίστους οἰκοῦντας· ὥστε οὐδὲν θαυμαστὸν εἴ τις θεῶν καὶ τοῦτον, εἰς τὴν αὐτὴν δόξαν περὶ πολιτείας, ἐκείνῳ γενέσθαι σύμφρονα ποιήσειε. τίς δ' ἦν ὁ τρόπος τῆς γενέσεως αὐτῆς, οὐκ ἀπάξιον ἀκοῦσαι νέῳ καὶ μὴ νέῳ. πειράσομαι δὲ ἐξ ἀρχῆς αὐτὴν ἐγὼ πρὸς ὑμᾶς διεξελθεῖν. ἔχει γὰρ καιρὸν τὰ νῦν. νέος ἐγώ ποτε ὢν, πολλοῖς δὴ ταὐτὸν ἔπαθον. ᾠήθην εἰ θᾶττον ἐμαυτοῦ γενοίμην κύριος, ἐπὶ τὰ κοινὰ τῆς πόλεως εὐθὺς ἰέναι, καί μοι τύχαι τινὲς τῶν τῆς πόλεως

πραγμάτων, τοιαύτη παρέπεσεν. ὑπὸ πολλῶν γὰρ τῆς τότε πολιτείας λοιδορουμένης, μεταβολὴ γίνεται. καὶ τῆς μεταβολῆς, εἷς καὶ πεντήκοντά τινες ἄνδρες προύστησαν ἄρχοντες. ἕνδεκα μὲν ἐν ἄστει, δέκα δ' ἐν πειραιεῖ. περί τε ἀγορὰν ἑκάτεροι τούτων, ὅσα δ' ἔδει τοῖς ἄστεσι διοικεῖν ἔδει. τριάκοντα δὲ πάντων ἄρχοντες κατέστησαν αὐτοκράτορες. τούτων δή τινες, οἰκεῖοί τε ὄντες καὶ γνώριμοι ἐτύγχανον ἐμοί. καὶ δὴ καὶ παρεκάλουν εὐθὺς, ὡς ἐπὶ προσήκοντα πράγματά με. καὶ ἐγὼ, θαυμαστὸν οὐδὲν ἔπαθον ὑπὸ νεότητος. ᾠήθην γὰρ αὐτοὺς ἔκ τινος ἀδίκου βίου, ἐπὶ δίκαιον τρόπον ἄγοντας διοικήσειν δὴ τὴν πόλιν, ὥστε αὐτοῖς σφόδρα προσεῖχον τὸν νοῦν, τί πράξοιεν. καὶ ὁρῶν δή που τοὺς ἄνδρας ἐν χρόνῳ ὀλίγῳ χρυσῆν ἀποδείξαντας τὴν ἔμπροσθεν πολιτείαν, τά τε ἄλλα καὶ φίλον ἄνδρα ἐμοὶ πρεσβύτερον σωκράτη, ὃν ἐγὼ σχεδὸν οὐκ ἂν αἰσχυνοίμην εἰπὼν δικαιότατον εἶναι τῶν τότε, ἐπί τινα τῶν πολιτῶν μεθ' ἑτέρων ἔπεμπον, βίᾳ ἄξοντα ὡς ἀποθανούμενον. ἵνα δὴ μετέχοι τῶν πραγμάτων αὐτοῖς. εἴτε βούλοιτο, εἴτε μή. ὁ δ' οὐκ ἐπείθετο. πᾶν δὲ παρεκινδύνευσε παθεῖν, πρὶν ἀνοσίων αὐτοῖς ἔργων γενέσθαι κοινωνός. ἃ δὴ πάντα καθορῶν καὶ εἴ τιν' ἄλλα τοιαῦτα οὐ σμικρά, ἐδυσχέρανά τε, καὶ ἐμαυτὸν ἐπανήγαγον ἀπὸ τῶν τότε κακῶν. χρόνῳ δὲ οὐ πολλῷ, μετέπεσε τὰ τῶν τριακόντων τε καὶ πᾶσα ἡ τότε πολιτεία. πάλιν δὲ, βραδύτερον μὲν, εἷλκε δέ με ὅμως, ἡ περὶ τὸ πράττειν τὰ κοινὰ καὶ πολιτικὰ ἐπιθυμία. ἦν οὖν καὶ ἐν ἐκείνοις ἅτε τεταραγμένοις, πολλὰ γιγνόμενα, ἅ τις ἂν δυσχεράνειεν. καὶ οὐδέν τι θαυμαστὸν ἦν τιμωρίας ἐχθρῶν γίνεσθαί τινων τισὶ μείζους, ἐν μεταβολαῖς. καίτοι πολλῇ γε ἐχρήσαντο οἱ τότε κατελθόντες ἐπιεικείᾳ. κατὰ δέ τινα τύχην

αὖ

αὖ τὸν ἑταῖρον ἡμῶν Σωκράτη τοῦτον δυναστεύοντές τινες, εἰσ-
άγουσιν εἰς δικαστήριον, ἀνοσιωτάτην αἰτίαν ἐπιβαλόντες, καὶ
πάντων ἥκιστα Σωκράτει προσήκουσαν, ὡς ἀσεβῆ γὰρ οἱ μὲν εἰ-
σήγαγον, οἱ δὲ, κατεψηφίσαντο, καὶ ἀπέκτειναν, τὸν τότε τῆς
ἀνοσίου ἀγωγῆς οὐκ ἐθελήσαντα μετασχεῖν περὶ ἕνα τῶν τότε φευ-
γόντων φίλων, ὅτε φεύγοντες ἐδυστύχουν αὐτοί. σκοποῦντι δή μοι
ταῦτά τε, καὶ τοὺς ἀνθρώπους τοὺς πράττοντας τὰ πολιτικὰ, καὶ
τοὺς νόμους τε καὶ ἔθη, ὅσῳ μᾶλλον διεσκόπουν ἡλικίας τε εἰς
τὸ πρόσθεν προὔβαινον, τοσούτῳ χαλεπώτερον ἐφαίνετο ὀρθῶς
εἶναί μοι τὰ πολιτικὰ διοικεῖν. οὔτε γὰρ ἄνευ φίλων ἀνδρῶν καὶ
ἑταίρων πιστῶν, οἷόν τε εἶναι πράττειν. οὓς οὔθ' ὑπάρχοντας ἦν εὑρεῖν
εὐπετές, οὐ γὰρ ἔτι ἐν τοῖς τῶν πατέρων ἤθεσι καὶ ἐπιτηδεύμα-
σιν ἡ πόλις ἡμῶν διῳκεῖτο. καινούς τε ἄλλους, ἀδύνατον ἦν κτᾶ-
σθαι μετά τινος ῥᾳστώνης. τά τε τῶν νόμων γράμματα καὶ ἔθη,
διεφθείρετο. καὶ ἐπεδίδου θαυμαστὸν ὅσον, ὥστε με τὸ πρῶτον πολ-
λῆς μεστὸν ὄντα ὁρμῆς ἐπὶ τὸ πράττειν τὰ κοινὰ, βλέποντα εἰς
ταῦτα καὶ φερόμενα ὁρῶντα πάντῃ πάντως, τελευτῶντα ἰλιγ-
γιᾶν. καὶ τοῦ μὲν σκοπεῖν μὴ ἀποστῆναι, μή ποτε ἄμεινον ἂν γίγνοι-
το περί τε αὐτὰ ταῦτα, καὶ δὴ καὶ περὶ τὴν πᾶσαν πολιτείαν. τοῦ
δὲ πράττειν αὖ, περιμένειν ἀεὶ καιρούς. τελευτῶντα δὲ νοῆσαι πε-
ρὶ πασῶν τῶν νῦν πόλεων, ὅτι κακῶς ξύμπασαι πολιτεύονται.
τὰ γὰρ τῶν νόμων αὐταῖς, σχεδὸν ἀνιάτως ἔχοντά ἐστιν, ἄνευ πα-
ρασκευῆς θαυμαστῆς τινος μετὰ τύχης. λέγειν τε ἠναγκάσθην,
ἐπαινῶν τὴν ὀρθὴν φιλοσοφίαν, ὡς ἐκ ταύτης ἐστὶ τά τε πολιτι-
κὰ δίκαια καὶ τὰ τῶν ἰδιωτῶν πάντα κατιδεῖν. κακῶν οὖν οὐ
λήξειν τὰ ἀνθρώπινα γένη, πρὶν ἂν ἢ τὸ τῶν φιλοσοφούντων
ὀρθῶς γε καὶ ἀληθῶς γένος, εἰς ἀρχὰς ἔλθῃ τὰς πολιτικὰς, ἢ τὸ

τῶν δυναστευόντων ἐν ταῖς πόλεσιν, ἔκ τινος μοίρας θείας ὄντως φιλοσοφήσῃ. ταύτην δὴ τὴν διάνοιαν ἔχων εἰς Ἰταλίαν τε καὶ σικελίαν ἦλθον, ὅτε πρῶτον ἀφικόμην. ἐλθόντα δέ με, ὁ ταύτῃ λεγόμενος αὖ βίος εὐδαίμων, ἰταλιωτικῶν τε καὶ συρακουσίων τραπεζῶν πλήρης, οὐδαμῇ οὐδαμῶς ἤρεσε. δίς τε τῆς ἡμέρας ἐμπιπλάμενον ζῆν, καὶ μηδέποτε κοιμώμενον μόνον νύκτωρ, καὶ ὅσα τούτῳ ἐπιτηδεύματα ξυνέπεται τῷ βίῳ. ἐκ γὰρ τούτων τῶν ἐθῶν, οὔτ' ἂν φρόνιμος οὐδείς ποτε γενέσθαι τῶν ὑπὸ τὸν οὐρανὸν ἀνθρώπων ἐκ νέου ἐπιτηδεύων δύναιτο, οὐδ' οὕτως θαυμαστῇ φύσει κραθήσεται· σώφρων δὲ οὐδ' ἂν μελλήσαι ποτὲ γενέσθαι. καὶ δὴ καὶ περὶ τῆς ἄλλης ἀρετῆς ὁ αὐτὸς λόγος ἂν εἴη. πόλις τε οὐδεμία ἂν ἠρεμήσαι κατὰ νόμους οὐδ' οὕστινασοῦν, ἀνδρῶν οἰομένων ἀναλίσκειν μὲν δεῖν πάντα εἰς ὑπερβολάς. ἀργῶν δὲ, εἰς ἅπαντα ἡγουμένων αὖ δεῖν γίγνεσθαι, πλὴν εἰς εὐωχίας καὶ πότους, καὶ ἀφροδισίων σπουδὰς διαπονουμένων. ἀναγκαῖον δὲ εἶναι ταύτας τὰς πόλεις, εἰς τυραννίδας τε καὶ ὀλιγαρχίας καὶ δημοκρατίας μεταβαλλούσας, μηδέποτε λήγειν. δικαίου δὲ καὶ ἰσονόμου πολιτείας τοὺς αὐτοὺς δυναστεύοντας, μηδ' ὄνομα ἀκούοντας, ἀνέχεσθαι. ταῦτα δὴ πρὸς τοῖς πρόσθε διανοούμενος εἰς συρακούσας διεπορεύθην. ἴσως μὲν κατὰ τύχην. ἔοικε μὴν τότε μηχανωμένῳ τινὶ τῶν κρειττόνων, ἀρχὴν βαλέσθαι τῶν νῦν γεγονότων πραγμάτων περὶ δίωνα καὶ τῶν περὶ συρακούσας. δέος δὲ μὴ καὶ πλειόνων ἐπεὰν μὴ νῦν ὑμεῖς ἐμοὶ πείθησθε, τὸ δεύτερον συμβουλεύοντι. πῶς οὖν δὴ λέγω πάντων ἀρχὴν γεγονέναι τὴν τότε; τὴν εἰς σικελίαν ἐμὴν ἄφιξιν. ἐγὼ συγγενόμενος δίωνι τότε νέῳ, κινδυνεύω τὰ δοκοῦντα ἐμοὶ βέλ-

τιστα

πᾶσι ἀνθρώποις εἶναι μηνύων διὰ λόγων, καὶ πράττειν αὐτὰ ξυμ-
βουλεύων, ἀγνοεῖν ὅτι τυραννίδος τινὰ τρόπον κατάλυσιν ἐσομέ-
νην μηχανώμενος, ἐλάνθανον ἐμαυτόν. Δίων μὲν γὰρ δὴ μάλα εὐ-
μαθὴς ὤν, πρός τε τἆλλα καὶ πρὸς τοὺς τότε ὑπ' ἐμοῦ λόγους λε-
γομένους, οὕτως ὀξέως ὑπήκουσε καὶ σφόδρα, ὡς οὐδεὶς πώποτε
ὧν ἐγὼ προσέτυχον νέων, καὶ τὸν ἐπίλοιπον βίον ζῆν ἠθέλησε, δια-
φερόντως τῶν πολλῶν Ἰταλιωτῶν τε καὶ Σικελιωτῶν ἀρετήν, πε-
ρὶ πλείονος ἡδονῆς τῆς τε ἄλλης τρυφῆς ἠγαπηκώς· ὅθεν ἐπα-
χθέστερον τοῖς περὶ τὰ τυραννικὰ νόμιμα ζῶσιν ἐβίω, μέχρι τοῦ θα-
νάτου τοῦ περὶ Διονύσιον γενομένου. μετὰ δὲ τοῦτο, διενοήθη μὴ μόνον
ἐν αὐτῷ ποτ' ἂν γενέσθαι ταύτην τὴν διάνοιαν, ἣν αὐτὸς ὑπὸ τῶν
ὀρθῶν λόγων ἔσχεν· ἐγγινομένην δ' οὖν ἐν τισίν, ὧν καὶ Διονύσιον ἤ-
νόησεν ἕνα γενέσθαι, τάχ' ἂν ξυλλαμβανόντων θεῶν. γενομένου δ' αὖ
τοῦ τοιούτου, τόν τε αὐτοῦ βίον καὶ τὸν τῶν ἄλλων Συρακοσίων, ἀ-
μήχανον ἂν μακαριότητι ξυμβῆναι γενόμενον. πρὸς δὴ τούτοις
ᾠήθη δεῖν ἐκ παντὸς τρόπου, εἰς Συρακούσας ὅτι τάχιστα ἐλθεῖν ἐ-
μέ, κοινωνὸν τούτων. μεμνημένος, τήν τε αὐτοῦ καὶ ἐμὴν συνου-
σίαν, ὡς εὐπετῶς ἐξειργάσατο εἰς ἐπιθυμίαν ἐλθεῖν αὐτὸν τοῦ
καλλίστου τε καὶ ἀρίστου βίου· ὃ δὴ καὶ νῦν εἰ διαπράξαιτο ἐν Διο-
νυσίῳ ὡς ἐπεχείρησε, μεγάλας ἐλπίδας εἶχεν ἄνευ σφαγῶν
καὶ θανάτων καὶ τῶν νῦν γεγονότων κακῶν βίον ἂν εὐδαίμο-
να καὶ ἀληθινὸν ἐν πάσῃ τῇ χώρᾳ κατασκευάσαι. ταῦτα
Δίων ὀρθῶς διανοηθείς, ἔπεισε μεταπέμπεσθαι Διονύσιον ἐμέ· καὶ
αὐτὸς ἐδεῖτο πέμπων, ἥκειν ὅτι τάχιστα ἐκ παντὸς τρόπου, πρίν
τινας ἄλλους ἐντυχόντας Διονυσίῳ, ἐπ' ἄλλον βίον αὐτὸν τὸν βελ-

τίσου παρατρέψαι. λέγων δὲ τάδε ἐδεῖτο εἰ καὶ μακρότερα εἰπεῖν· τίνας γὰρ καιροὺς ἔφη μείζους περιμενοῦμεν, τῶν νῦν παραγεγονότων θείᾳ τινὶ τύχῃ. καταλέγων δὲ τήν τε ἀρχὴν τῆς ἰταλίας καὶ σικελίας καὶ τὴν αὐτοῦ δύναμιν ἐν αὐτῇ, καὶ τὴν νεότητα, καὶ τὴν ἐπιθυμίαν τὴν διονυσίου, φιλοσοφίας τε καὶ παιδείας ὡς ἔχοι σφόδρα λέγων, τούς τε αὐτοῦ ἀδελφιδοῦς καὶ τοὺς οἰκείους ὡς εὐπαράκλητοι εἶεν πρὸς τὸν ὑπ' ἐμοῦ λεγόμενον ἀεὶ λόγον καὶ βίον. ἱκανώτατοί τε διονύσιον συμπαρακαλεῖν. ὥστε εἴπερ ποτέ, καὶ νῦν ἐλπὶς πᾶσα ἀποτελεσθήσεται, τοῦ τοὺς αὐτοὺς φιλοσόφους τε καὶ πόλεων ἄρχοντας μεγάλων ξυμβῆναι γενομένους. τὰ μὲν δὴ παρακελεύματα, ἦν ταῦτά τε καὶ τοιαῦτα ἕτερα πάμπολλα. τὴν δὲ ἐμὴν δόξαν, τὸ μὲν περὶ τῶν νέων ὅπῃ ποτὲ γενήσοιτο εἶχε φόβος. αἱ γὰρ ἐπιθυμίαι τῶν τοιούτων ταχεῖαι. καὶ πολλάκις ἑαυταῖς ἐναντίαι φερόμεναι. τὸ δὲ δίωνος ἦθος, ἠπιστάμην τῆς ψυχῆς πέρι φύσει τε ἐμβριθὲς ὄν. ἡλικίας τε ἤδη μετρίως ἔχον. ὅθεν μοι σκοπουμένῳ καὶ διστάζοντι, πότερον ἂν εἴη πορευτέον καὶ ὑπακουστέον ἢ πῶς, ὅμως ἔρρεψε δεῖν εἴ ποτέ τις τὰ διανοηθέντα περὶ νόμων τε καὶ πολιτείας ἀποτελεῖν ἐγχειρήσοι, καὶ νῦν πειρατέον εἶναι. πείσας γὰρ ἕνα μόνον, ἱκανῶς πάντα ἐξειργασμένος ἐσοίμην ἀγαθά. ταύτῃ μὲν δὴ τῇ διανοίᾳ τε καὶ τόλμῃ, ἀπῆρα οἴκοθεν, οὐχ ᾗ τινες ἐδόξαζον. ἀλλ' αἰσχυνόμενος μὲν ἐμαυτὸν τὸ μέγιστον, μὴ δόξαιμί ποτε ἐμαυτῷ παντάπασι, λόγος μόνον ἀτεχνῶς εἶναί τις. ἔργου δὲ οὐδενὸς ἄν ποτε ἑκὼν ἀνθάψασθαι. κινδυνεύσειν δὲ προδοῦναι, πρῶτον μὲν, τὴν δίωνος ξενίαν τε καὶ ἑταιρίαν ἐν κινδύνοις ὄντως γεγονότα οὐ σμικροῖς. εἴτ' οὖν πάθοι τι, εἴτ' ἐκπε-

σὼν

σιν ὑπὸ Διονυσίου καὶ τῶν ἄλλων ἐχθρῶν, ἔλθοι παρ' ὑμᾶς φυγών, καὶ εἴποι τὸ εἰπών· ὦ πλάτων, ἥκω σοι φυγὰς, οὐχ ὁπλιτῶν δεόμενος οὐδ' ἱππέων ἐνδεὴς γενόμενος τοῦ ἀμύνασθαι τοὺς ἐχθρούς· ἀλλὰ λόγων καὶ πειθοῦς, ᾗ σε μάλιστα ἠπιστάμην ἐγὼ, δυνάμενον ἀνθρώπους νέους ἐπὶ τὰ ἀγαθὰ καὶ τὰ δίκαια προτρέποντα, εἰς φιλίαν τε καὶ ἑταιρείαν ἀλλήλοις καθιστάναι ἑκάστοτε· ὧν ἐνδείᾳ κατὰ τὸ σὸν μέρος νῦν ἐγὼ καταλιπὼν συρακούσας, ἐνθάδε πάρειμι, τὸ μὲν ἐμὸν, ἔλαττον ὄνειδος σοι φέρει· φιλοσοφία δὲ ἣν ἐγκωμιάζεις ἀεὶ, καὶ ἀτίμως φὴς ὑπὸ τῶν λοιπῶν ἀνθρώπων φέρεσθαι, πῶς οὐ προδέδοται τὰ νῦν μετ' ἐμοῦ, μέρος ὅσον ἐπὶ σοὶ γέγονε· καὶ μεγαροῖ μὲν εἰ κατοικοῦντες ἐτυγχάνομεν, ἦλθες δήπου ἄν μοι βοηθὸς, ἐφ' ἅ σε παρεκάλουν, ἢ πάντων ἂν φαυλότατον ἡγοῦ σαυτόν· νῦν δ' ἄρα τὸ μῆκος τῆς πορείας, καὶ τὸ μέγεθος δὴ τοῦ πλοῦ καὶ τοῦ πόνου ἐπαιτιώμενος, οἴει δόξαν κακίας ἀποφευξεῖσθαί ποτε; πολλοῦ γε καὶ δεήσει. λεχθέντων δὲ τίς ἂν ἦν μοι πρὸς ταῦτα εὐσχήμων ἀπόκρισις; οὐκ ἔστιν. ἀλλ' ἦλθον μὲν κατὰ λόγον, ἐν δίκῃ τε, ὡς οἷόν τε ἀνθρώπῳ μάλιστα διὰ τὰ τοιαῦτα καταλιπὼν τὰς ἐμαυτοῦ διατριβὰς οὔσας οὐκ ἀσχήμονας, ὑπὸ τυραννίδα, δοκοῦσαν οὐ πρέπειν τοῖς ἐμοῖς λόγοις, οὐδὲ ἐμοί· ἐλθών τε, ἐμαυτὸν ἠλευθέρωσα, καὶ διὸς ξενίου καὶ τῆς φιλοσόφου ἀνέγκλητον μοίρας παρέσχον· ἐπονειδίστου γενομένης ἂν εἴ τι καταμαλθακισθεὶς καὶ ἀποδειλιῶν αἰσχύνης μετέσχον κακῆς. ἐλθὼν δὲ, οὐ γὰρ δεῖ μηκύνειν, ηὗρον στάσεως τὰ περὶ διονύσιον μεστὰ ξύμπαντα καὶ διαβολῶν πρὸς τὴν τυραννίδα δίωνος πέρι. ἤμυνον μὲν οὖν, καθ' ὅσον ἠδυνάμην. σμικρὰ δ' οἷός τ' ἦν·

μηνὶ δὲ σχεδὸν ἴσως τετάρτῳ Δίωνα Διονύσιος αἰτιώμενος ἐπιβουλεύειν τῇ τυραννίδι, σμικρὸν εἰς πλοῖον ἐμβιβάσας, ἐξέβαλεν ἀτίμως. οἱ δὴ Δίωνος τὸ μετὰ τοῦτο πάντες φίλοι, ἐφοβούμεθα μή τινα ἐπαιτιώμενος τιμωροῖτο, ὡς συναίτιον τῆς Δίωνος ἐπιβουλῆς. περὶ δ' ἐμοῦ καὶ διῆλθε λόγος τις ἐν Συρακούσαις ὡς τεθνεῶτος ὑπὸ Διονυσίου ὡς τούτων πάντων τῶν τότε γεγονότων αἰτίου. ὁ δὲ, αἰσθανόμενος πάντας ἡμᾶς οὕτω διατεθέντας, φοβούμενος μὴ μεῖζον ἐκ τῶν φόβων γένοιτό τι, φιλοφρόνως πάντας ἀνελάμβανε. καὶ δὴ καὶ αὐτὸν ἐμὲ, παρεμυθεῖτό τε καὶ θαρρεῖν διεκελεύετο καὶ ἐδεῖτο, πάντως μένειν. ἐγίγνετο γάρ οἱ τὸ μὲν ἐμὲ φυγεῖν ἀπ' αὐτοῦ, καλὸν οὐδέν. τὸ δὲ μένειν. διὸ δὴ καὶ σφόδρα προσεποιεῖτο δεῖσθαι. τὰς δὲ τῶν τυράννων δεήσεις ἴσμεν ὅτι μεμιγμέναι ἀνάγκαις εἰσίν. ὃ δὴ μηχανώμενος διεκώλυέ μου τὸν ἔκπλουν, εἰς ἀκρόπολιν ἀγαγὼν καὶ κατοικίσας, ὅθεν οὐδ' ἂν εἷς ἔτι με ναύκληρος, μὴ ὅτι κωλύοντος ἐξήγαγε Διονυσίου. ἀλλ' οὐδ' εἰ μὴ πέμπων αὐτὸς τὸν κελεύοντα ἐξαγαγεῖν ἐπέστελλεν, οὔτ' ἂν ἔμπορος, οὔτε τῶν ἐν ταῖς τῆς χώρας ἐξόδοις ἀρχόντων, οὐδ' ἂν εἷς περιεῖδέ με μόνον ἐκπορευόμενον, ὃς οὐκ ἂν συλλαβὼν εὐθέως παρὰ Διονύσιον πάλιν ἀπήγαγεν, ἄλλως τε καὶ διηγγελμένον ἤδη τότε τοὐναντίον ἢ τὸ πρότερον πάλιν, ὡς Πλάτωνα Διονύσιος θαυμαστῶς ὡς ἀσπάζεται. τὸ δ' εἶχε δὲ πῶς. τὸ γὰρ ἀληθὲς δεῖ φράζειν, ἠσπάζετο μὲν ἀεὶ προϊόντος τοῦ χρόνου μᾶλλον, κατὰ τὴν τοῦ τρόπου τε καὶ ἤθους συνουσίαν. ἑαυτὸν δ' ἐπαινεῖν μᾶλλον ἢ Δίωνα ἐβούλετό με, καὶ φίλον ἡγεῖσθαι διαφερόντως μᾶλλον ἢ 'κεῖνον. καὶ θαυμαστῶς ἐφιλονείκει πρὸς τὸ τοιοῦτον. ᾗ δ' ἂν οὕτως ἐγένετο, εἴπερ ἐγίγνετο, κάλλιστα, ὤκνει, ὡς δὴ μανθάνων, καὶ ἀκούων τῶν

περὶ

περὶ φιλοσοφίαν λόγων οἰκειοῦσθαί τε ἐμοὶ συγγίγνεσθαι. φοβούμενος
τοὺς τῶν διαβαλλόντων λόγους, μή πη παρασποδισθείη, καὶ δίων
δὴ πάντα εἴη διαπεπραγμένος. ἐγὼ δὲ πάντα ὑπέμενον, τὴν πρώ-
την διάνοιαν φυλάττων ἣν ἔχων ἀφικόμην, εἴ πως εἰς ἐπιθυμίαν
ἔλθοι τῆς φιλοσόφου ζωῆς. ὁ δ' ἐνίκησεν ἀντιτείνων. καὶ ὁ πρῶτος
δὴ χρόνος τῆς εἰς σικελίαν ἐμῆς ἐπιδημήσεώς τε καὶ διατριβῆς, διὰ
πάντα ταῦτα ξυνέβη γενόμενος. μετὰ δὲ τοῦτο, ἀπεδήμησά τε, καὶ
πάλιν ἀφικόμην πάσῃ σπουδῇ μεταπεμπομένου διονυσίου. ὧν
δὲ ἕνεκα καὶ ὅσα ἔπραξα, ὡς εἰκότα τε καὶ δίκαια ὑμῖν. πρῶτον
μὲν ξυμβουλεύσας ἃ χρὴ ποιεῖν ἐκ τῶν νῦν γεγονότων, ὕστερον δὲ
τὰ περὶ ταῦτα, διέξειμι τῶν ἐπανερωτώντων ἕνεκα. τί δὴ βουλό-
μενος ἦλθον τὸ δεύτερον, ἵνα μὴ τὰ πάρεργα ὡς ἔργα μοι ξυμ-
βαίνῃ λεγόμενα. λέγω δὴ τάδε. ἐγὼ τὸν συμβουλεύοντα ἀνδρὶ κά-
μνοντι, καὶ δίαιταν διαιτωμένῳ μοχθηρὰν, πρὸς ὑγίειαν ἄλλο τι,
χρὴ πρῶτον μὲν αὐτὸν μεταβάλλειν τὸν βίον, καὶ ἐθέλοντι μὲν
πείθεσθαι καὶ τἆλλα ἤδη παραινεῖν. μὴ ἐθέλοντι δέ, φεύγοντα ἀπὸ
τῆς τοιούτου ξυμβουλῆς, ἄνδρα τε ἡγοίμην ἂν καὶ ἰατρικόν. τὸν
δὲ ὑπομένοντα, τοὐναντίον, ἄνανδρόν τε καὶ ἄτεχνον. ταὐτὸν δὴ
καὶ πόλει εἴτε αὐτῆς εἷς εἴη κύριος, εἴτε καὶ πλείους, εἰ μὲν κατὰ
τρόπον ὀρθῇ πορευομένης ὁδῷ τῆς πολιτείας ξυμβουλεύοιτό τι
τῶν προσφόρων, νοῦν ἔχοντος τὸ τοῖς τοιούτοις ξυμβουλεύειν.
τοῖς δ' ἔξω τὸ παράπαν βαίνουσι τῆς ὀρθῆς πολιτείας, καὶ μηδαμῇ
ἐθέλουσιν αὐτῆς εἰς ἴχνος ἰέναι, προαγορεύουσι δὲ τῷ ξυμβούλῳ τὴν μὲν
πολιτείαν ἐᾶν καὶ μὴ κινεῖν, ὡς ἀποθανουμένῳ ἐὰν κινῇ. τοὺς

δὲ βουλήσεσι καὶ ἐπιθυμίαις αὐτῶν ὑπηρετοῦντα, ξυμβουλεύειν κελεύουσι, τίνα τρόπον γένοιτ' ἂν ῥᾷστά τε καὶ τάχιστα εἰς τὸν ἀεὶ χρόνον. τὸν μὲν ὑπομένοντα τὰς ξυμβουλὰς τοιαύτας ἡγοῦμαι ἄνανδρον. τὸν δ' οὐχ ὑπομένοντα ἄνδρα. ταύτην δὴ τὴν διάνοιαν ἐγὼ κεκτημένος, ὅταν τίς μοι ξυμβουλεύηται περί τινος τῶν μεγίστων περὶ τὸν αὐτοῦ βίον, οἷον περὶ χρημάτων κτήσεως, ἢ περὶ σώματος ἢ περὶ ψυχῆς ἐπιμελείας, ἂν μέν μοι τὸ καθ' ἡμέραν ἔν τινι τρόπῳ δοκῇ ζῆν, ἢ συμβουλεύοντος ἂν ἐθέλειν πείθεσθαι, περὶ ὧν ἀνακοινοῦται, προθύμως συμβουλεύω· καὶ οὐκ ἀφοσιωσάμενος μόνον ἐπαυσάμην. ἐὰν δὲ μὴ ξυμβουλεύηταί μοι τὸ παράπαν, ἢ συμβουλεύοντι δῆλος ᾖ μηδαμῇ πεισόμενος, αὐτόκλητος ἐπὶ τὸν τοιοῦτον οὐκ ἔρχομαι συμβουλεύσων. βιασόμενος δέ, οὐδ' ἂν ὑὸς ᾖ. δούλῳ δὲ ξυμβουλεύσαιμ' ἄν, καὶ μὴ ἐθέλοντά γε προσβιαζοίμην. πατέρα δ' ἢ μητέρα, οὐχ ὅσιον ἡγοῦμαι προσβιάζεσθαι. μὴ νόσῳ παραφρονούντης ἐχομένους. ἐὰν δέ τινα καθεστῶτα ζῶσι βίον ἑαυτοῖς ἀρέσκοντα, ἐμοὶ δὲ μή, μήτε ἀπεχθάνεσθαι μάτην νουθετοῦντα. μήτε δὴ κολακεύοντά γε, ὑπηρετεῖν αὐτοῖς, πληρώσεις ἐπιθυμιῶν ἐκπορίζοντα, ἃς αὐτὸς ἀσπαζόμενος οὐκ ἂν ἐθέλοιμι ζῆν. ταὐτὸν δὲ καὶ περὶ πόλεως αὑτοῦ διανοούμενον χρὴ ζῆν τὸν ἔμφρονα. λέγειν μέν, εἰ μὴ καλῶς αὐτῷ φαίνοιτο πολιτεύεσθαι, εἰ μέλλοι μήτε ματαίως ἐρεῖν, μήτε ἀποθανεῖσθαι λέγων. βίαν δὲ πατρίδι πολιτείας μεταβολῆς μὴ προσφέρειν, ὅταν ἄνευ φυγῶν καὶ σφαγῆς

ἀνδρῶν

ἀνθρώπων, μὴ δυνατὸν ἦν γίνεσθαι τὴν ἀρίστην. ἡσυχίαν δὲ ἄγοντα
εὔχεσθαι τὰ ἀγαθὰ αὑτῷ τε καὶ τῇ πόλει. κατὰ δὴ τοῦτον τὸν τρό-
πον, ἐγώ θ' ὑμῖν τ' ἂν ξυμβουλεύοιμι ξυνεβούλευον ἢ καὶ διονυσίῳ μετὰ δί-
ωνος ζῆν μέν τοι μεθ' ἡμέραν πρῶτον, εἴπως ἐγκρατὴς αὐτὸς αὑτοῦ
ὅτι μάλιστα ἔσεσθαι μέλλοι. καὶ πιστοὺς φίλους τε καὶ ἑταίρους
κτήσεσθαι, ὅπως μὴ πάθοι ἅπερ ὁ πατὴρ αὐτοῦ. ὃς παραλα-
βὼν σικελίας πολλὰς καὶ μεγάλας πόλεις ὑπὸ τῶν βαρβάρων
ἐκπεπορθημένας, οὐχ οἷός τ' ἦν κατοικίσας, πολιτείας ἐν ἑκά-
σταις καταστήσασθαι πιστὰς ἑταίρων ἀνδρῶν οὔτε ἄλλων δή ποθεν ὀ-
θνείων· οὔτε ἀδελφῶν, οὓς ἔθρεψέ τε αὐτὸς νεωτέρους ὄντας, ἔκ
τε ἰδιωτῶν, ἄρχοντας, καὶ ἐκ πενήτων πλουσίους ἐπεποιήκει
διαφερόντως. τούτων κοινωνὸν τῆς ἀρχῆς οὐδένα οἷός τ' ἦν, πει-
θοῖ καὶ διδαχῇ καὶ εὐεργεσίαις καὶ ξυγγενείαις ἀπεργασάμενος
ποιήσασθαι. δαρείου δὲ ἑπταπλασίως φαυλότερος ἐγένετο. ὃς οὐκ
ἀδελφοῖς πιστεύσας οὐδ' ὑπ' αὑτοῦ τραφεῖσι, κοινωνοῖς δὲ μόνον τῆς
τοῦ μήδου τε καὶ εὐνούχου χειρώσεως, διένειμέ τε μέρη μείζω ἕ-
καστα σικελίας πάσης ἑπτά, καὶ πιστοῖς ἐχρήσατο τοῖς κοινωνοῖς
καὶ οὐκ ἐπιτιθεμένοις, οὔτε αὐτῷ οὔτε ἀλλήλοις. ἔδειξέ τε πα-
ράδειγμα, οἷον χρὴ τὸν νομοθέτην καὶ βασιλέα τὸν ἀγαθὸν γί-
γνεσθαι. νόμους γὰρ κατασκευάσας, ἔτι καὶ νῦν διασέσωκε τὴν περ-
σῶν ἀρχήν. ἔτι δ' ἀθηναῖοι πρὸς τούτοις, οὐκ αὐτοὶ κατοικίσαντες
πολλὰς τῶν ἑλλήνων πόλεις, ὑπὸ βαρβάρων ἐκβεβλημένας, ἀλλ' οἰκουμένας
παραλαβόντες ὅμως ἑβδομήκοντα ἔτη διεφύλαξαν τὴν ἀρχὴν,

ἄνδρας φίλους ἐν ταῖς πόλεσιν ἑκάσταις κεκτημένοι. Διονύσιος δὲ εἰς μίαν πόλιν ἀθροίσας πᾶσαν Σικελίαν ὑπὸ σοφίας, πιστεύων οὐδενὶ, μόγις ἐσώθη· πένης γὰρ ἦν, ἀνδρῶν φίλων καὶ πιστῶν οὗ μεῖζον σημεῖον εἰς ἀρετὴν καὶ κακίαν οὐκ ἔστιν οὐδὲν, τοῦ ἔρημον ἢ μὴ, τοιούτων ἀνδρῶν εἶναι. ἃ δὴ καὶ Διονυσίῳ ξυνεβουλεύομεν ἐγὼ καὶ Δίων ἐπειδὴ τὰ παρὰ τοῦ πατρὸς αὐτῷ ξυνεβεβήκει οὕτως ἀνομιλήτῳ μὲν παιδείας, ἀνομιλήτῳ δὲ συνουσιῶν τῶν προσηκουσῶν γεγονέναι, πρῶτον ἐπὶ ταῦτα ὁρμήσαντα φίλους ἄλλους αὐτῷ τῶν οἰκείων ἅμα καὶ ἡλικιωτῶν καὶ συμφώνους πρὸς ἀρετὴν κτήσασθαι. μάλιστα δ᾽ αὐτὸν αὐτῷ· τούτων γὰρ αὐτὸν θαυμαστῶς ἐνδεᾶ γεγονέναι λέγοντες οὐκ ἐναργῶς οὕτως· οὐ γὰρ ἦν ἀσφαλές. αἰνιττόμενοι δὲ καὶ διαμαχόμενοι τοῖς λόγοις, ὡς οὕτω μὲν πᾶς ἀνὴρ αὑτόν τε καὶ ἐκείνους ὧν ἂν ἡγεμὼν γίγνηται σώσει. μὴ ταύτῃ δὲ τραπόμενος, τἀναντία πάντα ἀποτελεῖ· πορευθεὶς δὲ ὡς ἐλέγομεν, καὶ ἑαυτὸν ἔμφρονά τε καὶ σώφρονα ἀπεργασάμενος, εἰ τὰς ἐξηρημωμένας Σικελίας πόλεις κατοικίσειε· νόμοις τε ξυνδήσειε καὶ πολιτείαις, ὥστε αὐτῷ τε οἰκείας καὶ ἀλλήλαις εἶναι πρὸς τὰς τῶν βαρβάρων βοηθείας, οὐ διπλασίαν τὴν πατρῴαν ἀρχὴν μόνον ποιήσει, πολλαπλασίαν δὲ ὄντως· ἕτοιμον γὰρ εἶναι τούτων γενομένων, πολὺ μᾶλλον δουλώσασθαι Καρχηδονίους τῆς ἐπὶ Γέλωνος αὐτοῖς γενομένης δουλείας. ἀλλ᾽ οὐχ ὥσπερ νῦν τοὐναντίον, ὁ πατὴρ αὐτοῦ φόρον ἐτάξατο φέρειν τοῖς βαρβάροις. ταῦτα ἦν λεγόμενα καὶ παρακελευόμενα ὑφ᾽ ἡμῶν τῶν ἐπιβουλευόντων Διονυσίῳ, ὡς πολλαχόθεν ἐχώρουν οἱ τοιοῦτοι λόγοι. οἳ δὴ καὶ κρατήσαντες παρὰ Διονυσίῳ,

ἐξέβαλον

ἐξέβαλλε μὲν δίωνα. ἡμᾶς δ' εἰς φόβον κατέβαλλεν. ἵνα δὲ περαιώσωμεν οὐκ ὀλίγα πράγματα ἐν ὀλίγῳ χρόνῳ, ἐλθὼν ἐκ πελοποννήσου καὶ ἀθηνῶν δίων, ἔργῳ τὸν διονύσιον ἐνουθέτησεν· ἐπειδὴ δ' οὖν ἠλευθέρωσέ τε καὶ ἀπέδωκεν αὐτοῖς δὶς τὴν πόλιν, ταὐτὸν πρὸς δίωνα συρακούσιοι τότε ἔπαθον, ὅπερ καὶ διονύσιος ὅτε αὐτὸν ἐπεχείρει παιδεύσας θρέψαι βασιλέα τῆς ἀρχῆς ἄξιον, οὕτω δὲ κοινωνεῖν αὐτῷ τοῦ βίου παντός. ὁ δὲ τοῖς διαβάλλουσι καὶ λέγουσιν ὡς ἐπιβουλεύων τῇ τυραννίδι δίων, πράττοι πάντα ὅσα ἔπραττεν ἐν τῷ τότε χρόνῳ ἵνα ὁ μὲν παιδείᾳ δὴ τὸν νοῦν κηληθεὶς ἀμελοίη τῆς ἀρχῆς, ἐπιτρέψας ἐκείνῳ. ὁ δὲ σφετερίσαιτο, καὶ διονύσιον ἐκβάλοι ἐκ τῆς ἀρχῆς δόλῳ. ταῦτα τότε ἐνίκησε καὶ τὸ δεύτερον ἐν συρακουσίοις λεγόμενα, καὶ μάλα ἀτόπῳ τε καὶ αἰσχρᾷ νίκῃ τοῖς τῆς νίκης αἰτίοις. οἷον γὰρ γέγονεν, ἀκοῦσαι χρὴ τοὺς ἐμὲ παρακαλοῦντας πρὸς τὰ νῦν πράγματα. ἦλθον ἀθηναῖος ἀνὴρ ἐγώ, ἑταῖρος δίωνος. σύμμαχος αὐτῷ πρὸς τὸν τύραννον, ὅπως ἀντὶ πολέμου φιλίαν ποιήσαιμι. διαμαχόμενος δὲ τοῖς διαβάλλουσιν ἡττήθην. πείθοντος δὲ διονυσίου τιμαῖς καὶ χρήμασι, γενέσθαι μετ' αὐτοῦ μάρτυρά τε καὶ φίλον, πρὸς τὴν εὐπρέπειαν τῆς ἐκβολῆς τῆς δίωνος αὐτῷ γενέσθαι, τούτων δὴ τὸ πᾶν διήμαρτον. ὕστερον δὲ δὴ κατιὼν οἴκαδε δίων ἀδελφὼ δύο προσλαμβάνει ἀθήνηθεν, οὐκ ἐκ φιλοσοφίας γεγονότε φίλω. ἀλλ' ἐκ τῆς περιτρεχούσης ἑταιρείας ταύτης τῆς τῶν πλείστων φίλων ἣν ἐκ τοῦ ξενίζειν τε καὶ μυεῖν καὶ ἐποπτεύειν πραγματεύονται. καὶ δὴ

ταύτω τὼ ξυγκαταγαγόντε αὐτὸν φίλω, ἐκ τούτων τε καὶ ἐκ τῆς πρὸς τὴν κάθοδον ὑπηρεσίας ἐγενέσθην ἑταίρω. ἐλθόντες δὲ εἰς σικελίαν ἐπειδὴ δίωνα ᾔσθοντο διαβεβλημένον εἰς τοὺς ἐλευθερωθέντας ὑπ' αὐτοῦ σικελιώτας, ὡς ἐπιβουλεύοντα γενέσθαι τύραννον, οὐ μόνον τὸν ἑταῖρον καὶ ξένον προὔδοσαν, ἀλλ' οἷον τοῦ φόνου αὐτόχειρες ἐγένοντο ὅπλα ἔχοντες ἐν ταῖς χερσὶν· αὐτοὶ τοῖς φονεῦσι παρεστῶτες ἐπίκουροι. καὶ τὸ μὲν αἰσχρὸν καὶ ἀνόσιον, οὔτε παρίεμαι ἔγωγε οὔτε τι λέγω· πολλοῖς γὰρ καὶ ἄλλοις ὑμνεῖν ταῦτα ἐπιμελὲς καὶ εἰς τὸν ἔπειτα μελήσει χρόνον. τὸ δὲ ἀθηναίων πέρι λεγόμενον ὡς αἰσχύνην οὗτοι περιῆψαν τῇ πόλει, ἐξαιροῦμαι. φημὶ γὰρ κἀκεῖνον ἀθηναῖον εἶναι, ὃς οὐ προὔδωκε τὸν αὐτὸν τοῦτον, ἐξὸν χρήματα καὶ ἄλλας τιμὰς πολλὰς λαμβάνειν. οὐ γὰρ διὰ βαναύσου φιλότητος ἐγεγόνει φίλος· διὰ δὲ ἐλευθέρας παιδείας κοινωνίαν, ᾗ μόνῃ χρὴ πιστεύειν τὸν νοῦν κεκτημένον μᾶλλον ἢ συγγενείᾳ ψυχῶν καὶ σωμάτων· ὥστε οὐκ ἀξίω ὀνείδους γεγόνατον τῇ πόλει, τὼ δίωνα ἀποκτείναντε, ὡς ἐλλογίμω πώποτε ἀνδρε γενομένω. ταῦτα εἴρηται πάντα τῆς ξυμβουλῆς ἕνεκα τῶν δίωνος φίλων καὶ συγγενῶν. συμβουλεύω δὲ δή τι πρὸς τούτοις τὴν αὐτὴν ξυμβουλὴν, καὶ λόγον τὸν αὐτὸν λέγων ἤδη τρίτον τρίτοις ὑμῖν. μὴ δουλοῦσθαι σικελίαν ὑπ' ἀνθρώποις δεσπόταις, μηδὲ ἄλλην πόλιν ὅ γ' ἐμὸς λόγος ἀλλ' ὑπὸ νόμοις. οὔτε γὰρ τοῖς δουλουμένοις, οὔτε τοῖς δουλωθεῖσιν, ἄμεινον αὐτοῖς καὶ παισὶ παίδων τε ἐκγόνοις. ἀλλ' ὀλέθριος πάντως ἡ πεῖρα. σμικρὰ δὲ καὶ ἀνελεύθερα ψυχῶν ἤθη, τὰ τοιαῦτα ἁρπάζειν κέρδη φιλεῖ. οὐδὲ

τῶν εἰς

τῶν εἰς τὸν ἔπειτα καὶ εἰς τὸν παρόντα καιρὸν ἀγαθῶν καὶ δι-
καίων εἰδότα θεῶν τε καὶ ἀνθρωπίνων. ταῦτα πρῶτον μὲν δί-
ωνα ἐγὼ ἐπεχείρησα πείθειν. δεύτερον δὲ, διονύσιον. τρίτους δ'
ὑμᾶς νῦν. καί μοι πείθεσθε διὸς τρίτου σωτῆρος χάριν. εἶτα εἰς
διονύσιον βλέψαντες καὶ δίωνα. ὧν ὁ μὲν μὴ πειθόμενος ζῇ τα-
νῦν οὐ καλῶς. ὁ δὲ πειθόμενος, τέθνηκε καλῶς. τὸ γὰρ τῶν καλ-
λίστων ἐφιέμενον αὑτῷ τε καὶ πόλει, πάσχειν ὅτι ἂν πάσχῃ, πᾶν
ὀρθὸν καὶ καλόν. οὔτε γὰρ πέφυκεν ἀθάνατος ἡμῶν οὐδεὶς, οὔ-
τ' εἴ τῳ ξυμβαίη, γένοιτο ἂν εὐδαίμων ὡς δοκεῖ τοῖς πολλοῖς. κα-
κὸν γὰρ καὶ ἀγαθὸν οὐδὲν, λόγου ἄξιόν ἐστι τοῖς ἀψύχοις. ἀλ-
λ' ἢ μετὰ σώματος οὔσῃ ψυχῇ τοῦτο ξυμβήσεται ἑκάστῃ. ἢ κε-
χωρισμένῃ. πείθεσθαι δὲ ὄντως ἀεὶ χρὴ τοῖς παλαιοῖς τε καὶ ἱε-
ροῖς λόγοις, οἳ δὴ μηνύουσιν ἡμῖν ἀθάνατον ψυχὴν εἶναι. δίκας
τε ἴσχειν, καὶ τίνειν τὰς μεγίστας τιμωρίας, ὅταν τις ἀπαλλα-
χθῇ τοῦ σώματος. διὸ καὶ τὰ μεγάλα ἁμαρτήματα καὶ ἀδι-
κήματα, σμικρότερον εἶναι χρὴ νομίζειν κακὸν πάσχειν, ἢ δρᾶ-
σαι. ὧν ὁ φιλοχρήματος πένης τε ἀνὴρ τὴν ψυχὴν οὔτε ἀκούει,
ἐάν τε ἀκούσῃ καταγελῶν, ὡς οἴεται, πανταχόθεν ἀναιδῶς ἁρπάζει πᾶν
ὅτι περ ἂν οἴηται, καθάπερ θηρίον, φαγεῖν ἢ πιεῖν ἢ περὶ τὴν ἀνδραποδώδη καὶ
ἀχάριστον ἀφροδίσιον λεγομένην οὐκ ὀρθῶς ἡδονὴν ποριεῖν αὐτῷ τοῦ
μὴ πίμπλασθαι. τυφλὸς ὢν, οὐχ ὁρῶν οἷς ξυνέπεται τῶν πραγμάτων
ἀνοσιουργία κακὸν ἡλίκον, ἀεὶ μετ' ἀδικήματος ἑκάστου. ἣν ἀναγκαῖον
τῷ ἀδικήσαντι συνεφέλκειν ἐπί τε γῆς στρεφομένῳ, καὶ ὑπὸ γῆς νοστήσαντι

πορείαν ἀτιμοῦντε καὶ ἀθλίαν πάντως πανταχῆ. Δίωνα δὴ ἐγὼ λέγων ταῦτά τε καὶ ἄλλα τοιαῦτα, ἔπειθον. καὶ τοῖς ἀπεκτείνασιν ἐκεῖνον δικαιότατ' ἂν ὀργιζοίμην ἐγὼ τρόπον τινὰ ὁμοιότατα καὶ Διονυσίῳ. ἀμφότεροι γὰρ ἐμὲ καὶ τοὺς ἄλλους ὡς ἔπος εἰπεῖν ἅπαντας, τὰ μέγιστα ἔβλαψαν ἀνθρώπους. οἱ μὲν, τὸν βουλόμενον δικαιοσύνῃ χρῆσθαι διαφθείραντες. ὁ δὲ οὐδὲν ἐθελήσας χρήσασθαι δικαιοσύνῃ διὰ πάσης τῆς ἀρχῆς, μεγίστην δύναμιν ἔχων, ἐν ᾗ γενομένη φιλοσοφία τε καὶ δύναμις ὄντως ἐν ταυτῷ διὰ πάντων ἀνθρώπων ἑλλήνων τε καὶ βαρβάρων λάμψασα ἱκανῶς δόξαν παρέστησε πᾶσι τὴν ἀληθῆ, ὡς οὐκ ἄν ποτε γένοιτο εὐδαίμων, οὔτε πόλις οὔτ' ἀνὴρ οὐδεὶς, ὃς ἂν μὴ μετὰ φρονήσεως ὑπὸ δικαιοσύνῃ διαγάγῃ τὸν βίον. ἤτοι ἐν αὑτῷ κεκτημένος, ἢ ὁσίων ἀνδρῶν ἀρχόντων ἐν ἤθεσι, τραφείς τε καὶ παιδευθεὶς ἐνδίκως. ταῦτα μὲν Διονύσιος ἔβλαψε. τὰ δὲ ἄλλα σμικρὰ ἂν εἴη πρὸς ταῦτά μοι βλάβη. ὁ δὲ Δίωνα ἀποκτείνας οὐκ οἶδε ταυτὸν ἐξειργασμένος τούτῳ. Δίωνα γὰρ ἐγὼ, σαφῶς οἶδα, ὡς οἷόν τε περὶ ἀνθρώπων ἄνθρωπον διισχυρίζεσθαι ὅτι τὴν ἀρχὴν εἰ κατέσχεν, ὡς οὐκ ἄν ποτε ἐπ' ἄλλον γε σχῆμα ἀρχῆς ἐτράπετο, ἢ ἐπὶ τὸ συρακούσας μὲν πρῶτον τὴν πατρίδα τὴν ἑαυτοῦ, ἐπεὶ τὴν δουλείαν αὐτῆς ἀπήλλαξε καὶ φαιδρύνας ἐλευθερίῳ ἐν σχήματι κατέστησε. τὸ μετὰ τοῦτ' ἂν πάσῃ μηχανῇ ἐκόσμησε νόμοις τοῖς προσήκουσί τε καὶ ἀρίστοις τοὺς πολίτας. τό, τε ἐφεξῆς τούτοις, προυθυμεῖτ' ἂν πρᾶξαι. πᾶσαν σικελίαν κατοικίζειν, καὶ ἐλευθέραν ἀπὸ τῶν βαρβάρων ποιεῖν. τοὺς μὲν, ἐκβάλλων. τοὺς δὲ

χειρούμενος ῥᾷον ἱερόσυλος· τούτων δ' αὖ γενομένων, διὰ ἀνδρὸς δικαίου τε καὶ ἀνδρείου καὶ σώφρονος καὶ φιλοσόφου, τὴν αὐτὴν ἀρετῆς ἂν πέρι γενέσθαι δόξαν τοῖς πολλοῖς, ἥπερ ἄν, εἰ Διονύσιος ἐπείσθη, παρὰ πᾶσιν ἂν ὡς ἔπος εἰπεῖν ἀνθρώποις, ἀπέσωσε γενομένη. νῦν δὲ ἤπου τις δαίμων, ἤ τις ἀλιτήριος ἐμπεσὼν ἀνομίᾳ, καὶ ἀθεότητι, καὶ τὸ μέγιστον τόλμαις ἀμαθίας, ἐξ ἧς πάντα κακὰ πᾶσιν ἐρρίζωται καὶ βλαστάνει, καὶ εἰς ὕστερον ἀποτελεῖ καρπὸν τοῖς γεννήσασι πικρότατον, αὕτη πάντα τὸ δεύτερον ἀνέτρεψέ τε καὶ ἀπώλεσε. νῦν δὲ δὴ εὐφημῶμεν χάριν οἰωνοῦ τὸ τρίτον. ὅμως δὴ μιμεῖσθαι μὲν συμβουλεύω Δίωνα ὑμῖν τοῖς φίλοις τήν τε τῆς πατρίδος εὔνοιαν, καὶ τὴν τῆς τροφῆς σώφρονα δίαιταν ἐπὶ λῳόνων δὲ ὀρνίθων τὰς ἐκείνου βουλήσεις πειρᾶσθαι ἀποτελεῖν. αἳ δὲ ἦσαν, ἠκούσατε παρ' ἐμοῦ σαφῶς. τὸν δὲ μὴ δυνάμενον ὑμῶν δωριστὶ ζῆν κατὰ τὰ πάτρια, διώκοντα τόν τε τῶν Δίωνος σφαγέων καὶ τὸν σικελικὸν βίον, μήτε παρακαλεῖν μήτε οἴεσθαι πιστὸν ἄν τι καὶ ὑγιὲς πρᾶξαί ποτε. τοὺς δὲ ἄλλους παρακαλεῖν ἐπὶ πάσης σικελίας κατοικισμόν τε καὶ ἰσονομίαν, ἔκ τε αὐτῆς σικελίας καὶ ἐκ πελοποννήσου ξυμπάσης. φοβεῖσθαι δὲ μηδὲ ἀθήνας. εἰσὶ γὰρ καὶ ἐκεῖ, πάντων ἀνθρώπων διαφέροντες πρὸς ἀρετὴν, ξενοφόνων τε ἀνδρῶν μισοῦντες τόλμας. εἰ δ' οὖν, ταῦτα μὲν ὕστερα γένοιτ' ἄν. κατεπείγουσι δὲ ὑμᾶς αἱ τῶν στάσεων πολλαὶ καὶ παντοδαπαὶ φυόμεναι ἑκάστης ἡμέρας διαφοραί, εἰδέναι μέν που χρὴ πάντα τινὰ ἄνδρα, ᾧ καὶ βραχὺ δόξης ὀρθῆς μετέδωκε θεία τις τύχη, ὡς οὐκ ἔστι παῦλα κακῶν τοῖς στασιάσα-

σι, πρὶν ἂν οἱ κρατήσαντες, μάχαις καὶ ἐκβολαῖς ἀνθρώπων καὶ σφαγαῖς μνησικακοῦντες, καὶ ἐπὶ τιμωρίας παύσωνται τρέπεσθαι τῶν ἐχθρῶν. ἐγκρατεῖς δὲ ὄντες αὐτῶν, θέμενοι νόμους κοινοὺς μηδὲν μᾶλλον πρὸς ἡδονὴν αὐτοῖς, ἢ τοῖς ἡττηθεῖσι κειμένους, ἀναγκάσωσιν αὐτοὺς χρῆσθαι τοῖς νόμοις, διτταῖς οὔσαις ἀνάγκαις, αἰδοῖ καὶ φόβῳ φόβῳ μὲν διὰ τὸ κρείττους αὐτῶν εἶναι δεικνύντες τὴν βίαν· αἰδοῖ δὲ αὖ, διὰ τὸ κρείττους φαίνεσθαι περί τε τὰς ἡδονὰς, καὶ τοῖς νόμοις μᾶλλον ἐθέλοντές τε καὶ δυνάμενοι δουλεύειν. ἄλλως δὲ οὐκ ἔστιν ὡς ἄν ποτε κακῶν λήξειε πόλις ἐν αὐτῇ στασιάσασα. ἀλλὰ στάσεις καὶ ἔχθραι καὶ μίση καὶ ἀπιστίαι, ταῖς οὕτω διατεθείσαις πόλεσιν, αὐταῖς πρὸς αὐτὰς ἀεὶ γίγνεσθαι φιλεῖ. τοὺς δὴ κρατήσαντας ἀεὶ χρὴ ὅταν περ ἐπιθυμήσωσι σωτηρίας, αὐτοὺς ἐν αὐτοῖς ἄνδρας προκρῖναι τῶν ἄλλων, οὓς ἂν πυνθάνωνται ἀρίστους ὄντας. πρῶτον μὲν γέροντας, καὶ παῖδας καὶ γυναῖκας κεκτημένους οἴκοι καὶ προγόνους αὐτῶν, ὅτι μάλιστα πολλούς τε ἀγαθοὺς καὶ ὀνομαστούς. καὶ κτῆσιν κεκτημένους πάντας ἱκανήν. ἀριθμὸν δὲ εἶναι μυριάνδρῳ πόλει, πεντήκοντα ἱκανοὶ τοιοῦτοι. τούτους δὲ, δεήσεσι καὶ τιμαῖς ὅτι μεγίσταις οἴκοθεν μεταπέμπεσθαι. μεταπεμψαμένους δὲ, ὀμόσαντας δεῖσθαι, καὶ κελεύειν θεῖναι νόμους, μήτε νικήσασι μήτε νικηθεῖσι νέμειν πλέον· τὸ δὲ ἴσον καὶ κοινὸν πάσῃ τῇ πόλει. τεθέντων δὲ τῶν νόμων ἐν τούτῳ δὴ τὰ πάντα ἐστίν. ἂν μὲν γὰρ οἱ νενικηκότες ἥττους αὐτοὺς τῶν νόμων, μᾶλλον τῶν νενικημένων παρέχωνται

ρέχωνται

γίγνονται, πάντ' ἔσται σωτηρίας τε καὶ εὐδαιμονίας μεστά. καὶ
πάντων κακῶν ἀποφυγή. εἰ δὲ μή, μήτ' ἐμὲ μήτ' ἄλλον κοινωνὸν
παρακαλεῖν, ἐπὶ γὰρ μὴ πειθόμενον τοῖς νῦν ἐπεσταλμένοις. ταῦ
τα γάρ ἐστιν ἀδελφὰ ὧν τε δίων ὧν τ' ἐγὼ ἐπεχειρήσαμεν συρακού
σαις εὖ φρονοῦντες συμπρᾶξαι. δεύτερα μὴν· πρῶτα δ' ἦν, ἃ τὸ
πρῶτον ἐπεχειρήθη μετ' αὐτοῦ Διονυσίου πραχθῆναι πᾶσι κοινὰ
ἀγαθά. τύχη δέ τις ἀνθρώπων κρείττων διεφόρησε. τὰ δὲ νῦν
ὑμεῖς πειρᾶσθε εὐτυχέστερον αὐτὰ ἀγαθῇ πρᾶξαι μοίρᾳ καὶ θείᾳ τι
νὶ τύχῃ. ξυμβουλὴ μὲν δὴ καὶ ἐπιστολὴ εἰρήσθω, καὶ ἡ παρὰ διο
νύσιον ἐμοὶ προτέρα ἄφιξις. ἡ δὲ δὴ ὑστέρα πορεία τε καὶ πλοῦς,
ὡς εἰκότως τε ἅμα καὶ ἐμμελῶς γέγονεν, ᾧ μέλει ἀκούειν ἔξεστι
τὸ μετὰ τοῦτο. ὁ μὲν γὰρ δὴ πρῶτος χρόνος τῆς ἐν σικελίᾳ δια
τριβῆς μοι, διεπεράνθη καθάπερ εἶπον πρὶν συμβουλεύειν, τοῖς
οἰκείοις καὶ ἑταίροις τοῖς περὶ δίωνα. τὸ μετ' ἐκεῖνα δ' οὖν, ἔπεισα ὅ
πῃ δὴ ποτ' ἐδυνάμην, διονύσιον ἀφεῖναί με. εἰρήνης δὲ γενομέ
νης, ἦν γὰρ τότε πόλεμος ἐν σικελίᾳ, ξυνωμολογήσαμεν ἀμ
φότεροι. διονύσιος μὲν ἔφη μεταπέμψεσθαι δίωνα καὶ ἐμὲ πά
λιν, καταστησάμενος τὰ περὶ τὴν ἀρχὴν ἀσφαλέστερον ἑαυτῷ.
δίωνα δ' ἠξίου διανοεῖσθαι, μὴ φυγὴν αὐτῷ γεγονέναι τότε μετάστα
σιν δέ. ἐγὼ δ' ἥξειν ὡμολόγησα ἐπὶ τούτοις τοῖς λόγοις. γενομένης
δ' εἰρήνης, μετεπέμπετό με. δίωνα δ' ἐπισχεῖν ἐνιαυτὸν ἐδεῖτο. ἐμὲ δ' ἥ
κειν ἐκ παντὸς τρόπου ἠξίου. δίων μὲν οὖν ἐκέλευέ τέ με πλεῖν καὶ ἐδεῖτο

καὶ γὰρ δὴ λόγος ἐχώρει πολὺς ἐκ σικελίας, ὡς διονύσιος θαυμαστῶς φιλοσοφίας ἐν ἐπιθυμίᾳ πάλιν ἐληλυθὼς τανῦν. ὅθεν ὁ δίων συντεταμένως ἐδεῖτο ἡμῶν, τῇ μεταπέμψει μὴ ἀπειθεῖν. ἐγὼ δὲ, ᾔδειν μέν που κατὰ τὴν φιλοσοφίαν, τοῖς νέοις πολλὰ τοιαῦτα γιγνόμενα. ὅμως δ' οὖν ἀσφαλέστερόν μοι ἔδοξε, χαίρειν τότε γε πολλὰ καὶ δίωνα καὶ διονύσιον ἐᾶν. καὶ ἀπηχθόμην, ἀμφοῖν ἀποκρινάμενος. ὅτι γέρων τε εἴην. καὶ κατὰ τὰς ὁμολογίας, οὐδὲν γίγνοιτο τῶν τανῦν πραττομένων. ἔοικε δὴ τὸ μετὰ τοῦτο, ἀρχύτας τε παρὰ διονύσιον πρὶν ἀφικέσθαι. ἐγὼ γὰρ πρὶν ἀπιέναι, ξενίαν καὶ φιλίαν ἀρχύτῃ καὶ τοῖς ἐν τάραντι καὶ διονυσίῳ ποιήσας, ἀπέπλεον. ἄλλοι τέ τινες ἐν συρακούσαις ἦσαν. δίωνός τε ἄττ' ἄττα διακηκοότες καὶ τούτων τινὲς ἄλλοι, παρακουσμάτων τινῶν ἔμμεστοι τῶν κατὰ φιλοσοφίαν. οἳ δοκοῦσί μοι διονυσίῳ πειρᾶσθαι διαλέγεσθαι τῶν περὶ τὰ τοιαῦτα, ὡς διονυσίου πάντα διακηκοότος ὅσα διενοούμην ἐγώ. ὁ δὲ, οὔτε ἄλλως ἐστὶν ἀφυὴς πρὸς τὴν τοῦ μανθάνειν δύναμιν. φιλότιμός τε θαυμαστῶς. ἤρεσκέ τε οὖν ἴσως αὐτῷ τὰ λεγόμενα, ᾐσχύνετό τε φανερὸς γιγνόμενος οὐδὲν ἀκηκοὼς, ὅτ' ἐπεδήμουν ἐγώ. ὅθεν ἅμα μὲν, εἰς ἐπιθυμίαν ᾔει τοῦ διακοῦσαι ἐναργέστερον. ἅμα δ' ἡ φιλοτιμία, κατήπειγεν αὐτόν. δι' ἃ δὲ οὐκ ἤκουσεν ἐν τῇ πρόσθεν ἐπιδημίᾳ, διεξήλθομεν ἐν τοῖς ἄνω ῥηθεῖσι νῦν δὴ λόγοις. ἐπειδὴ οὖν οἴκαδέ τε ἐσώθην, καὶ καλοῦντος τὸ δεύτερον ἀπηρνήθην καθάπερ εἶπον, νῦν δοκεῖ μοι διονύσιος παντάπασι

φιλοτιμη

φιλοτιμηθῆναι. μή ποτε πεισθεὶς δόξαιμι καταφρονῶν αὐτοῦ, τῆς φύσεώς τε καὶ ἕξεως ἅμα καὶ τῆς διαίτης ἔμπειρος γενόμενος, οὐκ ἐθελήσειν δυσχεραίνων παρ' αὐτὸν ἀφικνεῖσθαι. δίκαιος δὴ λέγειν εἰμὶ τἀληθὲς καὶ ὑπομένειν, εἴ τις ἄρα τὰ γενόμενα ἀκούσας, καταφρονήσει τῆς ἐμῆς φιλοσοφίας. τὸν τύραννον δέ, ἡγήσεται νοῦν ἔχειν. ἔπεμψε μὲν γὰρ δὴ Διονύσιος τρίτον ἐπ' ἐμὲ τριήρη, ῥᾳστώνης ἕνεκα τῆς πορείας. ἔπεμψε δὲ Ἀρχέδημον, ὃν ἡγεῖτό με τῶν ἐν Σικελίᾳ περὶ πλείστου ποιεῖσθαι τῶν Ἀρχύτᾳ συγγεγονότων ἕνα, καὶ ἄλλους γνωρίμους τῶν ἐν Σικελίᾳ. οὗτοι δὲ ἡμῖν ἤγγελλον πάντες τὸν αὐτὸν λόγον, ὡς θαυμαστὸν ὅσον Διονύσιος ἐπιδεδωκὼς εἴη πρὸς φιλοσοφίαν. ἔπεμψε δὲ ἐπιστολὴν πάνυ μακράν, εἰδὼς ὡς πρὸς Δίωνα διεκείμην. καὶ τὴν αὖ Δίωνος προθυμίαν, τοῦ ἐμὲ πλεῖν καὶ εἰς Συρακούσας ἐλθεῖν. πρὸς γὰρ δὴ πάντα ταῦτα ἦν παρεσκευασμένη τὴν ἀρχὴν ἔχουσα ἡ ἐπιστολή, τῇδέ πῃ φράζουσα. Διονύσιος Πλάτωνι. τὰ νόμιμα ἐπὶ τούτοις εἰπών, οὐδὲν τὸ μετὰ τοῦτο εἶπε πρότερον, ἢ ὡς ἂν εἰς Σικελίαν πεισθεὶς ὑφ' ἡμῶν ἔλθῃς τανῦν, πρῶτον μέν σοι τὰ περὶ Δίωνα ὑπάρξει ταύτῃ γιγνόμενα ὅπηπερ ἂν αὐτὸς ἐθέλῃς. θελήσεις δ', οἶδ' ὅτι τὰ μέτρια, κἀγὼ συγχωρήσομαι. εἰ δὲ μή, οὐδέν σοι τῶν περὶ Δίωνα ἕξει πραγμάτων, οὔτε περὶ τἆλλα, οὔτε περὶ αὐτὸν κατὰ νοῦν γιγνόμενα. ταῦθ' οὕτως εἶπε. τἆλλα δέ, μακρὰ ἂν εἴη καὶ ἄνευ καιροῦ λεγόμενα. ἐπιστολαὶ δὲ ἄλλαι ἐφοίτων, παρά τε Ἀρχύτου καὶ τῶν ἐν Τάραντι τήν τε φιλοσοφίαν ἐγκωμιάζουσαι τὴν Διονυσίου. καὶ ὅτι ἂν μὴ ἀφίκωμαι νῦν, τὴν πρὸς Διονύσιον

αὐτοῖς γιγνομένην φιλίαν δι' ἐμοῦ οὐ σμικρὰν οὖσαν πρὸς τὰ πολιτικά, παντάπασι διαβαλοίην. ταύτης δὴ χάριν αὐτῆς γιγνομένης ἐν τῷ τότε χρόνῳ τῆς μεταπέμψεως, τῶν μὲν ἐκ σικελίας τε καὶ ἰταλίας ἑλκόντων, τῶν δ' ἀθήνηθεν, ἀτεχνῶς μετὰ τῆς δεήσεως οἷον ἐξωθούντων με, καὶ πάλιν ὁ λόγος ἧκεν ὁ αὐτὸς τὸ μὴ δεῖν προδοῦναι δίωνα, μὴ δὲ τοὺς ἐν τάραντι ξένους τε καὶ ἑταίρους. αὐτῷ δέ μοι ὑπῆν, ὡς οὐδὲν θαυμαστὸν νέον ἄνθρωπον παρακούοντα ἀξίων λόγου πραγμάτων, εὐμαθῆ πρὸς ἔρωτα ἐλθεῖν τοῦ βελτίστου βίου. δεῖν οὖν αὐτὸ διελέγξαι σαφῶς, ὁποτέρως ποτὲ ἄρα σχῇ. καὶ τοῦτο αὐτὸ μηδαμῇ προδοῦναι. μὴ δ' ἐμὲ τὸν αἴτιον γενέσθαι τηλικούτου ἀληθῶς ὀνείδους, εἴπερ ὄντως εἴη τῳ, ταῦτα λελεγμένα. πορεύομαι δὴ τῷ λογισμῷ τούτῳ κατακαλυψάμενος πολλὰ δεδιώς, μαντευόμενός τε οὐ πάνυ καλῶς ὡς ἔοικεν. ἐλθὼν δ' οὖν τὸ τρίτον τῷ σωτῆρι τοῦτό γε οὖν ἔπραξα ὄντως. ἐσώθην γὰρ τὸ πάλιν εὐτυχῶς. καὶ τούτων γε μετὰ θεὸν, διονυσίῳ χάριν εἰδέναι χρεών. ὅτι πολλῶν βουληθέντων ἀπολέσαι με διεκώλυσε. καὶ ἔδωκέ τι μέρος αἰδοῖ τῶν περὶ ἐμὲ πραγμάτων. ἐπειδὴ δ' ἀφικόμην, ᾤμην τοῦτό με πρῶτον ἔλεγχον δεῖν λαβεῖν. πότερον ὄντως εἴη διονύσιος ἐξημμένος ὑπὸ φιλοσοφίας ὥσπερ πυρός, ἢ μάτην ὁ πολὺς οὗτος ἔλθοι λόγος ἀθήναζε. ἔστι δή τις τρόπος τοῦ περὶ τὰ τοιαῦτα πεῖραν λαμβάνειν, οὐκ ἀγεννής, ἀλλ' ὄντως τυράννοις πρέπων, ἄλλως τε καὶ τοῖς τῶν παρακουσμάτων μεστοῖς. ὃ δὴ κἀγὼ διονύσιον

εὐθὺς

αὐθὺς ἐλθὼν, ᾐσθόμην καὶ μάλα πεπυσθότα. Δεικνύναι δεῖ τοῖς
τοιούτοις ὅτι ἐστὶ πᾶν τὸ πρᾶγμα οἷόν τε, καὶ δι' ὅσων πραγμάτων, καὶ
ὅσον πόνον ἔχει. ὁ γὰρ ἀκούσας, ἐὰν μὲν ὄντως ᾖ φιλόσοφος, οἰκεῖ-
ός τέ καὶ ἄξιος τοῦ πράγματος, θεῖος ὤν, ὁδόν τε ἡγεῖται θαυμαστὴν
ἀκηκοέναι. συντατέον τε εἶναι νῦν, καὶ οὐ βιωτὸν ἄλλως ποιοῦντι.
μετὰ τοῦτο δὴ συντείνας αὐτός τε καὶ τὸν ἡγούμενον τὴν ὁδὸν
οὐκ ἀνίησι, πρὶν ἂν ἢ τέλος ἐπιθῇ πᾶσιν, ἢ λάβῃ δύναμιν. ὥστε
αὐτὸς αὑτὸν χωρὶς τοῦ δείξαντος μὴ ἀδύνατος εἶναι ποδηγεῖν.
ταύτῃ καὶ κατὰ ταῦτα διανοηθεὶς ὁ τοιοῦτος ζῇ. πράττων μὲν,
ἐν αἷς τισιν ἂν ᾖ πράξεσι. παρὰ πάντα δὲ ἀεὶ φιλοσοφίας ἐχό-
μενος, καὶ τροφῆς τῆς καθ' ἡμέραν, ἥτις ἂν αὐτὸν μάλιστα εὐ-
μαθῆ τε καὶ μνήμονα, καὶ λογίζεσθαι δυνατὸν, ἐν αὑτῷ νήφοντα
ἀπεργάζηται. τὴν δὲ ἐναντίαν ταύτῃ μισῶν διατελεῖ. οἱ δὲ ὄντως
μὲν μὴ φιλόσοφοι. δόξαις δὲ ἐπικεχρωσμένοι καθάπερ οἱ τὰ σώ-
ματα ὑπὸ τῶν ἡλίων ἐπικεκαυμένοι. ἰδόντες τε ὅσα μαθήματά ἐστι καὶ
ὁ πόνος ἡλίκος, καὶ δίαιτα ἡ καθ' ἡμέραν ὡς πρέπουσα ἡ κο-
σμία τῷ πράγματι, χαλεπὸν ἡγησάμενοι καὶ ἀδύνατον αὑτοῖς, οὐ-
δὲ δὴ ἐπιτηδεύειν δυνατοὶ γίγνονται. ἔνιοι δὲ αὑτοὺς πείθουσιν αὐ-
τοὺς ὡς ἱκανῶς ἀκηκοότες εἰσὶ τὸ ὅλον. καὶ οὐδὲν ἔτι δέονταί τι-
νων πραγμάτων. ἡ μὲν δὴ πεῖρα αὕτη γίγνεται, ἡ σαφής τε καὶ ἀ-
σφαλεστάτη πρὸς τοὺς τρυφῶντάς τε καὶ ἀδυνάτους διαπο-
νεῖν, ὡς μηδέποτε βάλλειν ἐν αἰτίᾳ τὸν δεικνύντα, ἀλλ' αὐτὸν αὑ-
τὸν, μὴ δυνάμενον πάντα τὰ προσφορὰ ἐπιτηδεύειν τῷ πράγματι.

οὕτω δὴ καὶ Διονυσίῳ, τότ' ἐρρήθη τὰ ῥηθέντα. πάντα μὲν οὖν, οὔτ' ἐγὼ διεξῆλθον οὔτε διονύσιος ἐδεῖτο. πολλὰ γὰρ αὐτὸς καὶ τὰ μέγιστα, εἰδέναι τε καὶ ἱκανῶς ἔχειν προσεποιεῖτο, διὰ τὰς ὑπὸ τῶν ἄλλων παρακοάς. ὕστερον δὲ καὶ ἀκούω γεγραφέναι αὐτὸν περὶ ὧν τότε ἤκουσε συνθέντα ὡς αὐτοῦ τέχνην, οὐδὲν τῶν αὐτῶν ὧν ἀκούοι. οἶδα δὲ οὐδὲν τούτων. ἄλλους μέν τινας οἶδα γεγραφότας, περὶ τῶν αὐτῶν τούτων, οἵτινες δέ, οὐδ' αὐτοὶ αὑτούς. τοσόνδε γε μὴν περὶ πάντων ἔχω φράζειν τῶν γεγραφότων καὶ γραψόντων. ὅσοι φασὶν εἰδέναι περὶ ὧν ἐγὼ σπουδάζω, εἴτ' ἐμοῦ ἀκηκοότες, εἴτ' ἄλλων, εἴθ' ὡς εὑρόντες αὐτοί, τούτους οὐκ ἔστι κατά γε τὴν ἐμὴν δόξαν περὶ τοῦ πράγματος ἐπαΐειν οὐδέν. οὔκουν ἐμόν γε περὶ αὐτῶν ἔστιν σύγγραμμα οὐδὲ μήποτε γένηται. ῥητὸν γὰρ οὐδαμῶς ἐστιν, ὡς ἄλλα μαθήματα, ἀλλ' ἐκ πολλῆς συνουσίας γιγνομένης περὶ τὸ πρᾶγμα αὐτὸ, καὶ τοῦ συζῆν, ἐξαίφνης οἷον ἀπὸ πυρὸς πηδήσαντος ἐξαφθὲν φῶς, ἐν τῇ ψυχῇ γενόμενον αὐτὸ ἑαυτὸ ἤδη τρέφει. καίτοι τοσόνδε γε οἶδα. ὅτι γραφέντα ἢ λεχθέντα ὑπ' ἐμοῦ, βέλτιστ' ἂν λεχθείη. καὶ μὴν ὅτι γεγραμμένα κακῶς, οὐχ ἥκιστ' ἂν ἐμὲ λυποῖ. εἰ δέ μοι ἐφαίνετο γραπτέα θ' ἱκανῶς εἶναι πρὸς τοὺς πολλοὺς καὶ ῥητά, τί τούτου κάλλιον ἐπέπρακτ' ἂν ἡμῖν ἐν τῷ βίῳ, ἢ τοῖς τε ἀνθρώποισι μέγα ὄφελος γράψαι, καὶ τὴν φύσιν εἰς φῶς τοῖς πᾶσι προαγαγεῖν; ἀλλ' οὔτε αὐτὸς ἡγοῦμαι τὴν ἐπιχείρησιν περὶ αὐτῶν λεγομένην ἀγαθόν, εἰ μή τισιν ὀλίγοις, ὁπόσοι δυνατοὶ ἀνευρεῖν αὐτοὶ διὰ μικρᾶς ἐνδείξεως. τῶν τε δὴ ἄλλων, τοὺς μὲν καταφρονήσεως οὐκ ὀρθῶς ἐμπλήσειεν ἂν οὐδαμῇ ἐμμελῶς, τοὺς δὲ ὑψηλῆς καὶ χαύνης ἐλπίδος, ὡς σεμνά τ'

τα

τὰ μεμαθηκότα. ἔτι δὲ μακροτέρα περὶ αὐτῶν ἡ ἐμή μοι γίγνεται
ἀπειρία. τάχα γὰρ αὖ περὶ ὧν λέγω σαφέστερον ἂν εἴη πλεχθέν-
των αὐτῶν. ἔστι γάρ τις λόγος ἀληθὴς ἐναντίος τῷ τολμήσαντι
γράφειν τῶν τοιούτων καὶ ὁτιοῦν, πολλάκις μὲν ὑπ' ἐμοῦ καὶ πρό-
σθεν ῥηθείς, ἔοικε δ' οὖν εἶναι καὶ νῦν λεκτέος. ἔστι τῶν ὄντων ἑκάστῳ,
δι' ὧν τὴν ἐπιστήμην ἀνάγκη παραγίγνεσθαι, τρία. τέταρτον δ'
αὐτή. πέμπτον δ' αὐτὸ τιθέναι. ὃ δὴ γνωστόν τε καὶ ἀληθές ἐστιν.
ἓν οὖν μὲν, ὄνομα. δεύτερον δὲ, λόγος. τὸ δὲ τρίτον, εἴδωλον. τέ-
ταρτον δὲ ἐπιστήμη. περὶ ἓν οὖν, λαβὲ βουλόμενος μαθεῖν τὸ νῦν
λεγόμενον. καὶ πάντων οὕτω πέρι νόησον. κύκλος ἐστί τι λεγόμε-
νον, ᾧ τοῦτ' αὐτό ἐστιν ὄνομα ὃ νῦν ἐφθέγμεθα. λόγος δ' αὐτοῦ τὸ
δεύτερον, ἐξ ὀνομάτων καὶ ῥημάτων συγκείμενος. τὸ γὰρ ἐκ τῶν ἐσχά-
των ἐπὶ τὸ μέσον ἴσον ἀπέχον πάντη, λόγος ἂν εἴη ἐκείνου, ᾧ περ στρογ-
γύλον καὶ περιφερὲς ὄνομα καὶ κύκλος. τρίτον δὲ, τὸ ζωγραφού-
μενόν τε καὶ ἐξαλειφόμενον καὶ τορνευόμενον καὶ ἀπολλύμενον.
ὧν αὐτὸς ὁ κύκλος ὃν πέρι πάντ' ἐστὶ ταῦτα, οὐδὲν πάσχει τούτων,
ὡς ἕτερον ὄν. τέταρτον δὲ, ἐπιστήμη καὶ νοῦς ἀληθής τε δόξα, περὶ
ταῦτ' ἐστίν. ὡς δὲ ἓν τοῦτο αὖ, πᾶν θετέον. οὐκ ἐν φωναῖς οὐδ' ἐν
σωμάτων σχήμασιν, ἀλλ' ἐν ψυχαῖς ἐνόν. ᾧ δῆλον ἕτερόν τε ὂν αὐ-
τοῦ τοῦ κύκλου τῆς φύσεως, τῶν τε ἔμπροσθεν λεχθέντων τριῶν.
τούτων δὲ ἐγγύτατα μὲν, συγγενείᾳ καὶ ὁμοιότητι τοῦ πέμπτου
νοῦς πεπλησίακε. τἆλλα δὲ πλέον ἀπέχει. ταὐτὸν δὴ περί τε εὐθέος
ἅμα καὶ περιφεροῦς σχήματος καὶ χρόας. περί τε ἀγαθοῦ καὶ καλοῦ καὶ δικαίου
καὶ περὶ σώματος ἅπαντος σκευαστοῦ τε καὶ κατὰ φύσιν γεγονότος. πυ-
ρὸς ὕδατός τε καὶ τῶν τοιούτων πάντων. καὶ ζώου ξύμπαντος πέρι. καὶ
ἐν ψυχαῖς ἤθους. καὶ περὶ ποιήματα καὶ παθήματα ξύμπαντα,

οὐ γὰρ αὖ τούτων μή τις τὰ τέτταρα λάβῃ ἄλλως γέ πως οὔποτε τελέως ἐπιστήμης τοῦ πέμπτου μέτοχος ἔσται. πρὸς γὰρ τούτοις, ταῦτα οὐχ ἧττον ἐπιχειρεῖ τὸ ποῖόν τι περὶ ἕκαστον δηλοῦν, ἢ τὸ ὂν ἑκάστου διὰ τὸ τῶν λόγων ἀσθενές. ὧν ἕνεκα νοῦν ἔχων οὐδεὶς, τολμήσει ποτὲ εἰς αὐτὸ τιθέναι τὰ νενοημένα ὑπ' αὐτοῦ. καὶ ταῦτα εἰς ἀμετακίνητον, ὃ δὴ πάσχει τὰ γεγραμμένα τύποις. τοῦτο δὲ πάλιν αὖ τὸ νῦν λεγόμενον, δεῖ μαθεῖν. κύκλος ἕκαστος τῶν ἐν ταῖς πράξεσι γραφομένων ἢ καὶ τορνευθέντων, μεστὸς τοῦ ἐναντίου ἐστὶ τῷ πέμπτῳ. τοῦ γὰρ εὐθέος, ἐφάπτεται πάντῃ. αὐτὸς δέ φαμὲν ὁ κύκλος οὔτε τι σμικρότερον οὔτε μεῖζον τῆς ἐναντίας ἔχει ἐν αὑτῷ φύσεως. ὄνομά τε αὐτῶν φαμὲν οὐδὲν οὐδενὶ βέβαιον εἶναι. κωλύειν δ' οὐδὲν τὰ νῦν στρογγύλα καλούμενα, εὐθέα κεκλῆσθαι. τά τε εὐθέα δὴ, στρογγύλα. καὶ οὐδὲν ἧττον βεβαίως ἕξειν, τοῖς μεταθεμένοις καὶ ἐναντίως καλοῦσι. καὶ μὴν περὶ λόγου γε ὁ αὐτὸς λόγος, εἴπερ ἐξ ὀνομάτων καὶ ῥημάτων σύγκειται, μηδὲν ἱκανῶς βεβαίως εἶναι βέβαιον. μυρίος δὲ λόγος αὖ περὶ ἑκάστου τῶν τεττάρων, ὡς ἀσαφές. τὸ δὲ μέγιστον ὅπερ εἴπομεν ὀλίγον ἔμπροσθεν, ὅτι δυοῖν ὄντοιν τοῦ τε ὄντος καὶ τοῦ ποιοῦ τινος, οὐ τὸ ποιόν τι, τὸ δὲ τί ζητούσης εἰδέναι τῆς ψυχῆς, τὸ μὴ ζητούμενον ἕκαστον τῶν τεττάρων προτεῖνον τῇ ψυχῇ λόγῳ τε καὶ κατ' ἔργα, αἰσθήσεσιν εὐέλεγκτον τό, τε λεγόμενον καὶ δεικνύμενον ἀεὶ παρεχόμενον ἕκαστον, ἀπορίας τε καὶ ἀσαφείας ἐμπίπλησι πάσης ὡς ἔπος εἰπεῖν πάντ' ἄνδρα. ἐν οἷσι μὲν οὖν μηδ' εἰθισμένοι τὸ ἀληθὲς ζητεῖν ἐσμὲν ὑπὸ πονηρᾶς τροφῆς, ἐξαρκεῖ δὲ τὸ προτεθὲν τῶν εἰδώλων, οὐ καταγέλαστοι γιγνόμεθα ὑπ' ἀλλήλων, οἱ ἐρωτώμενοι ὑπὸ τῶν ἐρωτώντων. δυναμένων δὲ τὰ τέτταρα, διαρρίπτειν τε καὶ ἐλέγχειν. ἐν οἷς δ' αὖ τὸ πέμ-

πτον

πτον ἀποκρίνασθαι καὶ δηλοῦν ἀναγκάζωμεν, ὁ βουλόμενος τῶν δυναμένων ἀνατρέπειν κρατεῖ, καὶ ποιεῖ τὸν ἐξηγούμενον ἐν λόγοις ἢ γράμμασιν ἢ ἀποκρίσεσι, τοῖς πολλοῖς τῶν ἀκουόντων δοκεῖν μηδὲν γιγνώσκειν ὧν ἂν ἐπιχειρῇ γράφειν ἢ λέγειν. ἀγνοούντων ἐνίοτε, ὡς οὐχ ἡ ψυχὴ τοῦ γράψαντος ἢ λέξαντος ἐλέγχεται, ἀλλ' ἡ τῶν τεττάρων φύσις ἑκάστου πεφυκυῖα φαύλως. ἡ δὲ διὰ πάντων αὐτῶν διαγωγή, ἄνω καὶ κάτω μεταβαίνουσα ἐφ' ἕκαστον, μόγις ἐπιστήμην ἐνέτεκεν, εὖ πεφυκότος εὖ πεφυκότι. κακῶς δὲ ἂν φυῇ, ὡς ἡ τῶν πολλῶν ἕξις τῆς ψυχῆς, εἴς τε τὸ μαθεῖν εἴς τε τὰ λεγόμενα ἤθη πέφυκε, τὰ δέ, διέφθαρται, οὐδ' ἂν ὁ Λυγκεὺς ἰδεῖν ποιήσειε τοὺς τοιούτους. ἑνὶ δὲ λόγῳ, τὸν μὴ συγγενῆ τοῦ πράγματος οὔτ' ἂν εὐμάθεια ποιήσειέ ποτε οὔτε μνήμη. τὴν ἀρχὴν γὰρ ἐν ἀλλοτρίαις ἕξεσιν οὐκ ἐγγίγνεται. ὥστε ὁπόσοι τῶν δικαίων τε καὶ τῶν ἄλλων ὅσα καλὰ μὴ προσφυεῖς εἰσι καὶ συγγενεῖς. ἄλλοι δὲ ἄλλων εὐμαθεῖς ἅμα καὶ μνήμονες, οὐδ' ὅσοι συγγενεῖς δυσμαθεῖς δὲ καὶ ἀμνήμονες, οὐδένες τούτων μή ποτε μάθωσιν ἀλήθειαν ἀρετῆς εἰς τὸ δυνατὸν οὐδὲ κακίας. ἅμα γὰρ αὐτὰ ἀνάγκη μανθάνειν, καὶ τὸ ψεῦδος ἅμα καὶ ἀληθὲς τῆς ὅλης οὐσίας μετὰ τριβῆς πάσης καὶ χρόνου πολλοῦ, ὅπερ ἐν ἀρχαῖς εἶπον. μόγις δὲ τριβόμενα πρὸς ἄλληλα αὐτῶν ἕκαστα, ὀνόματα καὶ λόγοι, ὄψεις τε καὶ αἰσθήσεις, ἐν εὐμενέσιν ἐλέγχοις ἐλεγχόμενα, καὶ ἄνευ φθόνων ἐρωτήσεσι καὶ ἀποκρίσεσι χρωμένων, ἐξέλαμψε φρόνησις περὶ ἕκαστον καὶ νοῦς, συντείνων ὅτι μάλιστ' εἰς δύναμιν ἀνθρωπίνην. διὸ δὴ πᾶς ἀνὴρ σπουδαῖος, τῶν ὄντων σπουδαίων πέρι, πολλοῦ δεῖ μὴ γράψας ποτὲ ἐν ἀνθρώποις, εἰς φθόνον καὶ ἀπορίαν καταβαλεῖ. ἑνὶ δὴ ἐκ τούτων δεῖ γιγνώσκειν λόγῳ, ὅταν ἴδῃ τις του συγγράμ-

ματα γεγραμμένα εἴτε ἐν νόμοις νομοθέτου εἴτε ἐν ἄλλοις τισὶν ἅττ' οὖν,
ὡς οὐκ ἦν τούτῳ ταῦτα σπουδαιότατα, εἴπερ ἔστ' αὐτὸς σπουδαῖ-
ος. κεῖται δέ που ἐν χώρᾳ τῇ καλλίστῃ τῶν τούτου. εἰ δὲ ὄντως αὐ-
τῷ ταῦτ' ἐσπουδασμένα ἐν γράμμασιν ἐτέθη, ἐξ ἄρα δή οἱ ἔπειτα
θεοὶ μὲν, οὐ βροτοὶ δὲ φρένας ὤλεσαν αὐτοί. τούτῳ δὴ τῷ μύθῳ
τε καὶ πλάνῳ ὁ ξυνεπισπόμενος, εὖ εἴσεται. εἴτ' οὖν Διονύσιος ἔγρα-
ψέ τι τῶν περὶ φύσεως ἄκρων καὶ πρώτων, εἴτε τις ἐλάττων εἴτε
μείζων, ὡς οὐδὲν ἀκηκοὼς οὐδὲ μεμαθηκὼς ἦν ὑγιὲς ὧν ἔγραψε
κατὰ τὸν ἐμὸν λόγον. ὁμοίως γὰρ αὐτὰ ἐσέβετο ἐμοί, καὶ οὐκ ἂν
αὐτὰ εἰς ἀναρμοστίαν καὶ ἀπρέπειαν ἐκβάλλειν. οὔτε γὰρ ὑπο-
μνημάτων χάριν ἔγραψεν. οὐδὲν γὰρ δεινὸν μήτις αὐτὸ ἐπιλά-
θηται, ἐὰν ἅπαξ τῇ ψυχῇ περιλάβῃ. πάντων γὰρ ἐν βραχυ-
τάτοις κεῖται. φιλοτιμίας δὲ αἰσχρᾶς εἴπερ ἕνεκα, εἴθ' ὡς αὑτοῦ
τιθέμενος, εἴθ' ὡς παιδείας δὴ μέτοχος ὢν ἧς οὐκ ἄξιος ἦν, ἀγα-
πῶν δόξαν τὴν τῆς μετοχῆς γενομένην. εἰ μὲν οὖν ἐκ τῆς μιᾶς
συνουσίας Διονυσίῳ τοῦτο γέγονε, τάχ' ἂν εἴη. γέγονε δ' οὖν ὅπως, ἴττω
Ζεύς, φησὶν ὁ Θηβαῖος. διεξῆλθον μὲν γὰρ ὡς εἶπόν τε ἐγὼ, καὶ ἅπαξ
μόνον. ὕστερον δὲ οὐ πώποτε ἔτι. ἐννοεῖν δὴ δεῖ τὸ μετὰ τοῦτο, ὅτῳ
μέλει τὸ περὶ αὐτὰ γεγονὸς εὑρεῖν ὅπῃ ποτὲ γέγονε. τίνι ποτ' αἰτίᾳ τὸ
δεύτερον, καὶ τὸ τρίτον πλεονάκις τε, οὐ διεξῆμεν. πότερον Διονύ-
σιος ἀκούσας μόνον ἅπαξ, οὕτως εἰδέναι τε οἴεται καὶ ἱκανῶς
οἶδεν, εἴτε αὐτὸς εὑρὼν ἢ καὶ μαθὼν ἔμπροσθεν παρ' ἑτέρων, ἢ φαῦ-
λα εἶναι τὰ λεχθέντα. ἢ τὸ τρίτον οὐκ αὑτοῦ, μείζονα δὲ, καὶ
οὔτως οὐκ ἂν δυνατὸς εἶναι φρονήσεώς τε καὶ ἀρετῆς ζῆν ἐπιμε-
λούμενος. εἰ μὲν γὰρ φαῦλα, πολλοῖς μάρτυσι μαχεῖται τὰ ἐναν-
τία λέγουσιν, οἳ περὶ τῶν τοιούτων, πάμπολυ Διονυσίου κριτέ-
ροι ἂν

ροι ἂν ἐθέλειν κεῖσθαι. εἰ δὲ εὑρηκέναι μὲν ἢ μεμαθηκέναι ἄξια δ' οὖν εἶναι πρὸς παιδείαν ψυχῆς ἐλευθέρας, πῶς ἂν μὴ θαυμαστὸς ὢν ἄνθρωπος, τὸν ἡγεμόνα τούτων καὶ κύριον οὕτως εὐχερῶς ἠτίμασέν ποτ' ἄν. πῶς δ' ἠτίμασεν, ἐγὼ φράζοιμ' ἄν. οὐ πολὺν χρόνον διαλιπὼν τὸ μετὰ τοῦτο· ἐν τῷ πρόσθεν δίωνα ἐῶν τὰ ἑαυτοῦ κεκτῆσθαι καὶ καρποῦσθαι χρήματα, τότε οὐκ ἔτ' εἴα τοὺς ἐπιτρόπους αὐτοῦ πέμπειν εἰς πελοπόννησον, καθάπερ ἐπιλελησμένος τῆς ἐπιστολῆς παντάπασιν· εἶναι γὰρ αὐτὰ οὐ δίωνος, ἀλλὰ τοῦ υἱέως ὄντος μὲν ἀδελφιδοῦ αὐτοῦ, κατὰ νόμους δὲ ἐπιτροπεύοντος. τὰ μὲν δὴ πεπραγμένα μέχρι τούτου, ταῦτ' ἦν ἐν τῷ τότε χρόνῳ. τούτων δὲ οὕτω γενομένων ἑωράκη τ' ἀκριβῶς τὴν ἐπιθυμίαν τῆς διονυσίου φιλοσοφίας, ἀγανακτεῖν τε ἐξῆν εἴτε βουλοίμην εἴτε μή. ἦν γὰρ θέρος ἤδη τότε καὶ ἔκπλοι τῶν νεῶν. ἐδόκει δή μοι χαλεπαίνειν μὲν οὐ δεῖν ἐμὲ διονυσίῳ μᾶλλον ἢ ἐμαυτῷ τε καὶ τοῖς βιασαμένοις ἐλθεῖν ἐμὲ τὸ τρίτον εἰς τὸν πορθμὸν τὸν περὶ τὴν σκύλλαν, ὄφρ' ἔτι τὴν ὀλοὴν ἀναμετρήσαιμι χάρυβδιν. λέγειν δὲ πρὸς διονύσιον, ὅτι μοι μένειν ἀδύνατον εἴη, δίωνος οὕτω προπεπηλακισμένου. ὁ δὲ παρεμυθεῖτό τε, καὶ ἐδεῖτο μένειν. οὐκ οἰόμενος οἱ καλῶς ἔχειν, ἐμὲ ἄγγελον αὐτὸν τῶν τοιούτων ἐλθεῖν ὅτι τάχος. οὐ πείθων δὲ αὐτός μοι πομπὴν παρασκευάσειν ἔφη. ἐγὼ γὰρ ἐν τοῖς ἀποστόλοις πλοίοις ἐμβὰς διενοούμην πλεῖν τεθυμωμένος, πάσχειν τε οἰόμενος δεῖν, εἰ διακωλυοίμην ὁτιοῦν. ἐπειδὴ περιφανῶς ἠδίκουν μὲν οὐδὲν, ἠδικούμην δέ. ὁ δὲ οὐδέν με τοῦ καταμένειν προσιέμενον ὁρῶν μηχανὴν τοῦ μεῖναι τὸν τότε ἔκπλουν, μηχανᾶται τοιάνδε τινά. τῇ μετὰ ταῦτα ἐλθὼν ἡμέρᾳ λέγει πρός με πιθανὸν λόγον. ἐμοὶ καὶ σοὶ, δίων ἔφη, τὰ δίωνος, ἐκποδὼν ἀπαλλα

χρῆναι τοῦ περὶ αὐτὰ πολλάκις διαφέρεσθαι. τῇδ' οὖν δὴ διὰ σὲ ἔφη Δίωνι τάδε. ἀξιῶ ἐκεῖνον ἀπολαβόντα τὰ ἑαυτοῦ, οἰκεῖν μὲν ἐν Πελοποννήσῳ. μὴ ὡς φυγάδα δὲ, ἀλλ' ὡς αὐτῷ καὶ δεῦρο ἐξὸν ἀποδημεῖν, ὅταν ἐκείνῳ τε καὶ ἐμοὶ καὶ ὑμῖν τοῖς φίλοις κοινῇ ξυνδοκῇ. τοῦτο δ' εἶναι μὴ ἐπιβουλεύοντος ἐμοί. τούτων δ' ἐγγυητὰς γίγνεσθαι σέ τε, καὶ τοὺς σοὺς οἰκείους, καὶ τοὺς ἐνθάδε Δίωνος. ὑμῖν δὲ τὸ βέβαιον ἐκεῖνος παρεχέτω. τὰ χρήματα δὲ ἃ ἂν λάβῃ, κατὰ Πελοπόννησον μὲν καὶ Ἀθήνας κείσθω, παρ' οἷστισιν ἂν ὑμῖν δοκῇ. καρπούσθω δὲ Δίων, μὴ κύριος δὲ αὐτὸς ὑμῶν γιγνέσθω ἀνελέσθαι. ἐγὼ γὰρ ἐκείνῳ μὲν οὐ σφόδρα πιστεύω τούτοις χρώμενον ἂν τοῖς χρήμασι, δίκαιον γίγνεσθαι περὶ ἐμέ. οὐ γὰρ ὀλίγα ἔσται. σοὶ δὲ καὶ τοῖς σοῖς, μᾶλλον πεπίστευκα. ὅρα δὴ ταῦτα εἴ σοι ἀρέσκει, καὶ μένε ἐπὶ τούτοις τὸν ἐνιαυτὸν τοῦτον. εἰς δὲ ὥρας, ἄπιθι λαβὼν τὰ χρήματα ταῦτα. καὶ Δίων εὖ οἶδ' ὅτι πολλὴν χάριν ἕξει σοι, διαπραξαμένῳ ταῦτα ὑπὲρ ἐκείνου. τοῦτον δὴ ἐγὼ τὸν λόγον ἀκούσας, ἐδυσχέραινον μέν. ὅμως δὲ βουλευσάμενος ἔφην εἰς τὴν ὑστεραίαν αὐτῷ περὶ τούτων τὰ δόξαντα ἀπαγγελεῖν. ταῦτα ξυνεθέμεθα τότε. ἐβουλευόμην δὴ τὸ μετὰ ταῦτα κατ' ἐμαυτὸν γενόμενος μάλα συγκεχυμένος. πρῶτος δ' ἦν μοι τῆς βουλῆς ἡγούμενος, ὅδε ὁ λόγος. φέρε εἰ διανοεῖται τούτων μηδὲν ποιεῖν Διονύσιος ὧν φησιν, ἀπελθόντος δ' ἐμοῦ ἐὰν ἐπιστέλλῃ Δίωνι πιθανῶς αὐτός τε, καὶ ἄλλους πολλοὺς τῶν αὐτοῦ διακελευόμενος ἃ νῦν πρὸς ἐμὲ λέγει. ὡς αὐτοῦ μὲν ἐθέλοντος ἐμοῦ δ' οὐκ ἐθελήσαντος ἃ προυκαλεῖτο με δρᾶν, ἀλλ' ὀλιγωρήσαντος τῶν ἐκείνου τὸ παράπαν πραγμάτων. πρὸς δὲ καὶ τούτοισιν ἔτι, μὴ δὲ θέλῃ με ἐκπέμπειν αὐτὸς

τῶν

τῶν γὰρ μαχαιροφόρων μηδενὶ προστάττων ἐνδείξηται ἢ πᾶσι ῥᾳδίως
ὡς ἀβουλῶν ἐμὲ ἐκπλεῖν, ἆρά τις ἐθελήσει με ἄγειν ναύτης ὁρμώ-
μενον ἐκ τῆς Διονυσίου οἰκίας· ᾤκουν γὰρ δὴ τοῖς ἄλλοις κακοῖς
ἐν τῷ κήπῳ τῷ περὶ τὴν οἰκίαν· ὅθεν οὐδ᾽ ἂν ὁ θυρωρὸς ἤθελέ
με ἀφεῖναι, μὴ πεμφθείσης αὐτῷ τινος ἐντολῆς παρὰ Διονυσίου. ἂν
δὲ μείνω τὸν ἐνιαυτόν, ἕξω μὲν Δίωνι ταῦτα ἐπιστέλλειν, ἐν οἷς
εἰμί, καὶ ἃ πράττω· καὶ ἐὰν μὲν δὴ ποιῇ τι Διονύσιος ὧν φησιν,
οὐ παντάπασιν ἔσται μοι καταγελάστως πεπραγμένα· τάλαντα
γὰρ ἴσως ὄζιν οὐκ ἔλαττον ἂν ἐκτιμᾷ τις ὀρθῶς ἑκατόν, ἡ Δίωνος
οὐσία· ἂν δ᾽ οὖν γένηται τὰ νῦν ἀπεμφαίνοντα, οἷα εἰκὸς αὐτὰ γί-
γνεσθαι· ἀπορῶ μὲν ὅτι χρήσομαι ἐμαυτῷ· ὅμως δέ, ἀναγκαῖον ἴ-
σως ἐνιαυτὸν ἔτι ἐπιπονῆσαι, καὶ ἔργοις ἐλέγξαι πειρᾶσθαι, τὰς Δι-
ονυσίου μηχανάς. ταῦτά μοι δόξαντα, εἰς τὴν ὑστεραίαν εἶπον πρὸς
Διονύσιον ὅτι δέδοκταί μοι μένειν· ἀξιῶ μὴν ἔφην, μὴ κύριόν ἡ-
γεῖσθαί σε Δίωνος ἐμέ· πέμπειν δὲ μετ᾽ ἐμοῦ σε παρ᾽ αὐτὸν γράμ-
ματα τὰ νῦν δεδογμένα δηλοῦντα· καὶ ἐρωτᾶν εἴτε ἀρκεῖ ταῦτα
αὐτῷ· καὶ εἰ μὴ βούλεται ἢ ἄλλ᾽ ἄττα καὶ ἀξιοῖ, καὶ ταῦτα ἐπιστέλλειν
ὅτι τάχιστα· σὲ δή, νεωτερίζειν μηδὲν πω τῶν περὶ ἐκείνου. ταῦτ᾽ ἐρρήθη
ταῦτα ξυνωμολογήσαμεν ὡς νῦν εἴρηται σχεδόν· ἐξέπλευσε δὴ τὰ πλοῖα
μετὰ τοῦτο, καὶ οὐκέτι μοι δυνατὸν ἦν πλεῖν· ὅτι δή μοι καὶ Δι-
ονύσιος ἐμνήσθη λέγων· ὅτι τὴν ἡμίσειαν τῆς οὐσίας εἶναι δέοι Δίωνος·
τὴν δ᾽ ἡμίσειαν τοῦ υἱέος· ἔφη δὴ πωλήσειν αὐτήν· πραθείσης δέ, τὰ
μὲν ἡμίσεα ἐμοὶ δώσειν ἄγειν· τὰ δ᾽ ἡμίσεα τῷ παιδὶ καταλεί-
ψειν αὐτοῦ· τὸ γὰρ δὴ δικαιότατον οὕτως ἔχειν. πληγεὶς δ᾽ ἐγὼ τῷ λεχθέντι

πάνυ μοι ὤμην γελοῖον εἶναι ὅτι λέγειν ἔτι. ὅμως δ' εἶπον, ὅτι χρὴ τὴν παρὰ δίωνος ἐπιστολὴν, περιμένειν ἡμᾶς. ἢ ταῦτα πάλιν αὐτὰ ἐπιστέλλειν. ὁ δὲ, ἑξῆς τούτοις, πάνυ νεανικῶς ἐπώλει τὴν οὐσίαν αὐτοῦ πᾶσαν, ὅπῃτε καὶ ὅπως ἤθελε καὶ οἷστισι. πρὸς ἐμὲ δὲ, οὐδὲν ὅλως ἐφθέγγετο περὶ αὐτῶν. καὶ μὴν ὡσαύτως ἐγὼ πρὸς ἐκεῖνον αὖ, περὶ τῶν δίωνος πραγμάτων, οὐδὲν ἔτι διελεγόμην. οὐδὲν γὰρ ἔτι πλέον ᾤμην ποιεῖν. μέχρι μὲν δὴ τούτων ταύτῃ μοι βεβοηθημένον ἐγεγόνει φιλοσοφίᾳ καὶ φίλοις. τὸ δὲ μετὰ ταῦτα ἐζῶμεν ἐγὼ καὶ διονύσιος, ἐγὼ μὲν, βλέπων ἔξω. καθάπερ ὄρνις, ποθῶν ποθὲν ἀναπτέσθαι. ὁ δὲ, διαμηχανώμενος, τίνα τρόπον ἀνασοβήσοι με, μηδὲν ἀποδοὺς τῶν δίωνος. ὅμως δὲ ἔφαμεν ἑταῖροι εἶναι πρὸς πᾶσαν σικελίαν. τῶν δὴ μισθοφόρων τοὺς πρεσβυτέρους, διονύσιος ἐπεχείρησεν ὀλιγομισθοτέρους ποιεῖν, παρὰ τὰ τοῦ πατρὸς ἔθη. θυμωθέντες δὲ οἱ στρατιῶται ξυνελέγησαν ἀθρόοι, καὶ οὐκ ἔφασαν ἐπιτρέψειν. ὁ δὲ ἐπεχείρει βιάζεσθαι, κλείσας τὰς τῆς ἀκροπόλεως πύλας. οἱ δὲ φέρονται εὐθὺς πρὸς τὰ τείχη, παιῶνά τινα βοήσαντες βάρβαρον καὶ πολεμικόν. οὗ δὴ περιδεὴς διονύσιος γενόμενος, ἅπαντα συνεχώρησε, καὶ ἔτι πλείω τοῖς τότε συλλεχθεῖσι τῶν πελταστῶν. λόγος δή τις ταχὺ διῆλθεν, ὡς ἡρακλείδης αἴτιος εἴη γεγονὼς πάντων τούτων. ὃν ἀκούσας, ὁ μὲν ἡρακλείδης, ἐκποδὼν αὑτὸν ἔχων ἀφανὴς ἦν. διονύσιος δὲ ἐζήτει λαβεῖν. ἀπορῶν δὲ θεοδότην μεταπεμψάμενος εἰς τὸν κῆπον, ἔτυχον δ' ἐν τῷ κήπῳ καὶ ἐγὼ τότε περιπατῶν. τὰ μὲν οὖν ἄλλα οὔτ' οἶδα οὔτ' ἤκουον διαλεγομένων. ἃ δὲ ἐναντίον εἶπε θεοδότης ἐμοῦ πρὸς διονύσιον, οἶδά τε καὶ μέμνημαι. πλάτων γὰρ ἔφη διονύσιον ἐγὼ πείθω τόνδε, ἐὰν ἐγὼ γένωμαι δεῦρο ἡρακλείδην κομίσαι δυνατὸς ἡμῖν εἰς λόγους περὶ τῶν ἐγκλη-

μάτων

μάτων αὐτῷ τῶν νῦν γεγονότων. ἂν ἄρα μὴ δόξῃ δίωνι αὐτὸν οἰκεῖν ἐν σικελίᾳ, τόν τε υἱὸν λαβόντα καὶ τὴν γυναῖκα, ἀξιῶ εἰς πελοπόννησον ἀποπλεῖν, οἰκεῖν τε, βλάπτοντα μηδὲν διονύσιον ἐκεῖ. καρπούμενον δὲ τὰ ἑαυτοῦ. μετεπεμψάμην μὲν οὖν, καὶ πρότερον αὐτόν. μεταπέμψομαι δὲ καὶ νῦν. ἄν τ' οὖν ἀπὸ τῆς προτέρας μεταπομπῆς ἄν τε καὶ ἀπὸ τῆς νῦν ὑπακούσῃ μοι. διονύσιον δὲ ἀξιῶ καὶ δέομαι. ἄν τις ἐντυγχάνῃ ἡρακλείδῃ ἐάν τ' ἐν ἀγροῖς ἐάν τε ἐνθάδε, μηδὲν ἄλλο αὐτῷ φλαῦρον γίνεσθαι. μεθίστασθαι δὲ ἐκ τῆς χώρας ὡς ἂν ἄλλο τι διονυσίῳ δόξῃ. ταῦτα ἔφη συγχωρεῖς, λέγων πρὸς τὸν διονύσιον; συγχωρῶ μηδ' ἂν πρὸς τῇ σῇ ἔφη φανῇ οἰκίᾳ πείσεσθαι φλαῦρον μηδὲν παρὰ τὰ νῦν εἰρημένα. τῇ δὴ μετὰ ταύτην τὴν ἡμέραν δείλης, εὐρύβιος καὶ θεοδότης, προσηλθέτην μοι σπουδῇ τεθορυβημένω θαυμαστῶς. καὶ ὁ θεοδότης, λέγει. πλάτων ἔφη, παρῆσθα χθὲς οἷς περὶ ἡρακλείδου διονύσιος ὡμολόγει πρὸς ἐμὲ καὶ σέ. πῶς δὲ οὐκ ἔφην. νῦν τοίνυν ἦ δ' ὅς, περιθέουσι πελτασταί, λαβεῖν ἡρακλείδην ζητοῦντες. ὁ δ' ἐνθάδε πῃ ταύτῃ κινδυνεύει. ἀλλ' ἡμῖν ἔφη συνακολούθησον πρὸς διονύσιον, ἁπάσῃ μηχανῇ. ᾠχόμεθα οὖν, καὶ εἰσήλθομεν παρ' αὐτόν. καὶ τὼ μὲν ἑστάτην σιγῇ δακρύοντε. ἐγὼ δὲ εἶπον. οἵδε πεφόβηνται, μή τι σὺ παρὰ τὰ χθὲς ὡμολογημένα ποιήσῃς περὶ ἡρακλείδην νεώτερον. δοκεῖ γάρ μοι ταύτῃ πῃ τετραμμένος φανερὸς, ἀποτετραμμένος. ὁ δὲ ἀκούσας, ἀνεφλέχθη τε, καὶ παντοδαπὰ χρώματα ἧκεν, οἷα ἂν θυμούμενος ἀφείη. προσπεσὼν δ' αὐτῷ ὁ θεοδότης, λαβόμενος τῆς χειρὸς, ἐδάκρυσέ τε καὶ ἱκέτευε, μηδὲν τοιοῦτον ποιεῖν. ὑπολαβὼν δ' ἐγὼ παραμυθούμενος, θάρρει θεοδότα ἔφην. οὐ γὰρ τολμήσει διονύσιος παρὰ τὰ χθὲς ὡμολογημένα, ἄλλα ποτὲ δρᾶν. καὶ ὃς ἐμβλέ-

ψας μοι καὶ μάλα τυραννικῶς, οὐ, ἔφην ἐγὼ, οὔτε τι σμικρὸν οὔτε
μέγα ὡμολόγησα. νὴ τοὺς θεοὺς ἦν δ' ἐγὼ, σύ γε ταῦτα ἅ σου νῦν
οὗτος δεῖται ποιεῖν. καὶ εἰπὼν ταῦτα, ἀποστρεφόμενος ᾤ-
χετο ἔξω. τὸ μετὰ ταῦτα ὁ μὲν ἐκυνήγει τὸν ἡρακλείδην.
θεοδότης δὲ ἀγγέλους πέμπων ἡρακλείδῃ, φεύγειν διεκε-
λεύετο. ὁ δὲ, ἐκπέμψας τισίαν καὶ πελταστὰς διώκειν ἐκέ-
λευε. φθάνει δὲ ὡς ἐλέγετο ἡρακλείδης, εἰς τὴν καρχηδονίων ἐπι-
κράτειαν ἐκφυγὼν ἡμέρας σμικρῷ τινι μέρει. τὸ δὴ μετὰ τοῦ-
το, ἡ πάλαι ἐπιβουλὴ διονυσίῳ τοῦ μὴ ἀποδοῦναι τὰ δίωνος χρή-
ματα, ἔδοξεν ἔχθρας λόγον ἔχειν ἂν πρός με πιθανόν. καὶ πρῶτον
μὲν ἐκ τῆς ἀκροπόλεως ἐκπέμπει με, εὑρὼν πρόφασιν. ὡς τὰς
γυναῖκας ἐν τῷ κήπῳ ἐν ᾧ κατῴκουν ἐγὼ, δέοι θῦσαι θυσίαν τινὰ
δεχήμερον. ἔξω δή με παρ' ἀρχιδήμῳ προσέταττε τὸν χρόνον τοῦ-
τον μεῖναι. ὄντος δέ μου ἐκεῖ θεοδότης μεταπεμψάμενος με, πολ-
λὰ περὶ τῶν τότε πραχθέντων ἠγανάκτει, καὶ ἐμέμφετο διονυσίῳ.
ὁ δ' ἀκούσας ὅτι παρὰ θεοδότην εἴην εἰσεληλυθὼς, πρόφασιν αὖ
ταύτην ἄλλην τῆς πρὸς ἐμὲ διαφορᾶς ποιούμενος ἀδελφὴν
τῆς πρόσθεν, πέμψας τινὰ ἠρώτα με, εἰ ξυγγίνοιμην ὄντως μετα-
πεμψαμένου με θεοδότου. κἀγὼ παντάπασιν ἔφην. ὁ δὲ ἐκέλευε
τοίνυν ἔφη σοι φράζειν, ὅτι καλῶς οὐδαμῇ ποιεῖς, δίωνα, καὶ τοὺς
δίωνος φίλους, ἀεὶ περὶ πλείονος αὐτοῦ ποιούμενος. ταῦτ' ἐρρή-
θη. καὶ οὐκέτι μετεπέμψατό με εἰς τὴν οἴκησιν πάλιν. ὡς ἤδη σα-
φῶς θεοδότου μὲν ὄντος μου καὶ ἡρακλείδου φίλου, καὶ τοῦ δ' ἐχθροῦ.
καὶ οὐκέτ' εὐνοεῖν ᾤετό με, ὅτι δίωνι τὰ χρήματα ἔρρει παντελῶς.
ᾤκουν δὴ τὸ μετὰ τοῦτο ἔξω τῆς ἀκροπόλεως ἐν τοῖς μισθοφόροις

προσιόντες

προσιόντες δέ μοι, ἄλλοι τε καὶ οἱ τῶν ὑπηρεσιῶν ὄντες ἀθήνηθεν ἐμοὶ
πολῖται, ἀπήγγελλον ὅτι διαβεβλημένος εἴην ἐν τοῖς πελτασταῖς,
καί μοι τινὲς ἀπειλοῖεν, εἴ που λήψοιντό με διαφθερεῖν, μηχανῶμαι
δή τινα, τοιάνδε σωτηρίαν. πέμπω παρ' ἀρχύτην καὶ τοὺς ἄλλους
φίλους εἰς τάραντα, φράζων ἐν οἷς ὢν τυγχάνω. οἱ δὲ, πρόφασίν τι-
να πρεσβείας ποιησάμενοι παρὰ τῆς πόλεως, πέμπουσι τριακόν-
τορόν τε καὶ λαμίσκον αὐτῶν ἕνα. ὃς ἐλθὼν, ἐδεῖτο διονυσίου περὶ
ἐμοῦ λέγων ὅτι βουλοίμην ἀπιέναι, καὶ μηδαμῶς ἄλλως ποιεῖν. ὁ δὲ,
ξυνωμολόγησε καὶ ἀπέπεμψεν ἐφόδια δούς. τῶν δίωνος δὲ χρη-
μάτων, οὔτ' ἐγώ τι ἀπῄτουν οὔτε τις ἀπέδωκεν. ἐλθὼν δὲ εἰς πελο-
πόννησον, εἰς ὀλυμπίαν δίωνα καταλαβὼν θεωροῦντα, ἤγγελον τὰ
γεγονότα. ὁ δὲ τὸν δία ἐπιμαρτυράμενος, εὐθὺς παρήγγελλεν
ἐμοὶ καὶ τοῖς ἐμοῖς οἰκείοις καὶ φίλοις, παρασκευάζεσθαι τιμωρεῖ-
σθαι διονύσιον. ἡμῶν μὲν ξεναπατίας χάριν, οὕτω γὰρ ἔλεγέ τε καὶ
ἐνόει. αὑτοῦ δὲ ἐκβολῆς ἀδίκου καὶ φυγῆς. ἀκούσας δὲ ἐγὼ τοὺς
μὲν φίλους παρακαλεῖν ἐκέλευον εἰ βούλοιντο. ἐμὲ δὲ ἐᾶν
ὅτι σὺ μετὰ τῶν ἄλλων βίᾳ τινὰ τρόπον σύσσιτον καὶ συνέ-
στιον καὶ κοινωνὸν ἱερῶν διονυσίῳ ἐποίησας, ὃς ἴσως ᾤετο δια-
βαλλόντων πολλῶν ἐπιβουλεύειν ἐμὲ μετὰ σοῦ ἑαυτῷ καὶ τῇ
τυραννίδι. καὶ ὅμως οὐκ ἀπέκτεινεν, ᾐδέσθη δέ. οὔτ' οὖν ἡλικίαν ἔχω
συμπολεμεῖν ἔτι σχεδὸν οὐδενί. κοινός τε ὑμῖν εἰμί. ἄν ποτέ τι πρὸς
ἀλλήλους δεηθέντες φιλίας ἀγαθόν τι ποιεῖν βουληθῆτε. κακὰ
δὲ ἕως ἂν ἐπιθυμῆτε, ἄλλους παρακαλεῖτε. ταῦτα εἶπον, μισή-
σας τὴν περὶ σικελίαν πλάνην καὶ ἀτυχίαν. ἀπειθοῦντες δὲ καὶ οὐ πειθό-
μενοι ταῖς ὑπ' ἐμοῦ διαλλάξεσι, πάντων τῶν νῦν γεγονότων κακῶν αὐτοὶ

αἴτιοι ἐγένοντο αὐτοῖς. ὧν εἰ Διονύσιος ἀπέδωκε τὰ χρήματα Δίωνι.
ἢ καὶ πάντως κατήλλαξεν, οὐκ ἄν ποτε ἐγένετο οὐδέν. ὅσα γε δὴ
τἀνθρώπινα. Δίωνα δ᾽ ἐγὼ καὶ τῷ βούλεσθαι, καὶ τῷ δύνασθαι, κατεῖ-
χον ἂν ῥᾳδίως. νῦν δ᾽ ὁρμήσαντες ἐπ᾽ ἀλλήλους, κακῶν πάντα
ἐμπεπλήκασι. καίτοι τήν γ᾽ αὐτὴν Δίων εἶχε βούλησιν, ἥνπερ ἂν
ἐγὼ φαίην δεῖν ἐμέ. καὶ ἄλλον ὅστις μέτριος, περί τε τῆς αὑτοῦ
δυνάμεως καὶ φίλων καὶ περὶ πόλεως τῆς αὑτοῦ διανοοῖτ᾽ ἂν εὐεργε-
τῶν τὴν δύναμιν καὶ τιμαῖς γίγνεσθαι τοῦ μεγίστου ἐν τοῖς μεγίστοις. ἔστι
δὲ οὐκ ἄν τις πλούσιον ἑαυτὸν ποιήσῃ καὶ ἑταίρους καὶ πόλιν ἐπιβου-
λεύσας, καὶ ξυνωμότας συναγαγὼν πένης ὤν. καὶ ἑαυτοῦ μὴ κρα-
τῶν ὑπὸ δειλίας τῆς πρὸς τὰς ἡδονὰς ἀνάνδρου. ἔπειτα τοὺς
τὰς οὐσίας κεκτημένους ἀποκτείνας ἐχθροὺς καλῶν τούτους, δια-
φορῇ τὰ τούτων χρήματα καὶ τοῖς συνεργοῖς τε καὶ ἑταίροις παρακε-
λεύηται ὅπως μηδεὶς αὐτῷ ἐγκαλῇ πένης φάσκων εἶναι. ταὐ-
τὸν δὲ καὶ τὴν πόλιν ἂν οὕτω τις εὐεργετῶν, τιμᾶται ὑπ᾽ αὐτῆς, τοῖς
πολλοῖς τὰ τῶν ὀλίγων ὑπὸ ψηφισμάτων διανέμων. ἢ μεγάλης
προεστὼς πόλεως καὶ πολλῶν ἀρχούσης ἐλαττόνων, τῇ ἑαυτοῦ πόλει
τὰ τῶν σμικροτέρων χρήματα διανέμῃ κατὰ τὸ δίκαιον. οὕτω μὲν γὰρ οὔτε
Δίων οὔτε ἄλλος οὐδεὶς, ἐπὶ δύναμιν ἑκὼν εἶσιν ἀλιτήριον ἑαυ-
τῷ καὶ γένει, εἰς τὸν αἰεὶ χρόνον. ἐπὶ πολιτείαν δὲ καὶ νόμων κατα-
σκευὴν τῶν δικαιοτάτων τε καὶ ἀρίστων, οὔτι δι᾽ ὀλιγίστων θανά-
των καὶ φυγῶν γιγνομένην. ἃ δὴ Δίων νῦν πράττων προτιμήσας τὸ πά-
σχειν ἀνόσια τοῦ δρᾶσαι πρότερον. διευλαβούμενος δὲ μὴ παθεῖν,
ὅμως δ᾽ ἔπταισεν, ἐπ᾽ ἄκρον ἐλθὼν τοῦ περιγενέσθαι τῶν ἐχθρῶν. θαυμαστὸν παθὼν
οὐδέν. ὅσιος γὰρ ἄνθρωπος ἀνοσίων πέρι, σώφρων τε καὶ ἔμφρων τὸ μὲν ὅλον,
οὐκ ἄν ποτε διαψευσθείη τῆς ψυχῆς τῶν τοιούτων πέρι. κυβερνήτου δ᾽ ἀγαθοῦ
πάθος

πάθος ἂν ἴσως οὐ θαυμαστὸν ἐπιπάθοι. ὃν χειμὼν μὲν ἐσόμενος, οὐκ ἂν πάνυ λάθοι. χειμώνων δὲ ἐξαίσιον καὶ ἀπροσδόκητον μέγεθος, λάθοιτ' ἄν. καὶ λαθὸν κατακλύσειε βίᾳ. ταὐτὸν δὴ καὶ δίωνα ἔσφηλε δι' ὀλιγίστων. κακοὶ μὲν γὰρ ὄντες αὐτὸν σφόδρα οὐκ ἔλαθον οἱ σφήλαντες. ὅσον δὲ ὕψος ἀμαθίας εἶχον, καὶ τῆς ἄλλης μοχθηρίας τε καὶ λαιμαργίας ἔλαθον. ᾧ δὴ σφαλεὶς κεῖται. σικελίαν πένθει περιβαλὼν μυρίῳ. τὰ δὴ μετὰ τὰ νῦν ῥηθέντα ἃ ξυμβουλεύω σχεδὸν εἴρηταί μοι καὶ εἰρήσθω. ὧν δὲ ἐπανέλαβον ἕνεκα τὴν εἰς σικελίαν ἄφιξιν τὴν δευτέραν, ἀναγκαῖον εἶναι ἔδοξέ μοι ῥηθῆναι δεῖν, διὰ τὴν ἀτοπίαν καὶ ἀλογίαν τῶν γιγνομένων. εἰ δ' ἄρα τινὶ τὰ νῦν ῥηθέντα εὐλογώτερα ἐφάνη, καὶ προφάσεις πρὸς τὰ γενόμενα ἱκανὰς ἔχειν ἔδοξέ τῳ, μετρίως ἂν ἡμῖν καὶ ἱκανῶς εἴη τὰ νῦν εἰρημένα.

Πλάτων τοῖς δίωνος οἰκείοις τε καὶ ἑταίροις, εὖ πράττειν.

ἃ Δ' ἂν διανοηθέντες μάλιστα εὖ πράττοιτε, ὄντως πειράσομαι ταῦθ' ὑμῖν κατὰ δύναμιν διεξελθεῖν. ἐλπίζω δὲ, οὐχ ὑμῖν μόνοις ξυμβουλεύσειν τὰ συμφέροντα. μάλιστά γε μὴν ὑμῖν. καὶ δευτέροις πᾶσι τοῖς ἐν συρακούσαις. τρίτοις δὲ ὑμῶν καὶ τοῖς ἐχθροῖς καὶ πολεμίοις, πλὴν εἴ τις αὐτῶν ἀνοσιουργὸς γέγονε. ταῦτα γὰρ ἀνίατα, καὶ οὐκ ἄν ποτέ τις αὐτὰ ἐκνίψειε. νοήσατε δὲ, ἃ λέγω νῦν. ἔσθ' ἡμῖν κατὰ σικελίαν πᾶσαν λελυμένης τῆς τυραννίδος, πᾶσα μάχη περὶ αὐτῶν τούτων. τῶν μὲν βουλομένων ἀναλαβεῖν πάλιν τὴν ἀρχήν. τῶν δὲ τῇ τῆς τυραννίδος ἀποφυγῇ τέλος ἐπιθεῖναι. ξυμβουλὴ δὲ περὶ τῶν τοιούτων, ὀρθὴ δοκεῖ ἑκάστοτε τοῖς πολλοῖς εἶναι. ταῦτα ξυμβουλεύειν δεῖν, ἃ τοὺς μὲν πολεμίους, ὡς πλεῖστα κακὰ ἐργάσεται. τοὺς

ἢ φίλτατος, ὡς πλεῖστα ἀγαθά. τὸ δὲ οὐδαμῶς ῥᾴδιον, πολλὰ κακὰ δρῶντα τοὺς ἄλλους, μὴ οὐ καὶ πάσχειν αὐτὸν πολλὰ ἕτερα. δεῖ δὲ οὐ μακρὰν ἐλθόντας ἐστι, τὰ τοιαῦτα ἐναργῶς ἰδεῖν. ἀλλ᾽ ὅσα νῦν γέγονε τῇδε αὐτοῦ περὶ σικελίαν. τῶν μὲν ἐπιχειρούντων δρᾶν, τῶν δὲ ἀμύνασθαι τοὺς δρῶντας ἃ καὶ ἄλλοις μυθολογοῦντες ἱκανοὶ γίγνοισθ᾽ ἂν ἑκάστοτε διδάσκαλοι. τούτων μὲν δὴ σχεδὸν, οὐκ ἀπορία. τῶν δὲ ὅσα γένοιτ᾽ ἂν ἢ πᾶσι συμφέροντα ἐχθροῖς τε καὶ φίλοις, ἢ ὅτι σμικρότατα κακὰ ἀμφοῖν, ταῦτα οὔτε ῥᾴδιον ὁρᾶν, οὔτε ἰδόντα ἐπιτελεῖν. εὐχῇ δὲ προσέοικεν, ἡ τοιαύτη ξυμβουλή τε καὶ ἐπιχείρησις τοῦ λόγου. ἔστω δὴ παντάπασι μὲν, εὐχή τις. ἀπὸ θεῶν γὰρ πάντα ἀρχόμενον, ἀεὶ λέγειν τε καὶ νοεῖν. ἐπιτελὴς δ᾽ εἴη σημαίνουσα ἡμῖν τοιόνδε τινὰ λόγον. νῦν ὑμῖν καὶ τοῖς πολεμίοις σχεδὸν, ἐξ οὗπερ γέγονεν ὁ πόλεμος, συγγένεια ἄρχει μία διὰ τέλους, ἣν ποτε κατέστησαν οἱ πατέρες ὑμῶν, εἰς ἀπορίαν ἐλθόντες τὴν ἅπασαν. τόθ᾽ ὅτε κινδυνώδης ἐγένετο ἔσχατος σικελία τῶν ἑλλήνων, ὑπὸ καρχηδονίων ἀνάστατον ὅλην ἐκβαρβαρωθεῖσαν γενέσθαι. τότε γὰρ εἵλοντο διονύσιον μὲν ὡς νέον καὶ πολεμικὸν, ἐπὶ τὰς τοῦ πολέμου πρεπούσας αὐτῷ πράξεις. σύμβουλον δὲ καὶ πρεσβύτερον ἱππαρῖνον, ἐπὶ σωτηρίᾳ τῆς σικελίας αὐτοκράτορας ὥς φασι τυράννους ἐπονομάζοντες. καὶ εἴτε δὴ θείαν τις ἡγεῖσθαι βούλεται τύχην καὶ θεὸν, εἴτε τὴν τῶν ἀρχόντων ἀρετὴν, εἴτε τὸ ξυναμφότερον, μετὰ τῶν τότε πολιτῶν τῆς σωτηρίας αἰτίαν ξυμβῆναι γενομένην, ἔστω ταύτῃ ὅπῃ τις ὑπολαμβάνει. σωτηρία δ᾽ οὖν, οὕτως συνέβη τοῖς τότε γενομένοις. τοιούτων οὖν αὐτῶν γεγονότων, δίκαιόν που τοῖς σώσασι, πάντας χάριν ἔχειν. εἰ δέ τι τὸν μετέπειτα χρόνον ἡ τυραννὶς οὐκ ὀρθῶς τῇ τῆς πόλεως δωρεᾷ κατακέχρηται, τούτων δίκας τὰς μὲν ἔχει τὰς δ᾽ ἔτι πείσεται. τίνας οὖν δὴ δίκας ἀναγ-

γνησίως ὀρθὰ γιγνώσκοιντ' ἂν ἐκ τῶν ὑπερεχόντων αὐτοῖς. εἰ μὲν ῥᾳδίως
ὑμεῖς ἀποφυγεῖν οἷοί τ' ἦτε αὐτοὺς καὶ ἄλλων μεγάλων κινδύνων καὶ τό
ρων· ἐκεῖνοι ἑλεῖν ὑπὲρ τῆς πόλεως τὴν ἀρχήν, τοῦτ' ἂν συμβουλεύειν οἷον
τὴν τοῦ μέλλοντα ῥηθήσεσθαι. νῦν δ' εἰ τοῦ ὑμῖν ἀμφοτέρους χρεών, καὶ ἀνα
μιμνήσκεσθαι, ὁσάκις ἐν ἐλπίδι ἑκάτεροι γεγόνατε, τοῦ νῦν οἴεσθαι σχε
δὸν ἀεί τινος σμικροῦ ἐνδεεῖς εἶναι τοῦ μὴ πάντα κατὰ νοῦν πράττειν.
καὶ δὴ καὶ ὅτι τὸ σμικρὸν τοῦτο, μεγάλων καὶ μυρίων κακῶν αἴτιον ἑκάστοτε ξυμ
βαίνει γιγνόμενον, καὶ πέρας οὐδέποτε τελεῖται. ξυνάπτει ἡ ἀεὶ παλαιὰ
τελευτὴ δοκοῦσα, ἀρχῇ φυομένῃ νέᾳ. διολεῖσθαι δ' ὑπὸ τοῦ κύκλου τού
του κινδυνεύσει καὶ τὸ τυραννικὸν ἅπαν καὶ τὸ δημοτικὸν γένος. ἥξει δ'
ἐάν πως τῶν εἰκότων γένηταί τι καὶ ἀπευκτῶν, σχεδὸν εἰς ἐρημίαν τῆς ἑλ
ληνικῆς φωνῆς Σικελία πᾶσα, Φοινίκων ἢ Ὀπικῶν μεταβαλοῦ
σα εἴς τινα δυναστείαν καὶ κράτος. τούτων δὴ χρὴ πάσῃ προθυμίᾳ
πάντας τοὺς ἕλληνας τέμνειν φάρμακον. εἰ μὲν δή τις ὀρθότερον ἄμεινον
ἔχει τοῦ ὑπ' ἐμοῦ ῥηθησομένου, ἐνεγκὼν εἰς τὸ μέσον, ὀρθότατα φι-
λέλλην ἂν λέγοιτο. ὃ δέ μοι φαίνεταί πῃ, ταύτῃ νῦν ἐγὼ πειράσομαι πά
σῃ παρρησίᾳ καὶ κοινῷ τινι δικαίῳ λόγῳ χρώμενος, ὡς δυοῖν τυραννεύ-
σαντί τε καὶ τυραννευθέντι, ὡς ἑνὶ ἑκατέρῳ παλαιὰν ἐμὴν ξυμβου
λήν. καὶ νῦν γε ὁ ἐμὸς λόγος ἂν εἴη ξυμβουλὴ τυράννῳ παντί. φεύγειν
μὲν τοὔνομά τε καὶ τοὖργον τοῦτο. εἰς βασιλείαν δὲ, εἰ δυνατὸν εἴη μεταβα
λεῖν. δυνατὸν δὲ, ὡς ἔδειξεν ἔργῳ σοφὸς ἀνὴρ καὶ ἀγαθὸς Λυκοῦργος. ὃς ἰδὼν
τὸ τῶν οἰκείων γένος ἐν Ἄργει καὶ Μεσσήνῃ, ἐκ βασιλέων εἰς τυραννικὴν δύναμιν
ἀφικομένους, καὶ διαφθείραντας ἑαυτούς τε καὶ τὴν πόλιν ἑκατέρους ἑκα
τέραν, δείσας περὶ τῆς αὑτοῦ πόλεως ἅμα καὶ γένους, φάρμακον ἐπήνεγκε τὴν
τῶν γερόντων ἀρχὴν, καὶ τὸν τῶν ἐφόρων δεσμὸν, τῆς βασιλικῆς ἀρχῆς σωτήριον, ὥς
τε γενεὰς τοσαύτας ἤδη μετὰ κλέους σώζεσθαι. νόμος ἐπειδὴ κύριος ἐγένετο βα
σιλεὺς τῶν ἀνθρώπων, ἀλλ' οὐκ ἄνθρωποι τύραννοι νόμων, ὃ δὴ καὶ νῦν ἐμὸς λόγος

πᾶσι παρακελεύεται· τοῖς μὲν τυραννίδος ἐφιεμένοις, ἀποτρέπεσθαι καὶ φεύγειν φυγῇ ἀπλήστῳ· πεινώντων εὐδαιμόνισμα ἀνθρώπων καὶ ἀνοήτων· εἰς βασιλέως δ᾽ εἶδος, πειρᾶσθαι μεταβάλλειν, καὶ δουλεῦσαι νόμοις βασιλικοῖς· τὰς μεγίστας τιμὰς κεκτημένους, παρ᾽ ἑκόντων τῶν τε ἀνθρώπων καὶ τῶν νόμων· τοῖς δὲ δὴ ἐλεύθερα διώκουσιν ἤθη καὶ φεύγουσι τὸν δούλειον ζυγὸν ὡς ὂν κακόν, εὐλαβεῖσθαι ξυμβουλεύοιμ᾽ ἂν, μήποτε ἀπληστίᾳ ἐλευθερίας ἀκαίρου τινὸς, εἰς τὸ τῶν προγόνων νόσημα ἐμπέσωσιν· ὃ διὰ τὴν ἄγαν ἀναρχίαν οἱ τότε ἔπαθον, ἀμέτρῳ ἐλευθερίας χρώμενοι ἔρωτι· οἱ γὰρ πρὸ Διονυσίου καὶ Ἱππαρίνου ἄρξαντες Σικελιῶται· τότε ὡς ᾤοντο, εὐδαιμόνως ἔζων τρυφῶντές τε καὶ ἅμα ἀρχόντων ἄρχοντες, οἳ καὶ τοὺς δέκα στρατηγοὺς κατέλευσαν βάλλοντες τοὺς πρὸ Διονυσίου, κατὰ νόμον οὐδένα κρίναντες, ἵνα δὴ δουλεύοιεν μηδενί· μήτε σὺν δίκῃ· μήτε νόμῳ δεσπότῃ· ἐλεύθεροι δ᾽ εἶεν πάντῃ πάντως· ὅθεν αἱ τυραννίδες ἐγένοντο αὐτοῖς· δουλεία γὰρ καὶ ἐλευθερία ὑπερβάλλουσα μὲν ἑκατέρα, πάγκακον· ἔμμετρος δ᾽ οὖσα, πανάγαθον· μετρία δὲ ἡ θεῷ δουλεία, ἄμετρος δέ, ἡ τοῖς ἀνθρώποις· θεὸς δὲ ἀνθρώποις σώφροσι, νόμος· ἄφροσι δὲ ἡδονή· τούτων δὴ ταύτῃ πεφυκότων, ἃ ξυμβουλεύω Συρακοσίοις πᾶσι φράζειν παρακελεύομαι τοῖς Δίωνος φίλοις, ἐκείνου καὶ ἐμὴν κοινὴν ξυμβουλήν· ἐγὼ δ᾽ ἑρμηνεύσω ἃ ἐκεῖνος ἔμπνους ὢν καὶ δυνάμενος εἶπε νῦν πρὸς ὑμᾶς· τίν᾽ οὖν δή ποτ᾽ ἂν εἴποι λόγον ἀποφαίνεται ἡμῖν περὶ τῶν παρόντων, ἡ Δίωνος ξυμβουλὴ τόνδε· δέξασθε ὦ Συρακόσιοι πάντων πρῶτον, νόμους οἵτινες ἂν ὑμῖν φαίνωνται, μὴ πρὸς χρηματισμὸν καὶ πλοῦτον τρέψοντες τὰς γνώμας ὑμῶν, μετ᾽ ἐπιθυμίας· ἀλλ᾽ ὄντων τριῶν, ψυχῆς καὶ σώματος ἔτι δὲ χρημά-

των-

τῶν, πρώτην μὲν τὴν τῆς ψυχῆς ἐπιμέλειαν ἔχειν δεῖ δευ-
τέραν δὲ τὴν τοῦ σώματος, ὑπὸ τῇ τῆς ψυχῆς κειμένην. τρί-
την δὲ καὶ ὑστάτην, τὴν τῶν χρημάτων τιμὴν, δουλεύουσαν τῷ
σώματί τε καὶ τῇ ψυχῇ. καὶ ὁ μὲν ταῦτα ἀπεργαζόμενος θεσμὸς,
νόμος ἂν ὀρθῶς ὑμῖν εἴη κείμενος ὄντως εὐδαίμονας ἀποτελῶν
τοὺς χρωμένους· ὁ δὲ τοὺς πλουσίους εὐδαίμονας ὀνομάζων λό-
γος, αὐτός τε ἄθλιος γυναικῶν καὶ παίδων ὢν λόγος ἄνους, τοὺς
πειθομένους τε ἀπεργάζεται τοιούτους. ὅτι δ' ἀληθῆ ταῦτ' ἐγὼ πα-
ρακελεύομαι, ἐὰν γεύσησθε τῶν νῦν λεγομένων περὶ νόμων, ἔρ-
γῳ γνώσεσθε. ἡ δὴ βάσανος ἀληθεστάτη δοκεῖ γίγνεσθαι τῶν πάντων
πέρι. δεξάμενοι δὲ τοὺς τοιούτους νόμους, ἐπειδὴ κατέχει κίνδυ-
νος σικελίαν, καὶ οὔτε κρατεῖτε ἱκανῶς, οὔτ' αὖ διαφερόντως
κρατεῖσθε, δίκαιον ἂν ἴσως καὶ ξυμφέρον γίγνοιτο ὑμῖν πᾶσι μέ-
σον τεμεῖν, τοῖς τε φεύγουσι τῆς ἀρχῆς τὴν χαλεπότητα ὑμῖν, καὶ
τοῖς τῆς ἀρχῆς πάλιν ἐρῶσι τυχεῖν· ὧν οἱ πρόγονοι τότε μέγιστοι,
ἔσωσαν ἀπὸ βαρβάρων τοὺς ἕλληνας, ὥστ' ἐξεῖναι περὶ πολιτείας
νῦν ποιεῖσθαι λόγους· ἐῤῥουσι δὲ τότε, οὔτε λόγος, οὔτ' ἐλπὶς ἐλείπε-
τ' ἂν οὐδαμῇ οὐδαμῶς. νῦν οὖν, τοῖς μὲν ἐλευθερία γιγνέσθω, με-
τὰ βασιλικῆς ἀρχῆς. τοῖς δὲ, ἀρχὴ ὑπεύθυνος βασιλικὴ, δεσπο-
ζόντων νόμων τῶν τε ἄλλων πολιτῶν, καὶ τῶν βασιλέων αὐτῶν, ἄν
τι παράνομον πράττωσιν. ἐπὶ δὲ τούτοις ξύμπασιν, ἀδόλῳ γνώμῃ,
καὶ ὑγιεῖ μετὰ θεῶν βασιλέας στήσασθε. πρῶτον μὲν τὸν ἐμὸν υἱὸν χα-
ρίτων ἕνεκα διττῶν, τῆς τε παρ' ἐμοῦ, καὶ τῆς παρὰ ἐμοῦ πατρός.
ὁ μὲν γὰρ ἀπὸ βαρβάρων ἠλευθέρωσεν ἐν τῷ τότε χρόνῳ τὴν πόλιν.
ἐγὼ δὲ ἀπὸ τυράννων, νῦν δὶς, ὧν αὐτοὶ μάρτυρες ὑμεῖς γεγόνατε.
δεύτερον δὲ δὴ ποιεῖσθε βασιλέα, τὸν τῷ μὲν ἐμῷ πατρὶ ταὐτὸν

κεκτημένον ὄνομα ἤδη ἢ διονυσίου, χάριν τῆς τε νῦν βοηθείας καὶ ὁσίου τρόπου· ὃς γενομένου τυράννου πατρὸς ἑκὼν τὴν πόλιν ἐλευθεροῖ, τιμὴν αὐτῷ καὶ γένει ἀέναον ἀντὶ τυραννίδος ἐφημέρου καὶ ἀδίκου κτώμενος. τρίτον δὲ προκαλεῖσθαι χρὴ βασιλέα γίγνεσθαι συρακουσῶν, ἑκόντα ἑκούσης τῆς πόλεως, τὸν νῦν τοῦ τῶν πολεμίων ἄρχοντα στρατοπέδου· διονύσιον τὸν διονυσίου· ἐὰν ἐθέλῃ ἑκὼν εἰς βασιλέως σχῆμα ἀπαλλάττεσθαι, δεδιὼς μὲν τὰς τύχας, ἐλεῶν δὲ πατρίδα, καὶ ἱερῶν ἀθεραπευσίαν καὶ τάφους μὴ διὰ φιλονεικίαν πάντως πάντα ἀπολέσῃ βαρβάροις ἐπίχαρτος γενόμενος. τρεῖς δ᾽ ὄντας βασιλέας, εἴτε τὴν λακωνικὴν δύναμιν αὐτοῖς δόντες, εἴτε ἀφελόντες καὶ ξυνομολογήσαντες, καταστήσετε τρόπῳ τινὶ τοιῷδε. ὃς εἴρηται μὲν καὶ πρότερον ὑμῖν· ὅμως δ᾽ ἔτι καὶ νῦν ἀκούετε· ἐὰν ἐθέλῃ τὸ γένος ὑμῖν τὸ Διονυσίου τε καὶ ἱππαρίνου ἐπὶ σωτηρίᾳ σικελίας παύσασθαι τῶν νῦν παρόντων κακῶν, τιμὰς αὐτοῖς καὶ γένει λαβόντες, εἰς τὸν ἔπειτα καὶ τὸν νῦν χρόνον ἐπὶ τούτοις καλεῖτε, ὥσπερ καὶ πρότερον ἐρρήθη, πρέσβεις οὓς ἂν ἐθελήσωσι κυρίους ποιησάμενοι τῶν διαλλαγῶν εἴτε τινὰς αὐτόθεν, εἴτε ἔξωθεν, εἴτε ἀμφότερα, καὶ ὁπόσους ἂν συγχωρήσωσι· τούτους δ᾽ ἐλθόντας, νόμους μὲν πρῶτον θεῖναι καὶ πολιτείαν τοιαύτην, ἐν ᾗ βασιλέας ἁρμόττει γίγνεσθαι κυρίους ἱερῶν τε καὶ ὅσων ἄλλων πρέπει τοῖς γενομένοις ποτὲ εὐεργέταις· πολέμου δὲ καὶ εἰρήνης ἄρχοντας, νομοφύλακας ποιήσασθαι ἀριθμὸν τριάκοντα καὶ πέντε, μετά τε δήμου καὶ βουλῆς. δικαστήρια δὲ, ἄλλα μὲν ἄλλων· θανάτου δὲ καὶ φυγῆς, τούς τε πέντε καὶ τριάκοντα ὑπάρχειν. πρὸς τούτοις τε ἐκλεκτοὺς γίγνεσθαι δικαστὰς ἐκ τῶν μὲν ἀεὶ περισινῶν ἀρχόντων· ἕνα ἀφ᾽ ἑκάστης τῆς ἀρχῆς τὸν ἄριστον δόξαντ᾽ εἶναι καὶ δικαιότατον· τούτους δὲ τὸν ἐπιόντα ἐνιαυτὸν δικάζειν ὅσ-

θανάτου καὶ δεσμοῦ καὶ μεταστάσεως τῆς πόλεως. βασιλέα δὲ, τῶν τοιούτων δικῶν μὴ ἐξεῖναι δικαστὴν γίγνεσθαι, καθάπερ ἱερέα φόνου καθαρεύοντα καὶ δεσμοῦ καὶ φυγῆς. ταῦθ' ὑμῖν ἐγὼ καὶ ζῶν διενοήθην γίνεσθαι, καὶ νῦν διανοοῦμαι. καὶ τότε κρατήσας τῶν ἐχθρῶν, μεθ' ὑμῶν εἰ μὴ ξενικαὶ ἐρινύες ἐκώλυσαν, κατέστησα ἂν ᾗπερ καὶ διενοούμην. καὶ μετὰ ταῦτα σικελίαν ἂν τὴν ἄλλην εἴπερ ἔργα ἐπὶ νῷ ἐγίνετο, κατῴκισα. τοὺς μὲν βαρβάρους, οὓς νῦν ἔχει, ἀφελόμενος, ὅσοι μὴ ὑπὲρ τῆς κοινῆς ἐλευθερίας διεπολέμησαν πρὸς τὴν τυραννίδα. τοὺς δὲ ἔμπροσθεν οἰκητὰς τῶν ἑλληνικῶν τόπων, εἰς τὰς ἀρχαίας καὶ πατρῴας οἰκήσεις κατοικίσας. ταυτὰ δὴ ταῦτα καὶ νῦν πᾶσι συμβουλεύω κοινῇ διανοηθῆναι, καὶ πράττειν καὶ παρακαλεῖν ἐπὶ ταύτας τὰς πράξεις πάντας. τὸν μὴ ἐθέλοντα δὲ, πολέμιον ἡγεῖσθαι κοινόν. ἔστι δὲ ταῦτα οὐκ ἀδύνατα. ἃ γὰρ ἐν δυοῖν τε ὄντα ψυχαῖν τυγχάνει, καὶ λογισαμένοις εὑρεῖν βέλτιστα ἑτοίμως ἔχει, ταῦτα δὲ σχεδὸν ὁ κρίνων ἀδύνατα, οὐκ εὖ φρονεῖ. λέγω δὲ τὰς δύο, τήν τε ἱππαρίνου τοῦ διονυσίου υἱέος καὶ τὴν τοῦ ἐμοῦ υἱοῦ. τούτοιν γὰρ ξυνομολογησάντοιν, τοῖς γε ἄλλοις συρακουσίοις οἶμαι πᾶσιν ὅσοι περ τῆς πόλεως κήδονται ξυνδοκεῖν. ἀλλὰ θεοῖς τε πᾶσι τιμὰς μετ' εὐχῶν δόντες, τοῖς τε ἄλλοις ὅσοις μετὰ θεῶν πρέπει, πείθοντες καὶ προκαλούμενοι φίλους καὶ διαφόρους μαλακῶς τε καὶ πάντως, μὴ ἀποστῆτε, πρὶν ἂν τὰ νῦν ὑφ' ἡμῶν λεχθέντα, οἷον ὄνειρ' ἐπιστάντα ἐγρηγορόσιν, ἐναργῆ τε ἐξεργάσησθέ τε λεχθέντα καὶ εὐτυχῆ.

Πλάτων, Ἀρχύτᾳ Ταραντίνῳ εὖ πράττειν.

Ἀφίκοντο πρὸς ἡμᾶς οἱ περὶ ἄρχιππον καὶ φιλωνίδην, τήν τε ἐπιστολὴν φέροντες ἣν σὺ αὐτοῖς ἔδωκας, καὶ ἀπαγγέλλοντες

παρὰ σοῦ· τὰ μὲν οὖν πρὸς τὴν πόλιν οὐ χαλεπῶς διεπράξαντο· καὶ γὰρ οὐδὲ παντελῶς ἦν ἐργώδη· τὰ δὲ παρὰ σοῦ διῆλθεν ἡμῖν, λέγοντες ὑποδυσφορεῖν, ὅτι οὐ δύνασαι τῆς περὶ τὰ κοινὰ ἀσχολίας ἀπολυθῆναι. ὅτι μὲν οὖν ἥδιστόν ἐστιν ἐν τῷ βίῳ τὸ τὰ αὑτοῦ πράττειν, ἄλλως τε καὶ εἴ τις ἕλοιτο τοιαῦτα πράττειν οἷα καὶ σύ, σχεδὸν παντὶ δῆλον. ἀλλὰ κἀκεῖνο δεῖ σε ἐνθυμεῖσθαι. ὅτι ἕκαστος ἡμῶν οὐχ αὑτῷ μόνον γέγονεν. ἀλλὰ τῆς γενέσεως ἡμῶν, τὸ μέν τι, ἡ πατρὶς μερίζεται· τὸ δέ τι, οἱ γεννήσαντες· τὸ δὲ, οἱ λοιποὶ φίλοι. πολλὰ δὲ καὶ τοῖς καιροῖς δίδοται τοῖς τὸν βίον ἡμῶν καταλαμβάνουσι. καλούσης δὲ τῆς πατρίδος αὐτῆς πρὸς τὰ κοινὰ, ἄτοπον ἴσως τὸ μὴ ὑπακούειν, καὶ χώραν καταλιμπάνειν φαύλοις ἀνθρώποις, οἳ οὐκ ἀπὸ τοῦ βελτίστου πρὸς τὰ κοινὰ προσέρχονται. περὶ τούτων μὲν οὖν ἱκανῶς. Ἐχεκράτους δὲ καὶ νῦν ἐπιμέλειαν ἔχομεν, καὶ εἰς τὸν λοιπὸν χρόνον ἕξομεν. καὶ διὰ σὲ, καὶ διὰ τὸν πατέρα αὐτοῦ Φρυνίωνα. καὶ δι᾽ αὐτὸν τὸν νεανίσκον.

## Πλάτων Ἀριστοδώρῳ εὖ πράττειν.

Κούω Δίωνος ἐν τοῖς μάλιστα ἑταῖρον εἶναί τε σε νῦν, καὶ γεγονέναι διὰ παντὸς, τὸ σοφώτατον ἦθος τῶν εἰς φιλοσοφίαν παρεχόμενον. τὸ γὰρ βέβαιον, καὶ πιστὸν, καὶ ὑγιὲς τοῦτο ἐγώ φημι εἶναι τὴν ἀληθινὴν φιλοσοφίαν. τὰς δὲ ἄλλας τε καὶ εἰς ἄλλα τεινούσας σοφίας τε καὶ δεινότητας κομψότητας οἶμαι προσαγορεύων, ὀρθῶς ὀνομάζειν. ἀλλ᾽ ἔρρωσό τε, καὶ μένε ἐν τοῖς ἤθεσιν οἷσπερ καὶ μένεις.

Πλάτων

Πλάτων Λαοδάμαντι εὖ πράττειν.

Επεστειλάς μοι καὶ πρότερον ὅτι πολὺ διαφέρει πρὸς ἅπαντα ἃ λέγεις αὐτὸν ἀφικέσθαι σε ἀθήναζε· ἐπειδὴ δὲ σὺ φῂς ἀδύνατον εἶναι, μετὰ τοῦτο ἦν δεύτερον, εἰ δυνατὸν ἐμὲ ἀφικέσθαι, ἢ σωκράτη, ὥσπερ ἐπέστειλας. νῦν δὲ σωκράτης μὲν ἐστὶ περὶ ἀσθένειαν τὴν τῆς στραγγουρίας· ἐμὲ δὲ ἀφικόμενον ἐνταῦθα, ἄσχημον ἂν εἴη μὴ διαπράξασθαι ἐφ' ἅπερ σὺ παρακαλεῖς. ἐγὼ δὲ ταῦτα γενέσθαι ἂν, οὐ πολλὴν ἐλπίδα ἔχω. δι' ἃ δὲ μακρᾶς ἑτέρας, δέοιτ' ἂν ἐπιστολῆς ἅπαντα διεξιέναι, καὶ ἅμα οὐδὲ τὸ σώματι διὰ τὴν ἡλικίαν, ἱκανῶς ἔχω πλανᾶσθαι καὶ κινδυνεύειν κατὰ γῆν καὶ κατὰ θάλατταν οἷα ἀπαντᾷ· καὶ νῦν πάντα κινδύνων ἐν ταῖς χρείαις ἐστὶ μεστά. συμβουλεῦσαι μέντοι ἔχω σοί τε καὶ τοῖς οἰκισταῖς. ὃ εἰπόντος μὲν ἐμοῦ φησὶν ἡσίοδος, δόξαι ἂν εἶναι φαῦλον. χαλεπὸν δὲ νοῆσαι. εἰ γὰρ οἴονται ὑπὸ νόμων θέσεως καὶ ὡντινων οὖν ποτε πολιτείαν ἂν κατασκευασθῆναι, ἄνευ τοῦ εἶναί τι κύριον ἐπιμελούμενον ἐν τῇ πόλει τῆς καθημέραν διαίτης, ὅπως ἂν ᾖ σώφρων τε καὶ ἀνδρική, δούλων τε καὶ ἐλευθέρων, οὐκ ὀρθῶς διανοοῦνται. τοῦτο δ' αὖ, εἰ μὲν εἰσὶν ἤδη ἄνδρες ἄξιοι τῆς ἀρχῆς ταύτης, γένοιτ' ἄν· εἰ δ' ἐπὶ τὸ παιδεῦσαι δεῖ τινος, οὔτε ὁ παιδεύσων οὔτε οἱ παιδευθησόμενοι ὡς ἐγὼ οἶμαι εἰσὶν ὑμῖν, ἀλλὰ τὸ λοιπὸν τοῖς θεοῖς εὔχεσθαι. σχεδὸν γὰρ καὶ αἱ ἔμπροσθεν πόλεις, οὕτω κατεσκευάσθησαν, καὶ ἔπειτα εὖ ᾤκησαν, ὑπὸ ξυμβάσεων πραγμάτων μεγάλων καὶ κατὰ πόλεμον καὶ κατὰ τὰς ἄλλας πράξεις γενομένων. ὅταν ἐν τοιούτοις καιροῖς, ἀνὴρ καλός τε καὶ ἀγαθὸς ἐγγένηται μεγάλην δύναμιν ἔχων. τὸν δὲ πρὸ τούτων, προθυμεῖσθαι μὲν χρὴ καὶ ἀνάγκη. διανοεῖσθαι μέντοι αὐτὰ οἷα λέγω καὶ μὴ ἀνοητεῖν οἰομένους τι ῥᾳδίως διαπράξασθαι δεῖν. εὐτύχει.

## Πλάτων Ἀρχύτᾳ Ταραντίνῳ εὖ πράττειν.

Τὰ μὲν παρὰ σοῦ ἐλθόντα ὑπομνήματα, θαυμαστῶς ὡς ἄσμενοί τε ἐλάβομεν, καὶ τοῦ γράψαντος αὐτὰ ἠγάσθημεν ὡς ἔνι μάλιστα. καὶ ἔδοξεν ἡμῖν εἶναι ὁ ἀνὴρ ἄξιος ἐκείνων τῶν πάλαι προγόνων. λέγονται γὰρ δὴ οἱ ἄνδρες οὗτοι Μυρεῖοι εἶναι. οὗτοι δ᾽ ἦσαν τῶν ἐπὶ Λαομέδοντος ἐξαναστάντων Τρώων, ἄνδρες ἀγαθοί, ὡς ὁ παραδεδομένος μῦθος δηλοῖ. τὰ δὲ παρ᾽ ἐμοὶ ὑπομνήματα περὶ ὧν ἐπέστειλας, ἱκανῶς μὲν οὔπω ἔχει. ὡς δέ ποτε τυγχάνει ἔχοντα, ἀπέσταλκά σοι. περὶ δὲ τῆς φυλακῆς, ἀμφότεροι συμφωνοῦμεν. ὥστε οὐδὲν δεῖ παρακελεύεσθαι.

## Πλάτων Διονυσίῳ τυράννῳ Συρακουσῶν, εὖ πράττειν.

Ἀρχή σοι τῆς ἐπιστολῆς ἔστω ἅμα καὶ τὸ σύμβολον ὅτι παρ᾽ ἐμοῦ ἐστι, τοὺς Λοκροὺς ἑστιῶν νεανίσκους πόρρω κατακείμενος ἀπ᾽ ἐμοῦ, ἀνέστης παρ᾽ ἐμὲ καὶ φιλοφρονούμενος εἶπές τι ῥῆμα εὖ ἔχον ὡς ἐμοί τε ἐδόκει καὶ τῷ παρακατακειμένῳ. ἦν δ᾽ οὗτος τῶν καλῶν τις. ὃς τότε εἶπεν, ἦ που πολλὰ ὦ Διονύσιε εἰς σοφίαν ὠφελῇ ὑπὸ Πλάτωνος. σὺ δ᾽ εἶπες, καὶ εἰς ἄλλα πολλά. ἐπεὶ καὶ ἀπ᾽ αὐτῆς τῆς μεταπέμψεως, ὅτι μετεπεμψάμην αὐτόν, δι᾽ αὐτὸ τοῦτο εὐθὺς ὠφελήθην. τοῦτ᾽ οὖν διασωστέον, ὅπως ἂν αὐξάνηται ἀεὶ ἡμῖν ἡ ἀπ᾽ ἀλλήλων ὠφελία. καὶ ἐγὼ νῦν τοῦτ᾽ αὐτὸ παρασκευάζων τῶν τε Πυθαγορείων πέμπω σοι καὶ τῶν διαιρέσεων, καὶ ἄνδρα, ὥσπερ ἐδόκει ἡμῖν τότε, ᾧ γε σὺ καὶ Ἀρχύτης, εἴπερ ἥκει παρὰ σὲ Ἀρχύτης, χρῆσθαι δύναισθ᾽ ἄν. ἔστι δὲ ὄνομα μὲν Ἑλίκων,

τὸ δὲ

τὸ δὲ γένος, ἐκκυζίκου. μαθητὴς δὲ, εὐδόξου, καὶ περὶ πάντα τὰ ἐκείνου, πάνυ χαριέντως ἔχων. ἔτι δὲ καὶ τῶν ἰσοκράτους μαθητῶν τῳ συγγέγονε. καὶ πολυξένῳ τῷ βρύσωνος τινι ἑταίρων. ὃ δὲ σπάνιον ἐπὶ τούτοις, οὔτε ἄχαρίς ἐστιν ἐντυχεῖν, οὔτε κακοήθει ἔοικεν. ἀλλὰ μᾶλλον ἐλαφρὸς καὶ εὐήθης δόξειεν ἂν εἶναι. δεδιὼς δὲ λέγω ταῦτα, ὅτι ὑπὲρ ἀνθρώπου δόξαν ἀποφαίνομαι οὐ φαύλου ζώου ἀλλ᾽ εὐμεταβόλου, πλὴν πάνυ ὀλίγων τινῶν καὶ εἰς ὀλίγα. ἐπεὶ καὶ περὶ τούτου φοβούμενος καὶ ἀπιστῶν, ἐσκόπουν αὐτός τε ἐντυγχάνων. καὶ ἐπυνθανόμην τῶν πολιτῶν αὐτοῦ, καὶ οὐδεὶς οὐδὲν φλαῦρον ἔλεγε τὸν ἄνδρα. σκόπει δὲ καὶ αὐτὸς, καὶ εὐλαβοῦ. μάλιστα μὲν οὖν, ἂν καὶ ὁπωστιοῦν σχολάζῃς, μάνθανε παρ᾽ αὐτοῦ καὶ τἄλλα φιλοσόφει. εἰ δὲ μὴ, ἐκδίδαξαι τινά. ἵνα κατὰ σχολὴν μανθάνων, βελτίων γίγνῃ καὶ εὐδοξῇς, ὅπως τὸ δι᾽ ἐμὲ ὠφελεῖσθαί σε, μὴ ἀνῇ. καὶ ταῦτα μὲν δὴ ταύτῃ. περὶ δὲ ὧν ἐπέστελλές μοι ἀποπέμπειν σοι, τὸν μὲν ἀπόλλω ἐποιησάμην τε. καὶ ἄγει σοι λεπτίνης, νέου καὶ ἀγαθοῦ δημιουργοῦ. ὄνομα δ᾽ ἐστὶν αὐτῷ λεωχάρης. ἕτερον δὲ παρ᾽ αὐτῷ ἔργον ἦν, πάνυ κομψὸν ὡς ἐδόκει. ἐπριάμην οὖν αὐτὸ βουλόμενός σου τῇ γυναικὶ δοῦναι, ὅτι μου ἐπεμελεῖτο καὶ ὑγιαίνοντος καὶ ἀσθενοῦντος, ἀξίως ἐμοῦ τε καὶ σοῦ. δὸς οὖν αὐτῇ, ἂν μή τι σοὶ ἄλλο δόξῃ. πέμπω δὲ καὶ οἴνου γλυκέως δώδεκα σταμνία τοῖς παισὶ, καὶ μέλιτος, δύο. ἰσχάδων δὲ, ὕστερον ἤλθομεν τῆς ἀποθέσεως. τὰ δὲ μύρτα ἀποτεθέντα κατεσάπη. ἀλλ᾽ αὖθις βέλτιον ἐπιμελησόμεθα. περὶ δὲ φυτῶν, λεπτίνης σοι ἐρεῖ. ἀργύρει(ον) δὲ ἓξ ταῦτα ἕνεκά τε τούτων καὶ εἰς φόρον τινὰ εἰς τὴν πόλιν, ἔλαβ(ον) παρὰ λεπτίνου. λέγων ἅ μοι ἐδόκει εὐσχημονέστατα ἡμῖν εἶναι καὶ ἀληθῆ

λέγειν· ὅτι ἡμέτερον εἴη· ὁ δ' εἰς τὴν ναῦν ἀνηλώσαμεν τὴν λευκαδίαν, σχεδὸν ἑκκαίδεκα μνᾶς· τοῦτ' οὖν ἔλαβον· καὶ λαβὼν αὐτός τε ἐχρησάμην καὶ ὑμῖν ταῦτα ἀπέπεμψα. τὸ δὴ μετὰ τοῦτο, περὶ χρημάτων ἄκουε ὅπως σοι ἔχει, περί τε τὰ σὰ ἀθήνησι, καὶ περὶ τὰ ἐμά. ἐγὼ τοῖς σοῖς χρήμασιν ὥσπερ τότε σοι ἔλεγον χρήσομαι, καθάπερ τοῖς τῶν ἄλλων ἐπιτηδείων. χρῶμαι δὲ, ὡς ἂν δύνωμαι ὀλιγίστοις, ὅσα ἀναγκαῖα ἢ δίκαια ἢ εὐσχήμονα ἐμοί τε δοκεῖ καὶ παρ' οὗ ἂν λαμβάνω. ἐμοὶ δὴ τοιοῦτον νῦν ξυμβέβηκεν. εἰσί μοι ἀδελφιδῶν θυγατέρες τῶν ἀποθανουσῶν τότε, ὅτ' ἐγὼ οὐκ ἐστεφανούμην. σὺ δ' ἐκέλευες, τέτταρες. ἡ μὲν, νῦν ἐπίγαμος· ἡ δὲ ὀκταέτις· ἡ δὲ σμικρὸν πρὸς τρισὶν ἔτεσιν. ἡ δὲ οὔπω ἐνιαυσία. ταύταις ἐκδοτέον ἐμοί ἐστι καὶ τοῖς ἐμοῖς ἐπιτηδείοις, αἷς ἂν ἐγὼ ἐπιβιῶ. αἷς δ' ἂν μὴ, χαιρόντων. καὶ ὧν ἂν γένωνται οἱ πατέρες αὐτῶν ἐμοῦ πλουσιώτεροι οὐκ ἐκδοτέον. τὰ δὲ νῦν ἐγὼ αὐτῶν εὐπορώτερος. καὶ τὰς μητέρας δὲ αὐτῶν ἐγὼ ἐξέδωκα. καὶ μετ' ἄλλων καὶ μετὰ δίωνος. ἡ μὲν οὖν σπευσίππῳ γαμεῖται, ἀδελφῆς οὖσα αὐτῷ θυγάτηρ. δεῖ δὴ ταύτῃ οὐδὲν πλέον, ἢ τριάκοντα μνῶν. μέτριαι γὰρ αὗται ἡμῖν προῖκες. ἔτι δὲ ἐὰν ἡ μήτηρ τελευτήσῃ ἡ ἐμὴ, οὐδὲν ἂν πλείονος ἢ δέκα μνῶν δέοι ἂν, εἰς τὴν οἰκοδομίαν τοῦ τάφου. καὶ περὶ ταῦτα, τὰ μὲν ἐμὰ ἀναγκαῖα σχεδόν τι ἐν τῷ νῦν ταῦτ' ἐστίν. ἐὰν δέ τι ἄλλο γίγνηται ἴδιον ἢ δημόσιον ἀνάλωμα διὰ τὴν παρὰ σὲ ἄφιξιν, ὥσπερ τότε ἔλεγον δεῖ ποιεῖν, ἐμὲ μὲν διαμάχεσθαι, ὅπως ὡς ὀλίγιστον γίγνηται τὸ ἀνάλωμα. ὃ δ' ἂν μὴ δύνωμαι, σὸν εἶναι τὴν δαπάνην. τὸ δὴ μετὰ ταῦτα λέγω περὶ τῶν σῶν αὖ χρημάτων τῶν ἀθήνησι τῆς ἀναλώσεως, ὅτι πρῶτον μὲν ἐάν τι δέῃ ἐμὲ ἀναλίσκειν

εἰς χορηγίαν ἤ τι τοιοῦτον, οὐκ ἔστι σοι ξένος οὐδεὶς ὅστις δώσει ὡς ᾠόμεθα. ἐπεὶ δ' ἄν τι σοι αὐτῷ διαφέρῃ μέγα, ὥστε ἀναλωθὲν μὲν ἤδη ὀνῆσαι. μὴ ἀναλωθὲν δὲ ἀλλ' ἐγχρονισθὲν ἕως αὐτὸς παρὰ σοῦ ἔλθῃ, βλάψαι πρὸς τῷ χαλεπῷ τοιοῦτόν σοι ὂν καὶ αἰσχρόν. ἐγὼ γὰρ δὴ τοῦτό γε ἐξήτασα, παρ' ἀνδρομήδη τὸν αἰγινήτην πέμψας ἔραστον, παρ' οὗ ἐκέλευες τοῦ ὑμετέρου ξένου εἴ τι δεοίμην λαμβάνειν, βουλόμενος καὶ ἄλλα μείζονα ἃ ἐπέστελλες πέμπειν. ὁ δέ, εἶπεν εἰκότα καὶ ἀνθρώπινα, ὅτι καὶ πρότερον ἀναλώσας τῷ πατρί σου μόλις κομίσαιτο. καὶ νῦν, σμικρὰ μὲν δοίη ἄν. πλείω δέ, οὔ. οὕτω δὴ παρὰ λεπτίνου ἔλαβον. καὶ τοῦτό γε, ἄξιον ἐπαινέσαι λεπτίνην οὐχ ὅτι ἔδωκεν, ἀλλ' ὅτι προθύμως. καὶ τὰ ἄλλα περὶ σὲ καὶ λέγων καὶ πράττων, ὅτι οἷός τ' ἦν ἐπιτήδειος, φανερὸς ἦν. χρὴ γὰρ δὴ καὶ τὰ τοιαῦτα καὶ τἀναντία τούτων, ἐμὲ ἀπαγγέλλειν, ὁποῖός τις ἂν ἕκαστος ἐμοὶ φαίνηται περὶ σέ. τὸ δ' οὖν περὶ τῶν χρημάτων ἐγώ σοι παρρησιάσομαι. δίκαιον γὰρ καὶ ἅμα ἐμπείρως ἔχων, τῶν παρὰ σοὶ λέγοιμ' ἄν. οἱ προσαγγέλλοντες ἑκάστοτέ σοι, ὅτι ἂν οἴωνται ἀνάλωμα εἰσαγγέλλειν οὐκ ἐθέλουσι προσαγγέλλειν, ὡς δὴ ἀπεχθησόμενοι. ἔθιζε οὖν αὐτοὺς καὶ ἀνάγκαζε φράζειν, καὶ ταῦτα καὶ τὰ ἄλλα. σὲ γὰρ δεῖ εἰδέναι τε τὰ πάντα κατὰ δύναμιν, καὶ κριτὴν εἶναι καὶ μὴ φεύγειν τὸ εἰδέναι. πάντων γὰρ ἄριστόν σοι ἔσται πρὸς τὴν ἀρχήν. τὰ γὰρ ἀναλώματα ὀρθῶς ἀναλισκόμενα καὶ ὀρθῶς ἀποδιδόμενα, πρός τε τἆλλα καὶ πρὸς αὐτὴν τὴν τῶν χρημάτων κτῆσιν. καὶ σὺ δὴ φῂς ἀγαθὸν εἶναι, καὶ φήσεις. μὴ οὖν σε διαβαλλόντων πρὸς τοὺς ἀνθρώπους οἱ κήδεσθαί σου φάσκοντες. τοῦτο γὰρ οὔτε ἀγαθὸν οὔτε καλὸν πρὸς δόξαν σοι δοκεῖ ξύμβολον εἶναι. τὰ μετὰ ταῦτα, περὶ δίωνος λέγοι-

μὴ αὖ. τὰ μὲν ἄλλα οὔπω ἔχω λέγειν, πρὶν ἂν παρὰ σοῦ ἔλθωσιν αἱ ἐπιστολαὶ ὡς τότε ἔφης. περὶ μέντοι ἐκείνων ὧν οὐκ εἴας μεμνῆσθαι πρὸς αὐτὸν, οὔτε ἐμνήσθην, οὔτε διελέχθην. ἀπεπειρώμην δὲ, εἴτε χαλεπῶς εἴτε ῥᾳδίως οἴσει γενομένων. καί μοι ἐδόκει οὐκ ἠρέμα ἂν ἄχθεσθαι εἰ γένοιτο. τὰ δ' ἄλλα περὶ σὲ καὶ ἔργῳ καὶ λόγῳ, μέτριός μοι δοκεῖ εἶναι Δίων. Κρατίνῳ, τῷ Τιμοθέου μὲν ἀδελφῷ, ἐμῷ δ' ἑταίρῳ, θώρακα δωρησώμεθα ὁπλιτικὸν τῶν μαλακῶν τῶν πεζῶν. καὶ ταῖς Κέβητος θυγατράσι, χιτώνια τρία ἑπταπήχη μὴ τῶν πολυτελῶν τῶν ἀμοργίνων, ἀλλὰ τῶν σικελικῶν τῶν λινῶν. ἐπιεικῶς δὲ γιγνώσκεις τοὔνομα κέβητος. γεγραμμένος γάρ ἐστιν ἐν τοῖς σωκρατείοις λόγοις, μετὰ σιμμίου σωκράτει διαλεγόμενος ἐν τῷ περὶ ψυχῆς λόγῳ. ἀνὴρ, πᾶσιν ἡμῖν οἰκεῖός τε καὶ εὔνους. περὶ δὲ δὴ τοῦ ξυμβόλου τοῦ περὶ τὰς ἐπιστολὰς, ὅσας τε ἂν ἐπιστέλλω σπουδῇ καὶ ὅσας ἂν μὴ, οἶμαι μέν σε μεμνῆσθαι. ὅμως δ' ἐννόει καὶ πάνυ πρόσεχε τὸν νοῦν. πολλοὶ γὰρ οἱ κελεύοντες γράφειν, οὓς οὐ ῥᾴδιον φανερῶς διωθεῖσθαι. τῆς μὲν γὰρ σπουδαίας ἐπιστολῆς, θεὸς ἄρχει. θεοὶ δὲ τῆς ἧττον. οἱ πρέσβεις, καὶ ἐδέοντο ἐπιστέλλειν σοι, πάνυ γὰρ προθύμως σὲ πανταχοῦ καὶ ἐμὲ ἐγκωμιάζουσι, καὶ οὐχ ἥκιστα Φίλαγρος, ὃς τότε τὴν χεῖρα ἠσθένει. καὶ Φιλαΐδης παρὰ βασιλέως ἥκων τοῦ μεγάλου, ἔλεγε περὶ σοῦ. εἰ δὲ μὴ πάνυ μακρᾶς ἐπιστολῆς ἦν, ἔγραψα ἂν ἃ ἔλεγε. νῦν δὲ Λεπτίνου, πυνθάνου. ἂν τὸν θώρακα ἢ ἄλλο τι ὧν ἐπιστέλλω πέμπῃς, ἂν μὲν αὐτὸς τῳ βούλῃ. εἰ δὲ μὴ, Τηρίλλῳ δός. ἔστι δὲ τῶν ἀεὶ πλεόντων ἡμέτερος ἐπιτήδειος, καὶ τὰ ἄλλα καὶ περὶ φιλοσοφίαν χαρίεις. Τίσωνος δ' ἐστὶ κηδεστής. ὃς τότε ὅθ' ἡμεῖς ἀπεπλέομεν, ἐπολιανόμει. ἔρρωσο. καὶ φιλοσόφει. καὶ τοὺς ἄλλους προτρέπου τοὺς

νεωτέρους

νεωτέρους, καὶ τοὺς συσφαιριστὰς ἀσπάζου ὑπὲρ ἐμοῦ. καὶ πρὸς τάττε τοῖς τε ἄλλοις, καὶ Ἀριστοκρίτῳ, ἐάν τις παρ' ἐμοῦ λόγος, ἢ ἐπιστολὴ παρὰ σὲ ἴῃ, ἐπιμελεῖσθαι ὅπως ὡς τάχιστα σὺ αἴσθῃ, καὶ ὑπομιμνήσκειν σε, ἵνα ἐπιμελῇ τῶν ἐπεσταλμένων. καὶ νῦν λεπτίνῃ τῆς ἀποδόσεως τοῦ ἀργυρίου μὴ ἀμελήσῃς, ἀλλ' ὡς τάχιστα ἀπόδος. ἵνα καὶ οἱ ἄλλοι πρὸς τοῦτον ὁρῶντες, προθυμότεροι ὦσιν ἡμῖν ὑπηρετεῖν. ἰατροκλῆς ὁ μετὰ μυρωνίδου τότε ἐλεύθερος ἀφεθεὶς ὑπ' ἐμοῦ, πλεῖ νῦν μετὰ τῶν πεμπομένων παρ' ἐμοῦ. ἔμμισθον οὖν που αὐτὸν κατάστησον, ὡς ὄντα σοι εὔνουν. καὶ ἄν τι βούλῃ αὐτῷ χρῶ. καὶ τὴν ἐπιστολὴν ἢ αὐτὴν ἢ εἰς ὑπόμνημα αὐτῆς σώζεται καὶ αὐτὸς ἴσθι.

Τῶν πλάτωνος ἐπιστολῶν τέλος.

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΕΠΙΣΤΟΛΑΙ

## ΦΙΛΙΠΠΩι.

Οἱ τὰς ἡγεμονίας ἀναλαμβάνοντες πρὸς εὐφημίαν τῶν ἀρχομένων οὐχ ὑπὸ τῆς τύχης ἀλλ' ὑπὸ τῆς φύσεως προηγμένοι, ταῖς ἀρχαῖς ἐμπιστεύονται, αἳ μεταπίπτειν εἰώθασιν· ἀλλ' ἐπὶ ταῖς ἀρεταῖς μέγα φρονοῦσι, δι' ἃς καὶ σφόδρα σφῶς πολιτευόμενοι. οὐδὲν γὰρ τῶν ἐν ἀνθρώποις βέβαιον καὶ ἰσχυρὸν οὐδ' ὃ μέχρι τῆς ἑσπέρας ἥλιος ταχείᾳ ῥοπῇ συναλλοιοῖ καὶ μεταφέρει. Ποικίλλουσι τοὺς βίους ἀπορίας, καθάπερ τραγῳδίας ὑποκρίσει τοῖς ἡμετέροις κακοῖς ἡ φύσις μετασκηνάζεται. εἴπερ μὴ διεψεύσμεθα τῆς ἀληθείας· ὅτι τὸν ἄλλον τρόπον ὥσπερ τῶν ἐκ γῆς φυομένων ἕκαστον, καὶ τοὺς ἄνδρας ἂν θεῖν ποτε συμβαίνει· καὶ τὰς ἀκμὰς ἐν χρόνοις τισὶν ἀναλαμβανομένους πολὺ τῶν ἄλλων διαφέρειν. διὸ πειρῶ μήτε τῆς Ἑλλάδος τυραννικώτερον προΐστασθαι, μήτε τοῖς λήμμασι σιβαρώτερον. τὸ μὲν γὰρ προπετείας ἐστὶ σημεῖον· τὸ δὲ ὁμολογουμένης ἀβουλείας τεκμήριον. δεῖ γὰρ τοὺς νοῦν ἔχοντας τῶν δυναστευόντων μὴ διὰ τὰς ἀρχὰς ἀλλὰ διὰ τῶν ἀρχῶν θαυμάζεσθαι, ἵνα τῆς τύχης μεταπεσούσης τῶν αὐτῶν ἐγκωμίων ἀξιῶνται. τὰ δ' ἄλλα εὖ πράττε· ψυχὴν πρὸς φιλοσοφίαν, σῶμα δὲ πρὸς ὑγείαν ἄγων καὶ ἐπιμελούμενος.

## Ἀλεξάνδρῳ.

α Περὶ τίνων ἢ ποίων ἀρχὴν μὲν λάβοι πρὸς σέ· ἐφ' ἃ γὰρ ἂν ἐπισκοπῶν ἐπιβάλλω τῇ διανοίᾳ, πάντα μοι φαίνεται μεγάλα καὶ θαυμαστά. ἀληθῶς οὐδὲν ἄξιον ὁρῶ. μνήμης δ' οἶμαι ἢ προσήκως· ὧν οὐδὲν οὐδεὶς ἀμαυρώσει χρόνος. αἱ δὲ καλαὶ τῶν διδασκάλων παραινέσεις τὸ προσῆκον θεατὴν ἔχουσι τὸν αἰῶνα.

διὸ

διὸ πειρῶ τὴν ἀρχὴν μὴ εἰς ὕβριν, ἀλλ' εἰς εὐεργεσίαν καταΤί-
θεσθαι πρὸς ἀρχήν. ἧς οὐδὲν μεῖζον τῶν ἐν βίῳ ὑπάρχειν πέφυ-
κε. διὸ καὶ τὸ θνητὸν τῆς φύσεως πολλάκις ὑπὸ τοῦ χρεὼν διαλυ-
όμενον ἄφθαρτον διὰ τὸ μέγεθος τῶν ἐργασθέντων ἐκτήσατο τὴν μνή-
μην. τοῦτον οὖν τὴν ἔννοιαν ἔχε. οὐ γὰρ ἀλόγως ἤχθης ὡς ἔνιοι
οἱ ἀτόπως καὶ τὰς γνώμας διετέθησαν. σοὶ καὶ γένος ἔντιμον. καὶ
βασιλεία πατρῷος. καὶ παιδεία βέβαιος. καὶ δόξα περίβλεπτος.
καὶ ὅσον ταῖς ἀφορμαῖς, τῆς τύχης διαφέρεις, τοσοῦτον καὶ ταῖς
ἀρεταῖς τῶν καλῶν πρωτεύειν σε δεῖ. τὰ δ' ἄλλα πράττε μὲν τὰ
ξυμφέρον τα ἐπιτελεῖ ἢ τὰ δόξαντα.

Φιλίππῳ.

ὁ Ι πολλοὶ τῶν φιλοσόφων τὴν εὐεργεσίαν θεῷ ἰσότιμον πα-
ρεσκεύασαν. ὡς γὰρ ἁπλῶς εἰπεῖν χάριτος ἀμοιβὴ καὶ δό-
σις συνέχει τοὺς τῶν ἀνθρώπων βίους τῶν μὲν διδόντων, τῶν δὲ
λαμβανόντων. τῶν δ' αὖ πάλιν ἀνταποδιδόντων. διὸ καλὸν καὶ
δίκαιόν ἐστι πάντας μὲν τοὺς ἀτυχοῦντας ἐλεεῖν. οἶκτος μὲν γὰρ
ἡμέρου τοῦ ἤθους ἐστὶ σημεῖον. χαλεπότης δὲ ἀπαιδεύτου. αἰσχρὸν
γὰρ καὶ σχέτλιον ἀρετὴν ἀτυχοῦσαν περιορᾶν. ὅθεν ἐπαινῶ καὶ
τὸν ἡμέτερον γνώριμον θεόφραστον λέγοντα τὴν χάριν ἀμεταμέλη-
τον εἶναι. καὶ καλὸν καρπὸν φέρειν, τὸν παρὰ τῶν εὖ παθόντων
ἔπαινον. διόπερ δεῖ τοὺς νοῦν ἔχοντας τῶν ἀνθρώπων εἰς πολλοὺς
αὐτὴν κατατίθεσθαι νομίζοντας χωρὶς τῆς εὐφημίας, ἔρανόν τι-
να τοῦτον αὐτοῖς ὑπάρξειν ἐν ταῖς μεταβολαῖς τῶν πραγμά-
των, καὶ εἰ γε μὴ πάντας, ἀλλ' ἕνα τινὰ τῶν εὐεργετημάτων ἀπο-
δώσειν τὴν χάριν. ὅθεν πειρῶ πρόθυμος μὲν εἶναι ταῖς εὐεργεσί-

καιος. ἔποχος δὲ τοῖς θυμοῖς. τὸ μὲν γὰρ βασιλικόν τε καὶ ἥμερον, τὸ δὲ βάρβαρόν τε καὶ συνετόν. τὰ δ᾽ ἄλλα καθὼς ἂν δοκιμάζῃς πράττε, μὴ παρορῶν τὰς λυσιτελεῖς ψήφους.

## Τῷ αὐτῷ

Οἱ διαπρέψαντες τῶν βασιλέων ἐπὶ φρονήσει, καὶ ταῖς ὑπεροχαῖς τῶν ἄστρων ψαύσαντες, εὐτυχοῦσιν, οὐδὲ πρὸς τοὺς αὐτοὺς πολιτευόμενοι καιρούς. ἀλλὰ καὶ θεωροῦντες τὸ τῆς τύχης ἄστατον, θησαυρίζουσι τὴν χάριν πρὸς ἑκάτερα. ἐν μὲν ταῖς εὐπραγίαις τιμῆς βουλόμενοι μεταλαμβάνειν. τιμὴ γὰρ οἰκεῖον ἀρετῆς ἐστιν. ἐν δὲ τοῖς συμπτώμασι βοηθείας. αἱ γὰρ συμφοραὶ τἀναγκαῖα κρίνουσι τῶν καλῶν πρότερον. σαφέστατος γὰρ εὐνοίας ἔλεγχος ὁ τῆς τύχης καιρός. ἀπαιτεῖ γὰρ οὐ λόγους, ἀλλὰ πράξεις δεόντως. ἡ γὰρ τῶν εὐνοούντων ὄψις ὥσπερ ἐν πελάγει χειμαζομένῳ παρεφάνη γῆ. πᾶσα δὲ ὡς ἔοικεν ἐν ἐρήμῳ πεσοῦσα τύχη, σκοπὸς ἀληθὴς γίνεται τοῖς πλημμελεῖν ἢ ἀδικεῖν ἢ συκοφαντεῖν αἱρουμένοις. μόνη δὴ τῶν σπουδαίων διάνοια τὸ τῆς τύχης εὐκίνητον οὐκ ἀπαρνεῖται. φέρουσα δ᾽ εὐλόγως πᾶν τὸ προσπῖπτον τῶν κατὰ πλάτωνα κρειττόνων εὖ διατίθεται. διὸ καὶ τὴν τραχύτητα τῶν πραγμάτων εὐλαβοῦ. καὶ τὸν κύκλον τῆς μεταπτώσεως ἡγοῦ. καὶ τὰς ἐν τῷ ζῆν ψήφους λογίζου. πολλὰ γὰρ ἡ τοῦ αὐτομάτου φορὰ νομίζει τῶν βίων καὶ ῥοπὰς αὐτονόμους ποιεῖ. τοῖς μὲν ἀγνοοῦσι μετάνοιαν δίδου. τοῖς δ᾽ εὐνοοῦσι τὰς χάριτας προχείρους νέμε. ταῦτα γὰρ πράττων οὐχ ἅπαξ ἀλλὰ διόλου συντηρῶν, ἀσφαλέστατα καὶ ἀκίνδυνα τὰ τῆς ἡγεμονίας ἕξεις μέλαθρα, ὡς μὲν ὑπὲρ μεγάλων ὀλίγα· ὡς δὲ πρὸς σέ, πάντα σχεδὸν εἴρηται.

η Πρόχειρος ἀδικία τῆς πολυχρονίου χάριτος λυσιτελέστερον πέφυκεν ὑπάρχειν. ἡ μὲν γὰρ ὀλιγοχρόνιον ἔχει τὴν μνήμην καὶ τὴν βλάβην. ἡ δὲ γηράσκει ὡς ἂν πεποιημένη τὴν δυσμένειαν ἔργον ἀοίδιμον παρασκευάζειν. καί τοι πολλάκις δώρῳ λοποσάμενοι γαληνισμὸν εὕρομέν τι. καὶ μειζόσαντες τρικυμίας σάλον τῆς διανοίας εἴδομεν πορθμόν. διὸ φημὶ δεῖν τὴν ἑταιρείαν μάλιστα μὲν μὴ ἀδικεῖν, εὐδικεῖν καὶ εὔλογον ἔχειν πρόφασιν. εἰ δὲ μή γε ἀκουσίως τοῦτο πράξασιν, θᾶττον διαλύεσθαι τὴν ἔχθραν. τὸ γὰρ μηδὲν ἀδικεῖν ἴσως ὑπὲρ ἄνθρωπον. τὸ δὲ πλανηθέντα διασώσασθαι τὴν ἐπιφέρεσθαι τις μέμψιν, καλῶς τε σφόδρα εὐσταθούσης κρίσεως ἴδιον οἶδα. τὰ δ᾽ ἄλλα ἔρρωσο.

Φίλιππος Ὀλυμπιάδι.

α Ἀποδέχομαι τὴν σὴν φρόνησιν καὶ τὴν πρόνοιαν τοῦ συμφέροντος. ὅτι τὸ κατὰ φύσιν συγγενὲς, οὐ φύσει φιλόστοργος, ἀλλ᾽ ἀρετῇ κρίνασα δοκιμάζεις. οὕτω γὰρ οἶμαι τε ἡμᾶς ἀφροντιστοῦντας τοῦ καλοῦ, ἀναγκάσεις καὶ τὸν τῶν καλῶν ἀναλαμβάνειν ζῆλον. θησαύρισμα δ᾽ ἐστὶν ἀρετῆς τερπνόν τι κομιζούσης τῷ βίῳ δι᾽ ὅλου, μὴ τῷ γένει χαρίζεσθαι τὸ φιλόστοργον ἀλλὰ τῷ τοῦ γένους ἀξιώματι μεταδιδόναι τῆς φιλανθρωπίας. ὁ μὲν γὰρ πολλάκις κατὰ φύσιν ὑπάρχων, εὐθὺς καὶ τὴν φύσιν τῶν γεγεννηκότων οὐ σπουδαίαν ὑβρίζειν εἴωθεν. ὁ δὲ μηδεμιᾶς συγγενείας κοινωνήσας ἐπειδή ποτε διὰ τὸν παρὰ φύσιν κόσμον τὴν φύσιν ηὔξησε. μηδὲν οὖν ἀνάξιον τοῦ γένους καὶ τῆς πρὸς ἡμᾶς εὐνοίας φρόνει. ἔτι δὲ καὶ τῆς περὶ βίον κοσμιότητος ἀντέχου. καὶ πρᾶττε πάντα Φιλίππου μὲν ἄξια, Ὀλυμπιάδος δὲ οὐκ ἀλλότρια. ὁ γὰρ τῆς διανοίας ὄγκος, πρὸς τὸ μὴ βλέπειν τι τῶν ἀναγκαίων, ὄγκος μὲν κακῶν.

φθόνος δὲ ἀγαθῶν. ἄνευ γὰρ νοῦ καὶ συνέσεως οὐδεμιᾶς πράξεως ὄνησιν φέρουσιν οὐδεμίαν δυνάμεις ὠφέλιμοι καθεστᾶσι. διὸ δεῖ πρότερον τὴν χρῆσιν ἢ τὴν κτῆσιν τῶν ἀγαθῶν σκοπεῖν, καὶ τότε πράττειν τοῖς μεγίστοις καὶ πλείστοις ὠφελήμασι χρησαμένους. τὸ γὰρ μὴ κεκτῆσθαι πλοῦτον, βλάβην οὐ κομίζει τηλικαύτην. τὸ δὲ τοῖς οὖσι κακῶς κεχρῆσθαι, ἀπόλλυσι τὸν ὄντως φασὶ κεχρημένον βίον. ἔχουσα τοίνυν ταῦτα κατὰ νοῦν καὶ νυκτὸς καὶ μεθημέραν σκόπει τὸ συμφέρον τοῖς τῆς ἡγεμονίας προσόδοις. οὕτω γὰρ ἀναγκαῖόν ἐστι τὴν ἀρχὴν πλείστην καὶ μεγίστην ἐπίδοσιν λήψεσθαι. ὅταν ὁ μὲν οἶκος ἀρετῆς οἰκεῖος ᾖ. ὁ δὲ τούτου δεσπόζων μὴ δέηται καλοκαγαθίας. τὰ δ' ἄλλα προνοοῦ τοῦ συμφέροντος.

Φίλιππος Ἀριστοτέλει εὖ πράττειν.

Σθι μοι γεγονότα υἱόν. πολλὴν οὖν τοῖς θεοῖς χάριν ἔχω, οὐχ οὕτως ἐπὶ τῇ γεννήσει τοῦ παιδὸς, ὡς ἐπὶ τῷ κατὰ τὴν σὴν ἡλικίαν αὐτὸν γεγονέναι. ἐλπίζω γὰρ αὐτὸν ὑπὸ σοῦ τραφέντα καὶ παιδευθέντα ἄξιον ἔσεσθαι καὶ ἡμῶν καὶ τῆς τῶν πραγμάτων διαδοχῆς.

Ἀλέξανδρος Ἀριστοτέλει εὖ πράττειν.

Υκ ὀρθῶς ἐποίησας ἐκδοὺς τοὺς ἀκροαματικοὺς τῶν λόγων. τίνι γὰρ ἔτι διοίσομεν ἡμεῖς τῶν ἄλλων, εἰ καθ' οὓς ἐπαιδεύθημεν λόγους, οὗτοι πάντων ἔσονται κοινοί. ἐγὼ δὲ βουλοίμην ἂν ταῖς περὶ τὰ ἄριστα ἐμπειρίαις ἢ ταῖς δυνάμεσι διαφέρειν.

Ἀριστοτέλης Ἀλεξάνδρῳ εὖ πράττειν.

Γραψάς μοι περὶ τῶν ἀκροαματικῶν λόγων οἰόμενος δεῖν αὐτοὺς φυλάττειν ἐν ἀπορρήτοις. ἴσθι οὖν αὐτοὺς ἐκδεδομένους καὶ μὴ ἐκδεδομένους. ξυνετοὶ γάρ εἰσι μόνοις τοῖς ἡμῶν ἀκούσασιν.

ΤΕΛΟΣ.

# ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΣΤΟΛΑΙ. ΒΑΣΙΛΕΥΣ ΒΑΣΙΛΕΩΝ ΜΕΓΑΣ ΑΡΤΑΞΕΡΞΗΣ ΠΑΙΤΩ ΧΕΙΡΕΙΝ.

ν Οῦσος προσπέπλασεν ἡ καλουμένη λοιμικὴ τοῖς στρατεύμασιν ἡμῶν· καὶ τὰ πολλὰ πολλάκις πονησάντων ἡμῶν ἔνδοσιν οὐκ ἔδωκεν. ὅθεν ἀξιῶ σε ἐν τοίως καὶ πᾶσιν τοῖς παρ' ἐμοῦ διδομένοις δωρεαῖς, ἤτι τῆς ἐκ φύσεως ἐπινοημάτων ἤτι τῶν ἐκ τέχνης πράξεων ἤ τινα ἑτέρου ἀνδρὸς ἑρμηνείην δυναμένου ἰάσασθαι, πέμψαι τάχος. μάστιξι ἀξιῶ τὸ πάθος, ἅλωκε δὲ κατὰ τὸν ὄχλον καὶ πολὺς ἅλις πνεῦμα μέγα τε πυκνὸν ἔχων. οὐ πολεμοῦντες πολεμούμεθα ἐχθρὸν ἔχοντες τὸν θῆρα λυμαινόμενον. τὰ ποίμνια τέθνηκε. πολλοὺς δυσιάτους ἐποίησε. πικρὰ βέλη βελῶν κατεπέμπει. οὐ φέρω. γνώμην οὐκ ἔτι ἔχω μετ' ἀνδρῶν γονίμων βουλεύσασθαι. λῦε τοῦ σοι παντὶ μὴ διαλείψας ἀγαθῇ τύχῃ. Ἔρρωσο.

Παῖτος βασιλεῖ μεγάλῳ Ἀρταξέρξῃ χαίρειν.

τ Α φυσικὰ παθήματα, οὐ λύει τὴν ἐπιδημίαν τοῦ λοιμικοῦ πάθεος. ὅσα γὰρ ἐκ φύσεως γίνεται νοσήματα αὐτὴ ἡ φύσις ἰῆται ἐκεῖνα. ὅσα δὲ ἐξ ἐπιδημίας τέχνη. τεχνικῶς ἐκεινοῦσαι τὴν ζωὴν τῶν σωμάτων. ἱπποκράτης ἰητρὸς ἰῆται τοῦτο τὸ πάθος. τῷ γένει μὲν οὖν ἐστὶ δωριεύς. πόλεως δὲ κῶ. πατρὸς δὲ ἡρακλείδου τοῦ ἱπποκράτους, τοῦ γνωσιδίκου τοῦ νέβρου τοῦ σωστράτου, τοῦ θεοδώρου. τοῦ κλεομυττάδα. τοῦ κρισάμιδος. οὗτος θείᾳ φύσει κέχρηται. ὃς ἐκ μικρῶν καὶ ἰδιωτικῶν ἐς μεγάλα καὶ τεχνικὰ προήγαγε τὴν ἰατρικήν. γίνεται μὲν οὖν ὑμῖν ὁ θεῖος ἱπποκρά-

πος, ἔνατος μὲν ἀπὸ τοῦ Κρισάμιδος τοῦ βασιλέως. ἐννεακαιδέκατος δὲ ἀπὸ Ἀσκληπιοῦ. εἰκοστὸς δὲ ἀπὸ Διός. μητρὸς δὲ Πραξιθέας τῆς Φαιναρέτης ἐκ τῆς οἰκίας τῶν Ἡρακλειδῶν· ὥστε κατ' ἀμφότερα τὰ σπέρματα θεῶν ἀπόγονός ἐστιν ὁ θεῖος Ἱπποκράτης. πρὸς μὲν πατρὸς Ἀσκληπιάδης ὤν. πρὸς δὲ μητρὸς Ἡρακλείδης. ἔμαθέ τε τὴν τέχνην παρά τε τοῦ πατρὸς Ἡρακλείδου καὶ παρὰ τοῦ πάππου Ἱπποκράτει. ἀλλὰ παρὰ μὲν τούτοις ὡς εἰκὸς τὰ πρῶτα ἐμυήθη τῆς ἰατρικῆς, ὅσα πιθανὸν ἦν καὶ τούτους εἰδέναι. τὴν δὲ σύμπασαν τέχνην αὐτὸς ἑαυτὸν ἐδίδαξεν θείᾳ φύσει κεχρημένος. καὶ τοσοῦτον ὑπερβεβηκὼς τῇ τῆς ψυχῆς εὐγενείᾳ τοὺς προγόνους ὅσον διενήνοχεν αὐτῶν, καὶ τῇ τῆς τέχνης ἀρετῇ. καθαίρει δὲ οὐ θηρίων μὲν γένος, θηριωδῶν δὲ σωμάτων καὶ ἀγρίων πολλὴν γῆν καὶ θάλασσαν διασπείρων πανταχοῦ ὥσπερ ὁ Τριπτόλεμος τὰ Δημήτρος σπέρματα τὰ τοῦ Ἀσκληπιοῦ βοηθήματα. τοιγαροῦν ἐνδικώτατα καὶ οὗτος ἀνιέρωται πολλαχοῦ τῆς γῆς. ἠξίωται δὲ τῶν αὐτῶν Ἡρακλεῖ καὶ Ἀσκληπιῷ ὑπ' Ἀθηναίων δωρεῶν. αὐτὸν μεταπέμψαι κέλευσον· ἀργύριον καὶ χρυσίον ὅσον ἂν βούληται δώσειν αὐτῷ. οὗτος ἐπίσταται οὐχ ἕνα τρόπον τῆς ἰάσεως τοῦ πάθους. οὗτος πατὴρ ὑγιείας. οὗτος σωτήρ. οὗτος ἀκεσώδυνος. οὗτος ἁπλῶς ἡγεμὼν τῆς θεοπρεποῦς ἐπιστήμης.

Βασιλεὺς βασιλέων μέγας Ἀρταξέρξης Ὑστάνῃ ἑλλησπόντου ὑπάρχῳ χαίρειν.

Ἱπποκράτους ἰητροῦ Κῴου ἀπ' Ἀσκληπιοῦ γεγονότος καὶ εἰς ἐμὲ κλέος ἀφῖκται τῆς τέχνης. δὸς οὖν αὐτῷ χρυσὸν ὅσον ἂν βούληται καὶ τἄλλα χρῄζῃ ἂν σπανίζῃ. καὶ πέμπε ἐς ἡμᾶς. ἔσται γὰρ ἰσότιμος Περσῶν τοῖς ἀρίστοις. καὶ εἴ τις ἄλλος ἀνὴρ κατ' Εὐρώπην ἀγαθός, φίλον οἴκῳ βασιλέως ποιοῦ μὴ φειδόμενος ὄλβου. ἄνδρας γὰρ εὑρεῖν δυναμένους κατὰ συμβουλὴν οὐ ῥᾴδιον.

Ὑστάνης Ἱπποκράτει ἀσκληπιαδῶν ὄντι ἀπογόνῳ χαίρειν.

Νῦν ἔπεμψεν ὁ βασιλεὺς ἐπιστολὴν σεῦ χρήζων, ἔπεμψά σοι· γράψον οὖν πρὸς αὐτὴν κατὰ τάχος, ἵνα πρὸς βασιλέα πέμψω. ἔρρωσο.

Ἱπποκράτης ἰητρὸς Ὑστάνει ὑπάρχῳ Ἑλλησπόντου.

Ἔμπεμπε ἐς βασιλέα ὡς ὅτι ἐγὼ γράφω, ὅτι καὶ προσφορῇ καὶ ἐσθῆτι καὶ οἰκήσει καὶ πάσῃ τῇ ἐς βίον οὐσίῃ ἀρκεομένῃ χρέομαι. Περσῶν δ' ὄλβου οὔ μοι θέμις ἐπαυρέσθαι, οὐδὲ βαρβάρους ἄνδρας νούσων παύειν ἐχθροὺς ὄντας Ἑλλήνων.

Ἀβδηριτῶν τῇ βουλῇ.

Πολίτης ὑμέων Μελησαγόρης ἧκεν ἐς Κῶ, καὶ ἐτύγχανε τότε ἑορτὴ ἡ ἀνάληψις τῆς ῥάβδου ἐν ἐκείνῃ τῇ ἡμέρῃ, καὶ ἐτήσιος ὡς ἴστε πανήγυρις καὶ πομπὴ πανυτελὴς ἐς κυπαρισσὸν, ἣν ἔθος ἄγειν τοῖς τοῦ θεοῦ προσήκουσιν. ἐπεὶ δὲ σπουδάζειν ἐῴκει καὶ ἐκ τοῦ λόγου καὶ ἐκ τῆς προσόψιος ὁ Μελησαγόρας, πεισθεὶς ὅπερ ἦν ἐπείγειν τὸ πρῆγμα, ἀνέγνων τε ὑμέων τὴν ἐπιστολὴν, καὶ ἐθαύμασα ὅτι ἑνὸς ἀνθρώπου ὡς ἑνὸς αὐτὸς ἡ πόλις θορυβέεσθε. μακάριοι δῆμοι ὁκόσοι ἴσασι τοὺς ἀγαθοὺς ἄνδρας ἕρματα αὐτῶν, καὶ οὐ τοὺς πύργους οὐδὲ τὰ τείχεα ἀλλὰ σοφῶν ἀνδρῶν σοφὰς γνώμας. ἐγὼ δὲ πείθομαι τέχνας εἶναι θεῶν χάριτας, ἀνθρώπους δὲ ἔργα φύσιος. καὶ μὴ νεμεσήσητε ἄνδρες ἀβδηρῖται, οὐχ ὑμᾶς δοκέω· ἀλλὰ φύσιν αὐτὴν καλέειν ἐμὲ ἀνασῶσαι, κτῆμα ἑαυτῆς κινδυνεῦσον ὑπὸ νόσου διαπεσεῖν. ὥστε πρὸ ὑμέων ἐν φύσει καὶ θεοῖς ὑπακούω νοσεῦντα Δημόκριτον ἰήσασθαι, εἴγε δὴ καὶ νοσέων ἐστὶν· ἀλλὰ μὴ ἀπάτῃ συσκιάζεσθε, ὅπερ εὔχομαι· καὶ γένοιτο πλέον ἐλέγχειν ἡμῖν εὐνοίας τεκμήριον, ἢ πρὸς ὑπόνοιαν παραχθῆναι. ἀργύριον δέ μοι ἐρχομένῳ οὔτ' ἂν φύσις οὔτε θεὸς ὑπέχοιτο, ὥστε μὴ δ' ὑμέας ἀβδηρῖται βιάζεσθε, ἀλλ' ἐᾶτε ἐλευθέρης τέχνης ἐλεύθερα τὰ ἔργα. οἱ δὲ μισθαρνέοντες δουλεύειν ἀναγκάζουσι τὰς ἐπιστήμας, ὥσπερ ἐξανδραποδίζοντες αὐτὰς ἐκ τῆς προσ-

πέρας παῤῥησίας ἐθῶς εἰκὸς καὶ ψεύσαιντο ἂν ὡς περὶ μεγάλης
νούσου· καὶ ἀρνηθεῖεν ἂν ὡς περὶ μικρῆς, ἢ οὐκ ἂν ἔλθοιεν ὑποσχό-
μενοι, καὶ πάλιν ἔλθοιεν μὴ κληθέντες· οἷον ζόφος ὁ τῶν αἰτεόντων
βίος ὅτι διόλου αὐτοὺς πνεῦμα χειμέριον ἀφόρητος φιλαργυρίη
διαδέδωκεν, ἐφ' ἣν εἴθε μᾶλλον ἅπαντες ἰητροὶ συνήεσαν ἀπο-
θεραπεῦσαι χαλεπωτέρην μανίης νοῦσον ὅτι καὶ μακαρίζεται
νοσέουσα καὶ κακοῦσα. οἶμαι δὲ ἔγωγε τὰ τῆς ψυχῆς νοσήματα
πάντα μανίης σφοδρῆς εἶναι ἐμποιοῦντα δόξας τινὰς καὶ φαντα-
σίας τοῦ λογισμοῦ· ὃν ὁ δι' ἀρετῆς ἀποκαθαρθεὶς ὑγιάζεται. ἐγὼ δὲ
εἰ πλουτεῖν ἐξ ἅπαντος ἐβουλόμην ὦ ἄνδρες Ἀβδηρῖται, οὐκ ἂν
ἕνεκα δέκα ταλάντων διέβαινον πρὸς ὑμέας. ἀλλ' ἐπὶ τὸν μέγαν
ἐρχόμενος περσῶν βασιλέα ἔνθα πόλιες ὅλαι προσέσονται μοι τῆς
ἀνθρώπων εὐτυχίας γεγεμισμέναι, ἰώμην ἂν τὸν ἐκεῖ λοιμὸν αὐτῶν.
ἀλλὰ παρῃτησάμην ἐχθρὴν Ἑλλάδι χώρην ἐλευθερῶσαι κακῆς νού-
σου. κἀγὼ τὸ μὴν ἐπ' ἐμοὶ καταναυμαχῶ τοὺς βαρβάρους. εἰ χρ
δ' ἂν αἰσχύνην τὸν βασιλέως πλοῦτον καὶ πατρίδος ἐχθρὴν πε-
ριουσίην. περιεκείμην δ' ἂν αὐτὰ ὡς ἑλέπολις τῆς Ἑλλάδος ὑ-
πάρχων. οὐκ ἔστι πλοῦτος, τὸ πανταχόθεν χρηματίζεσθαι. με-
γάλα γὰρ ἱερὰ τῆς ἀρετῆς ἐπὶ δικαιοσύνην οἰκοδομούμενα,
ἀλλ' ἐμφανέα ἐόντα. ἢ οὐκ οἴεσθε ἴσον ἁμάρτημα σώζειν πολε-
μίους καὶ φίλους μισθοῦ. ἀλλ' οὐχ ὧδε ἔχει τὰ ἡμέτερα δημε. ἢ
καρποῦμαι δὲ νόσους, ὅδε διὸ ψῆς ἤκουσα τὴν δημοκρίτου παρά-
κροισιν. ὃς εἴτε ὑγιαίνει φίλος ἐστὶν, εἴτε νοσεύει θεραπευθεὶς, φίλος
πλέον ὑπάρξει. πυνθάνομαι δὲ αὐτὸν ἐμβριθέα καὶ στεῤῥὸν τὰ ἤ-
θεα καὶ τῆς ὑμετέρης πόλιος ἐόντα κόσμον.

Φιλο

Φιλοποίμενι χαίρειν.

Ι τὴν τῆς πόλιος ἐπιστολὴν ἀναδόντες μοι πρέσβεις, ταύ-
την ἀνέδοσαν. ἥσθην δὲ κάρτα ξενίην ὑπισχνουμένου σέο
καὶ τὴν ἑτέρην δίαιτην. ἔλθοιμεν δὲ ἀγαθῇ τύχῃ καὶ ἀφιξόμεθα ὡς
ὑπολαμβάνομεν χρηστοτέρῃσιν ἐλπίσιν, ὡς ἐν τῇ γραφῇ παραδεδή-
λωται, οὐ μανίην ἀλλὰ ψυχῆς τινα ῥῶσιν ὑπερβάλλουσαν διασα-
φέοντες ἀνδρὸς μήτε παίδων μήτε γυναικὸς μήτε συγγενέων
μήτε οὐσίης μήτε τινὸς ὅλως ἐν φροντίδι ἐόντος, ἡμέρην δὲ καὶ
εὐφρόνην πρὸς ἑωυτῷ κατεστεῶτος καὶ ἰδιάζοντος τὰ μὲν πολλὰ ἐν
ἄντροισι καὶ ἐρημίῃσιν ἢ ὑπὸ σκέπῃσι δενδρέων ἢ καὶ μαλθακῇσι
ποίῃσιν, ἢ παρ᾽ ἡσύχοισιν ὑδάτων ῥεέθροισι. συμβαίνει μὲν οὖν τὰ
πολλὰ τοῖς μελαγχολῶσι τοιαῦτα. σιγηροί τε γάρ ἐνίοτε καὶ μο-
νήρεες καὶ φιλέρημοι τυγχάνουσι. ἀπανθρωπεῦνταί τε ξύμφυ-
λον ὄψιν ἀλλοτριωτέην νομίζοντες. οὐκ ἀπεοικὸς δὲ καὶ τοῖς πε-
ρὶ παιδείαν ἐσπουδακόσι τὰς ἄλλας φροντίδας ὑπὸ μιῆς τῆς
ἐν σοφίῃ διαθέσιος σεσοβῆσθαι. ὥσπερ γὰρ δμῶες καὶ δμωΐδες ἐν
τῇσιν οἰκίῃσι θορυβέοντες καὶ στασιάζοντες ὁκόταν ἐξαπιναίως αὐ-
τοὺς ἡ δέσποινα ἐπιστῇ, πτοηθέντες ἐφησυχάζουσι, παραπλησίως
καὶ αἱ λοιπαὶ αἱ κατὰ ψυχὴν ἐπιθυμίαι ἀνθρώποισι κακῶν ὑ-
πηρέτιδες. ἐπὴν δὲ σοφίης ὄψις ἑωυτὴν ἐπιστήσῃ ὡς δοῦλα τὰ λοι-
πὰ πάθεα ἐκκεχώρηκε. ποθέουσι δὲ ἄντρα καὶ ἡσυχίαν, οὐ πάντως
οἱ μανέντες, ἀλλὰ καὶ οἱ τῶν ἀνθρωπίνων πρηγμάτων ὑπερφρο-
νέοντες ἀπραξίης ἐπιθυμίῃ. ὁκόταν γὰρ ὁ νοῦς ὑπὸ τῶν ἔξωθεν φρον-
τίδων κοπτόμενος ἀναπαύσασθαι θελήσῃ τὸ σῶμα, τότε ταχέως
ἐς ἡσυχίην μετήλλαξεν. εἶτα ἀναστὰς ὄρθιος ἐν ἑωυτῷ περισκο-
πεῖ κυκλωχορεῖον ἀληθείης, ἐν ᾧ οὐ γυνή, οὐ τέκνα, οὐ μήτηρ, οὐ κα-

οἱ συνήθεις, οὐ συγγενέες, οὐ δημῶται. οὐ δοῦλοι οὐδὲν τῶν θόρυβον ἐμποιούντων. πάντα δὲ ἀποκεκλεισμένα τὰ προσόντα ἔστηκεν ὑπὸ φόβου, οὐδὲ πλησιάσαι τολμέοντα ὑπὸ εὐλαβείης τῶν αὐτόθι οἰκεόντων. οἰκέουσι δὲ τὸ χωρίον ἐκεῖνο τέχναι καὶ ἀρεταὶ καὶ θεοὶ καὶ δαίμονες καὶ βουλαὶ καὶ γνῶμαι. καὶ ὁ μέγας πόλος ἐν ἐκείνῳ τῷ χωρίῳ τοὺς πολυκινήτους ἀστέρας κατέστησεν. εἰς ὃ παρὰ Δημοκρίτου ὑπὸ σοφίης μετοικήσας, ἐπεὶ οὐκ ἐθορέειν τοὺς ἐν τῇ πόλει ὀχλητικοὺς ἐκδεδημηκώς, δοξάζεται μανίης νοῦσον διὰ τὸ φιλέρημον. σπεύδουσι δὲ Ἀβδηρῖται ἀργυρίου ἐλέγχειν ὅτι οὐ ξυνιᾶσι Δημοκρίτου, ἀλλὰ σύ γε ἡμῖν κατάρτυε τὴν ξενίην ἑταῖρε φιλοποίμην. οὐ δὲ γὰρ ἐθέλω τεταραγμένην τῇ πόλει παραχεῖν ὄχλησιν ἐκ παλαιοῦ ἴδιον ἔχων ξένον σε ὡς εἴθα.

Διονυσίῳ χαίρειν.

Περίμενόν με ἐν Ἁλικαρνασσῷ, ἢ φθάσον αὐτὸς ἐλθὼν ὦ ἑταῖρε. κατὰ πᾶσαν γὰρ ἀνάγκην ἀπιτέον εἰς Ἄβδηρά μοι Δημοκρίτου χάριν. ἐφ᾽ ὃν νοσέοντα μετεπέμψατό με ἡ πόλις ἄλεκτος γάρ τοι ἡ συμπαθείη τῶν ἀνθρώπων δι᾽ ὃν νοσεῖ. ὡς μία ψυχὴ συννοσεῖ τῷ πολίτῃ. ὥστε μοι δοκέουσι καὶ αὐτοὶ θεραπείης δέεσθαι. ἐγὼ μὲν οἶμαι οὐδὲ νοῦσον αὐτὸ εἶναι, ἀλλὰ μετρίην παιδείης. οὐκ οὖσαν δὲ τῷ ὄντι ἀμετρίην ἀλλὰ νομιζομένην τοῖσιν ἰδιώτῃσιν, ἐπεὶ οὐδέποτε βλαβερὸν τὸ ἀρετῆς ἄμετρον. δόξα δὲ νούσου γίνεται τοῦτο διὰ τὴν τῶν κρινόντων ἀπαιδευσίην. δοκιμάζει δὲ ἕκαστος ἐξ ὧν αὐτὸς οὐκ ἔχει, τὸ ἐν ἄλλῳ πλεονάζον περισσεύειν. καὶ ἴσως που καὶ ὁ δειλὸς ἀμετρίην τὴν ἀνδρείην ὑπείληφε. καὶ ὁ φιλάργυρος τὴν μεγαλοψυχίην. καὶ πᾶσα ἔλλειψις ὑπερβάλλειν δοκέει τὸ ἀρετῆς σύμμετρον. ἐκεῖνοι μὲν οὖν αὐτὸν ἰδόντες μετὰ τῆς εὐηθείης προσνο-

σιος ἀκούσαντες τῶν λόγων αὐτοῦ ἄμεινον ἐσόμεθα. σὺ δὲ ἔ-
πειξον ὦ Διονύσιε παραγενέσθαι. βούλομαι γὰρ ἐν διατρίψαι σε
τῇ πατρίδι μου μέχρις ἂν ἐπανέλθω. ὅπως τῶν τε ἡμετέρων
φροντίζῃς καὶ πρὸ τῶν ἐμῶν τῆς πόλιος. ἐπειγόμην δ' οἶδ' ὅπως ἐκ
συντυχίης ὑγιεινὸν τὸ ἔτος ὂν καὶ τὴν ἀρχαίαν φύσιν ἔχον. ὥστε
οὐ πολλὰ παρενοχλέουσι νοῦσοι πλὴν ὅμως πάρισθι. οἰκήσεις δὲ
τὴν ἐμὴν συγκαιροῦσαν οἰκίην ἅτε καὶ τοῦ γυναίου μένοντος πρὸς
τοὺς γονέας διὰ τὴν ἐμὴν ἀποδημίην. ἐπισκόπει δὲ καὶ τὰ ἐ-
κείνης ὅκως διάγῃ σωφρόνως καὶ μὴ διὰ τὴν τοῦ ἀνδρὸς ἀπουσίην
ἄλλους ἄνδρας νομίσῃ. κόσμιον μὲν οὖν ἦν ἐξ ἀρχῆς καὶ τοὺς γονέας σπουδαί-
ους ἔχει. τὸν δὲ πατέρα ἀνδρικόν τε καὶ μισοπόνηρον ὑπερφυῶς
γέροντα. ἀλλ' ὅμως αἰεὶ χρήζει γυνὴ σωφρονίζοντος. ἔχει γὰρ φύ-
σει καὶ τὸ ἀκόλαστον ἐν αὐτῇ ὅπερ εἰ καθημερινὴν μὴ ἐκκόπτοιτο,
ὥσπερ τὰ δένδρα καθυλομανέει. ἐγὼ δὲ φίλον ἀκριβέστερον οἶμαι
ἐς φυλακὴν γυναικός. οὐ γὰρ ὡς ἐκεῖνος καὶ τουτέοισι συνοικέει
πάθος εὐνοίης. διὸ πολλάκις ἐπισκιάζονται τὴν νουθεσίην. φρο-
νιμώτερον δὲ ἐν παντὶ τὸ ἀπαθέστερον ἐὰν ᾖ ἐπιμελώμενον ὑπὸ
εὐνοίης.

Δημαινέτῳ χαίρειν.

Ἴδε παρὰ σοὶ γενόμενος ἐν Ῥόδῳ Δημάγητε τὴν ναῦν ἐκεί-
νην, ἁλίας ἐπιγραφὴν αὐτῇ σύγκαλόν τινα καὶ δί-
πρυμνον ἱκανῶς τε προσηρμένην καὶ διάβασιν ἔχουσαν πολλήν, ἔ-
μπροσθεν τὸ ναυτικὸν αὐτῆς ὡς ὀξὺ καὶ ἀσφαλὲς καὶ εὔτεχνον ὑπηρ-
εσίαι τὸ τοῦ πλοῦ τὴν δρομικήν. ταύτην ἐκπέμψον ἡμῖν, εἰ οἷόν τε
μὴ κώπαις, ἀγαθοῖς ἐρέτμοισιν αὐτήν. ἐπείγει οὖν τὸ πρῆγμα
φιλότης καὶ μάλα ἐς Ἄβδηρα διαπλεῦσαι πάντα χρῆ βουλόμενος ἐσε-
σθαι ἐς τὴν πόλιν διὰ γράμματα ἵνα Δημόκριτον ἀκέσωμαι τοῦ τὸ κλέος

τοῦ του ἡ πατρὶς αἰτίη του μανίῃ κεκακῶσθαι, ἐγώ τε βούλομαι μὴ ὄντως αὐτὸν παρακόπτειν, ἀλλ' ἐκείνοις δόξαν γίνεσθαι. γελᾷ φασιν ἀεί. καὶ οὐδέποτε παύεται γελῶν ἐπὶ παντὶ πρήγματι. σημεῖον αὐτοῖς τοῦτο μανίης δοκέει. ὅθεν λέγε τοῖς ἐν ῥόδῳ φίλοις μετριάζειν καὶ μὴ πολλὰ γελᾶν. μηδ' αὖ πολλὰ σκυθρωπάζειν. ἀλλὰ τουτέων ἀμφοῖν τὸ μέτριον κεκτῆσθαι. ἵνα τοῖς μὲν χαριέστατος εἶναι δόξῃς. οἷς δὲ φροντιστὴς περὶ ἀρετῆς μερμερίζων. ἔνι μέντοι δαμάγητε καὶ ὃν παρέκαστον αὐτοῦ γελῶντος. εἰ δ' ἡ ἀμετρίη φλαῦρον, τὸ διὰ παντὸς φλαυρότερον. εἰ δ' ἔτι μὴ αὖ αὐτῷ, δημόκριτε, καὶ νοσέοντος καὶ τιννυμένου καὶ τεθνεῶτος. καὶ πολιορκουμένου, καὶ παντὸς ἐμπίπτοντος κακοῦ, ἕκαστον τῶν πρησσομένων ὕλη σοι γέλωτος ὑπόκειται. οὐ θεμαχεῖς δὲ, εἰ δύο ἐόντοιν ἐν κόσμῳ λύπης καὶ χαρᾶς, σὺ θρασύτερον ἐκβέβληκας. μακάριος τ' ἂν ἦς. ἀλλ' ἀδυνάτων εἰ μήτε ἡ μήτηρ σοι νενόσηκε μήτε πατὴρ μήτε τὰ ὕστερον τέκνα. μὴ γυνὴ μὴ φίλος· ἀλλὰ διὰ τὸν σὸν γέλωτα ἵνα σώζηται εὐτυχέες τὰ πάντα. ἀλλὰ νοσεόντων γελᾷς. ἀποθνησκόντων χαίρεις. ἔτι που πύθοιο κακὸν εὐφραίνεαι. ὡς πονηρότατος εἶ δημόκριτε καὶ πόρρω γε σοφίης. ἢ νομίζεις αὐτὰ μὴ δὲ κακὰ εἶναι. μελαγχολᾷς οὖν ὦ δημόκριτε. κινδυνεύω καὶ αὐτὸς ἀβδηρίτης εἶναι. φρονιμωτέρη δὲ ἡ πόλις. ἀλλὰ περὶ μὲν τούτων ἀκριβέστερον ἐκεῖ λέξομεν δαμάγητε. ἡ δὲ ναῦς καὶ τὸν χρόνον τοῦτον ὃν ἐπιστέλλουσι χρονίζει.

Φιλοποίμενι χαίρειν.

Ὕπνους καὶ πεφροντικὼς ὑπὲρ δημοκρίτου ἐκείνῃ τῇ νυκτὶ καταδαρθὼν, πρὸς ἀρχομένῃ τῇ ἕω, ὄναρ ἐφαντάσθην. ὅθεν οὐ νομίζω κάρτα, μηδὲν ἐπισφαλὲς γενέσθαι. ἐκ παλτός τε διηγέρθην. ἐδόκεον γὰρ αὐτὸν τὸν ἀσκληπιὸν ὁρᾶν. Φαίνε-

σ

σθαί τε

ᾧ τε αὐτὸν πλησίον. ἤδη δὲ πρὸς ταῖς ἀβδηριτέων πύλαις ἐτυγ-
χάνομεν. ὁ δὲ ἀσκληπιὸς οὐχ ὡς εἰώθεισαν αὐτοῦ αἱ εἰκόνες, μεγάλ-
λός τε καὶ πρᾶος ἰδέσθαι κατεφαίνετο, ἀλλὰ διηγηγερμένος τῇ
σχέσει καὶ ἰδέσθαι φοβερώτερος. εἵποντο δὲ αὐτῷ δράκοντες, χρῆ-
μα τι ἑρπετῶν ὑπερφυές. ἐπειγόμενοι δὲ καὶ αὐτοὶ μακρῷ τῷ ἐπι-
σύρματι. καί τι φρικῶδες ὡς ἐν ἐρημίῃ καὶ νάπῃσι κοίλῃσιν ὑπο-
συρίττοντες. οἱ δὲ κατόπιν ἑταῖροι κίστας φαρμάκων εὖ μάλα πε-
ρισφηκωμένας ἔχοντες ἤεσαν. ὤρεξε δέ μοι τὴν χεῖρα ὁ θεός. κἀ-
γὼ λαβόμενος ἄσμενος, ἐλιπάρεον συνέρχεσθαι· καὶ μὴ καθυστε-
ρέειν τί μου περὶ θεραπείης. ὁ δὲ οὐδέν τι ἔφη ἐν τῷ παρόντι χρή-
ζεις ἐμέο, ἀλλά σε αὕτη ξεναγήσει θεὸς ἀθανάτων τε καὶ θνητῶν.
ἐγὼ δὲ ἐπιστραφεὶς ὁρέω γυναῖκα καλήν τε καὶ μεγάλην ἀσφα-
λέως πεπλεκισμένην· λαμπρείμονα. διέλαμπον δὲ αὐτῆς οἱ τῶν
ὀμμάτων κύκλοι καθαρόν τι φῶς οἷον ἀστέρων μαρμαρυγαὶ δοκέ-
ειν. καὶ ὁ μὲν δαίμων ἐχωρίσθη. κείνη δὲ ἡ γυνὴ πιέξασά με τοῦ καρ-
ποῦ μαλθακῇ τινι εὐτονίῃ διὰ τοῦ ἄστεος ἦγε φιλοφρονουμένη. ὡς
δὲ πλησίον τῆς οἰκίης ἦμεν ἵνα τὴν ξενίην ἐδόκεον ἠυτρεπίσθαι,
ἀπῄει ὡς φάσμα. μόνον εἰποῦσα αὔριόν σε παρὰ δημοκρίτῳ κα-
ταλήψομαι. ἤδη δὲ αὐτῆς μεταστρεφομένης δέομαι ἔφην ἀρί-
στη τίς εἶ, καὶ τίνα σε καλέομεν. ἡ δὲ, ἀλήθεια ἔφη. αὕτη δὲ ἣν προσιοῦ-
σαν ὁρᾷς καὶ ἐξαίφνης ἑτέρη τις κατεφαίνετο ἰταμὴ μὲν ἠδὲ αὐ-
τὴ θρασυτέρη δὲ καὶ σεσοβημένη, δόξα ἔφη καλέεται. κατοικέει δὲ
παρὰ τοῖσιν ἀβδηρίτῃσιν. ἐγὼ μὲν οὖν ἀναστὰς ὑπεκρινάμην ἐμαυ-
τῷ τὸ ὄναρ ὅτι οὐδὲν ἔσοιτο ἰητροῦ δημόκριτος. ὅπου γε αὐτὸς ὁ θε-
ραπεύων θεὸς ἀπέστη, οὐκ ἔχων ὕλην θεραπείης· ἀλλὰ μὲν ἀλήθεια
τὸ ὑγιαίνειν παρὰ δημοκρίτῳ μένει. ἡ δὲ τὸ νοσέειν αὐτὸν δόξα πα-

ραβδηρίτῃσιν ὄντως κατοικέει. ταῦτα πιστεύω ἀληθέα εἶναι φιλο-ποίμην. καὶ ἔστι καὶ οὐκ ἀπογινώσκω τὰ ὀνείρατα. μάλιστα δ' ὁκό-ταν καὶ τάξιν διαφυλάττῃ. ἰητρικὴ δὲ καὶ πάνυ μαντικῇ συγγε-νής ἐστιν. ἐπεὶ τῶν δύο τεχνέων εἷς πατὴρ ὁ ἀπόλλων ὁ καὶ πρόγο-νος ἡμῶν, ἐσομένας νούσους προαγορεύων καὶ νοσέοντας ἰώμενος.

## Κρατεύᾳ χαίρειν.

Γίνωσκε μέν σε ῥιζοτόμον ἄριστον ἑταῖρε. καὶ διὰ τὴν ἄσκησιν καὶ διὰ τὸ προγόνων κλέος ὡς μηδὲν ἀπιδεῖν σε τοῦ προπάτορος κρατεύα. νῦν οὖν εἰ καί ποτε ἄλλοτε βοτανολόγησον ὁκόσα τε καὶ οἷα δυνήσεαι. ἀναγκαίη γὰρ ἐπείγει. καὶ διαπέμψαιμι αὐτὰ ἐπ' ἀνδρὶ ὅλῃ πόλει ἰσοστάσιον ἀβδηρίτην μὲν, ἀλλὰ δημόκριτον. νοσέειν γὰρ αὐτόν φασι καὶ καθάρσιος μάλα χρῄζειν ἐντὸς μανίης ἐόντα. μὴ χρησαίμεθα μὲν οὖν τοῖς φαρμάκοις ὥσπερ καὶ πέπεισμαι. ἀλλ' ὅμως εὐτρεπίσασθαι χρὴ πανταχόθεν. τὸ δὲ χρῆμα τῶν βοτανῶν πολλάκις παρὰ σοὶ ἐθαύμασα ὡς καὶ τὴν τῶν ὅλων φύσιν τε καὶ διάταξιν καὶ τὸ ἱερώτατον τῆς γῆς ἵδρυμα. ἐξ ἧς τὰ ζῶα καὶ τὰ φυτὰ καὶ τροφαὶ καὶ φάρμακα καὶ τύχη καὶ ὁ πλοῦτος αὐτὸς ἀναφύεται. οὐδὲ γὰρ εἶχεν οἱ ἐπιβῆ ἡ φιλαργυρίη. οὐδ' ἂν ἀβδηρεῖται μὲν νῦν δέκα ταλάντοισι ἐδελέαζον, ἀντὶ ἰητροῦ μισθωτὴρ ἐλέγχοντες. εἴθε δὲ ἦ δυνατὸς κρατεύα φιλαργυρίης τὴν πικρὰν ῥίζαν ἐκκόψαι ὡς μηδὲν αὐτῆς λείψανον ἀφεῖναι. εὖ ἴσθι ἐκαθήραμεν ἂν τῶν ἀνθρώπων μετὰ τῶν σωμάτων τὰς ψυχάς. ἀλλὰ ταῦτα μὲν εὐχαί. σὺ δ' ἐμὶν τὸ παρεὸν μάλιστα τὰς ὀρεινὰς καὶ ὑψηλοφύτους ῥιζοτόμει βοτάνας. στερεώτεραι γὰρ τῶν ὑδρηλοτέρων εἰσί. καὶ δριμύτεραι μᾶλλον διὰ τὴν τῆς γῆς πυκνότητα

καὶ τὴν

καὶ τὴν λεπτότητα τοῦ ἠέρος. ὅτι δὲ ἕλκεσιν ἐμψυχότερόν ἐστι. πει-
ράθητι δ' ὅμως καὶ τὰς παρὰ λίμνῃσιν ἐλείους πεφυκυίας ἀνθο-
λογῆσαι καὶ τὰς παραποταμίους ἢ κρηνίτιδας παρ' ἡμῖν καλεο-
μένας ἀσθενέας καὶ ἀτόνους καὶ γλυκυχύλους εἶναι πέπεισμαι. ταύ-
τας δὲ ὁκόσαι χυλοὶ καὶ ὁποὶ ῥέοντες, ἐν ὑελοῖς ἀγγείοισι φερέσθω-
σαν. ὁκόσα δ' αὖ φύλλα ἢ ἄνθεα, ἐν κώθωσι περιεσφηκωμένοισι.
ὅκως μὴ διαρριπιζόμενα τῇσι πνοιῇσιν ἐκλύηται τὸν τόνον τῆς
φαρμακείης ὥσπερ ἀποψυχόσαντα. ἀλλ' εὐθὺς ἡμῖν ταῦτα πέμ-
ψον. καὶ γὰρ ἡ ὥρα τοῦ ἔτεος ἁρμόδιος. καὶ ἡ ἀνάγκη τῆς λεγομέ-
νης μανίης ἐπείγει. τέχνης δὲ πάσης μὲν ἀλλότριον ἀναβολή. ἰη-
τρικῆς δὲ καὶ πάνυ. ἐν ᾗ ψυχῆς κίνδυνος ἡ ὑπέρθεσις. ψυχαὶ δὲ
τῶν θεραπειῶν οἱ καιροὶ ὧν ἡ παραφυλακὴ τὸ τέλος. ἔλπομαι
οὖν ὑγιέα εἶναι Δημόκριτον καὶ δίχα ἰήσεως. εἰ δ' ἄρα τι σφάλμα φύ-
σιος ἢ καιροῦ ἢ ἄλλη τις αἰτίη ἐγγένοιτο, πολλὰ γὰρ αὖ ἡμᾶς θνη-
τοὺς ἐόντας λάθοι ἅτε μὴ παρέχει μηδ' ἀτρεκίης οὕτω νοέοντας περὶ
τὸ ἄδηλον, πᾶσαν χρεὼ δυνάμιν ἠθροῖσθαι. οὐ γὰρ ἀρκέεται ὁ κιν-
δυνεύων οἷς δυνάμεθα, ἀλλ' ἐπιθυμεῖ καὶ ἃ μὴ δυνάμεθα. καὶ σχεδὸν
αἰεὶ πρὸς δύο στρατευόμεθα τέλεα. τὸ μὲν, ἀνθρώπου. τὸ δὲ τέχνης.
ὧν τὸ μὲν, ἄδηλον. τὸ δὲ, τῆς ἐπιστήμης ὥρισται. δεῖ δὲ ἐν ἀμφοτέροισι τού-
τοισι καὶ τύχης. τὸ δὲ ἀπείρατον ἐν τοῖσι καθάρσεσι δ' εὐλαβέως ἰόν-
των. καὶ στομάχου κάθαρσιν ὑφορώμεθα καὶ συμμετρίην φαρμακείης
πρὸς ἀγνοουμένην φύσιν στοχαζόμεθα. οὐ γὰρ ἡ αὐτὴ καὶ μία φύσις
ἁπάντων. ἑτέρη δ' αὖ ἐπὶ πρὸς ἑκάστην ὁρίζουσιν οἰκέειν. ἐνίοτε δὲ καὶ τὰς
βοτάνησι πολλὰ τῶν ἑρπετῶν ἐνιοβόλησε. καὶ προσεχανόντα τῇ ἐντὸς αὐ-
τῶν κάκωσιν αὐτὰ λέξει αὐτοῖσι προσεπέπνευσεν. εἰ μή τις ἄρα καὶ λὶς

ἢ σπίλος ἢ ὀδμὴ θηλυώδης καὶ ἀπηνὴς τοῦ γινομένου σύμβολον φανέει. ἔτι τέχνη διὰ τὸ σύμπτωμα τῆς τύχης τῆς κατορθώσιος ἀφήμαρτε. βεβαιότεραι δ' εἰσὶν αἱ δι' ἐλλεβόρων διὰ τούτου καθάρσιες, αἷς καὶ Μελάμπους ἐπὶ τῶν Προίτου θυγατέρων καὶ ἀντικυρεὺς ἐφ' Ἡρακλέα ἱστορέονται κεχρῆσθαι. μὴ χρησώμεθα δ' ἡμέες ἐπὶ Δημοκρίτου μηδενὶ τουτέων. ἀλλὰ γίνοιτο ἐκείνῳ τῶν δραστικωτέρων φαρμάκων σοφίη.

Δημαγήτῳ χαίρειν.

Οὐ τοῦτο ἐκεῖνο Δαμάγητε ὅπερ εἰκάζομεν. οὐ παρέκοπτε Δημόκριτος, ἀλλὰ πάντας ὑπερεφρόνεε καὶ ἡμέας ἐσωφρόνιζε. καὶ δι' ἡμέων ἐσωφρόνιζε πάντας ἀνθρώπους. ἔπεμψά σοι φιλότης ὡς ἀληθέως τὴν ἀσκληπιάδα ῥηΐα ἢ προσθέσ. μετὰ τοῦ ἁλίου ἐπίσημοι καὶ ὑγιείην. ἐπεὶ κατὰ δαίμονα τῷ ὄρτι ἱστοδρόμηκε. καὶ ἐκείνῃ τῇ ἡμέρῃ κατέπλευσεν εἰς Ἄβδηρα. ἤπερ αὐτοῖς ἐπεστάλκειν ἀφίξεσθαι. πάντας δὲ ἀολλέας πρὸ τῶν πυλῶν εὕρομεν ὡς εἰκὸς ἡμέας περιμένοντας, οὐκ ἄνδρας μόνον ἀλλὰ καὶ γυναῖκας. ἔτι δὲ καὶ πρεσβύτας καὶ παιδία νὴ τοὺς θεοὺς κατηφέα καὶ τὰ νήπια. οὗτοι μέντοι ὧδε εἶχον ὡς ἐπὶ μαινομένῳ τῷ Δημοκρίτῳ. ὁ δὲ μετὰ ἀκριβείας τότε ὑπερεφιλοσόφεεν. ἐπεὶ δέ με εἶδον, ἔδοξαν μικρὸν ἑωυτῶν γεγενέναι καὶ χρηστὰς ἐλπίδας ἐποιέοντο. ὁ δὲ Φιλοποίμην ἄγειν με ἐπὶ τὴν ξενίην ὥρμητο. κἀκείνοισι συνεδόκεε τοῦτο. ἐγὼ δὲ ἔφην ὦ Ἀβδηρῖται οὐδὲν ἡμῖν προὔργου ἢ Δημόκριτον θεήσασθαι. οἱ δὲ ἐπῄνεον ἀκούοντες καὶ ἥσθησαν. ἦγόν τε συντόμως διὰ τῆς ἀγορῆς. οἱ μὲν ἑπόμενοι, οἱ δὲ προθέοντες ἑτέρωθεν ἕτεροι, σῶζε σῶσον λέγοντες βοήθει θεράπευσον. κἀγὼ παρηγόρεον θαρρέειν ὡς τάχα μὲν οὐδενὸς κακοῦ πέλοντος ἐτησίῃσιν ὥρῃσιν. εἰ δ' ἄρα καί τινος βραχέος εὐδιορθώτου. καὶ ἅμα ταῦτα λέγων ᾔειν.

οὐ δὲ

οὐδὲ γὰρ πόῤῥω ἦν ἡ οἰκίη. μᾶλλον δὲ ἦδε ἡ πόλις. περὶ ἑσπέρην οὖν. πλησίον γὰρ τοῦ τείχεος ἐτύγχανε. καὶ ἀναγνωσίμη ἡ συχνή. ἔπειτα κατόπιν τοῦ πύργου βουνός τις ὑψηλὸς μακρῇσι καὶ λασίῃσιν αἰγείροις ἐπίσκιος. ἔνθεν ἐθεώρεον τὰ τοῦ δημοκρίτου καταγώγια. καὶ αὐτὸς ὁ δημόκριτος ἐκάθητο ὑπό τινι ἀμφιλαφεῖ καὶ χθαμαλῇ πλατανίστῳ ἐν ἐξωμίδι παχείῃ. μοῦνος. ἀνήλειφος. ἐπὶ λιθίνῳ θώκῳ. ὠχριακὼς πάνυ καὶ λεπτόσαρκος. κουρεῶν τὰ γένεια. παρ' αὐτὸν δὲ ἐπὶ δεξιῶν, λεπτὸν ῥέον ὕδωρ κατὰ πρανοῦς τοῦ λόφου ἠρεμέως ἐκελάρυζεν. ἦν δέ τι τέμενος ὑπὲρ ἐκεῖνον τὸν λόφον, ὡς ἐνυπονοίῃ κατεικάζοντι νυμφέων ἱδρυμένον αὐτοφύτοισιν ἐπηρεφὲς ἀμπέλοισιν. ὁ δὲ εἶχεν ἐν ἀκοσμίῃ πολλῇ ἐπὶ τοῖν γονάτοιν βιβλίον. καὶ ἕτερα δέ τινα ἐξ ἀμφοῖν τοῖν μερέοιν αὐτῷ παραβέβλητο. σεσώρευτο δὲ καὶ ζῶα συχνὰ ἀνατετμημένα δι' ὅλων. ὁ δὲ ὁτὲ μὲν συντόνως ἔγραφεν ἐγκείμενος. ὁτὲ δὲ ἠρέμει. πολλὰ τὲ ἐπέχων καὶ ἐν ἑωυτῷ μερμηρίζων. εἶτα μετ' οὐ πολὺ τούτων ἐρδομένων ἐξαναστὰς περιεπάτεε. καὶ τὰ σπλάγχνα τῶν ζώων ἐπεσκόπεε. καὶ καταθεὶς αὐτὰ μετελθὼν ἐκαθέζετο. οἱ δὲ ἀβδηρεῖται περιεστῶτες μεγάλα κατηφέες, καὶ οὐ πόῤῥω τὰς ὄψιας δακρύων ἔχοντες, φασίν. ὁρᾷς μὲν τοι τὸν τοῦ δημοκρίτου βίον, ὦ μέμνημαι ἱππόκρατες. καὶ οὔτε ὅ, τι θέλει οἶδεν, οὔτε ὅ, τι ἔρδει. καί τις αὐτῶν μᾶλλον ἐνδείξασθαι βουλόμενος τὴν μανίην αὐτοῦ, ὀξὺ ἐκώκυσεν. ἴκελος γυναικὶ ἐπὶ θανάτῳ τέκνου ὀλοφυρομένῃ. εἶτα ὀδύρετο ὑποκρινόμενος παροδίτην ἄλλος ὀλέσαντα ὃν διεκόμιζε. καὶ ὁ δημόκριτος ἀκούων τὰ μὲν ἐμειδία. τὰ δὲ ἐξεγέλα οὐκ ἐπέχων γράφων. τὴν δὲ κε

φαλιωθῆμιν ἃ ἐμπέσειεν. ἐγὼ δὲ, ὑμεῖς μὲν ἔφην ὦ ἀβδηρῖται αὐ-
τοῦ μένετε. ἐγγυτέρω δὲ αὐτὸς καὶ λόγου καὶ σώματος τἀνδρὸς
γενηθεὶς, ἰδὼν καὶ ἀκούσας, εἴσομαι τοῦ πάθεος τὴν ἀλήθειαν. καὶ
ταῦτα εἰπὼν, κατέβαινον ἡσυχῆ. ἦν δὲ ὀξὺ καὶ ἐπίφορον ἐκεῖνο
τὸ χωρίον. μόλις οὖν διασκελιζόμενος διῆλθον. ἐπεὶ δὲ ἐπλησία-
ζον, ἔτυχε τότε ἐπελθὸν αὐτῷ ὁ, τί ποτε γράφων ἐνθουσιωδῶς
καὶ μεθ' ὁρμῆς. εἱστήκειν οὖν περιμένων αὐτέου τὸν καιρὸν τῆς ἀνα-
παύσιος. ὁ δὲ μετὰ μικρὸν τῆς φορῆς λήξας τοῦ γράφειν, προσέ-
βλεψε πρὸς ἐμὲ προσιόντα καί φησι. χαῖρε ξεῖνε. κἀγὼ, πολλὰ
δὲ καὶ σὺ δημόκριτε ἀνδρῶν σοφώτατε. ὁ δὲ αἰδεσθεὶς οἶμαι ὅτι ὀνό-
ματι οὐ προσεῖπέ με, σὺ δὲ ἔφη τίνα καλέομαι; ἀγνοίῃ γὰρ τοῦ σοῦ
ὀνόματος, πρόφασις ἐστὶ τοῦ ξεῖνε προσηγορίας. ἱπποκράτης ἔφην
ἔμοιγε ὄνομα ὁ ἰητρός. ὁ δὲ εἶπεν. ἡ τῶν ἀσκληπιαδῶν εὐγένεια; πο-
λὺ γὰρ σευ τὸ κλέος τῆς ἐν ἰητρικῇ σοφίης περιφοίτηκεν ὡς ἐμέ.
τί δὲ σε χρέος δεῦρ' ἤγαγεν ἑταῖρε. μᾶλλον δὲ πρὸ πάντων κάθισον.
ὁρᾷς δὲ τὸν οὕτως οὐκ ἀηδῆ φύλλων θημῶνα ὡς χλοερὸς καὶ μα-
λακός ἐστι καθίσαι. καὶ προσηνέστερος τῆς τύχης ἐπιφθόνων θώ-
κων. καθίσαντος δέ μου πάλιν φησίν. ἴδιον οὖν, τὸ ἐπιδήμιον δι-
ζήμενος πρῆγμα δεῦρο ἀφῖξαι. φράζε σαφέως. καὶ γὰρ ὁμέως ὅτι
δυναίμεθα συνεργήσομεν. κἀγὼ τὸ μὲν κατ' ἀληθείην ἔφην ἕνεκα
σεῦ. δεῦρο γὰρ ἥκω σοὶ συντυχεῖν ἀνδρὶ σοφῷ. ἔχει δὲ πρόφασιν
ἡ πατρὶς, ἧς πρεσβείαν τελῶ. ὁ δὲ, ξενίῃ τοίνυν τὰ πρῶτα κέχρησο
ἡμετέρῃ. πειρώμενος δὲ κατὰ πάντα τἀνδρὸς, καίτοι ἤδη μοι δῆ-
λου μὴ παρακόπτειν, φιλοποίμενα οἶσθα ἔφην, πολιήτην ἐόντα
ὑμέτερον; ὁ δὲ ὦ μάλα ἔφη εἰ τὸν δάμωνος λέγεις υἱὸν, τὸν οἰκέον-

τα

τὰ περὶ τὴν ἑρμαΐδα κρήνην, τουτέων εἰ ποιέων τυγχάνοι ἐκ πατέρων ἰδιόξενος. ἀλλὰ σὺ δημόκριτε τῇ κρέσσονί με ξενίῃ δέχου. καὶ πρῶτόν γε τί ἐστι τοῦτο ὃ γράφων τυγχάνεις φράζε. ὁ δὲ ἐπισχὼν ὀλίγον, περὶ μανίης ἔφη. κἀγὼ, ζεῦ βασιλεῦ, φημὶ, εὐκαίρως γε ἀντιγράφεις πρὸς τὴν πόλιν. ὁ δὲ, ποίην φησὶ πόλιν ἱππόκρατες. ἐγὼ μὲν οὐδὲν ἔφην ὦ δημόκριτε. ἀλλ' οὐκ οἶδ' ὅπως προὔπεσον. ἀλλὰ τί περὶ μανίης γράφεις. τί γὰρ εἶπεν ἄλλο, ἢ τίς πέλει, καὶ ὁκόσα ἀνθρώποισιν ἐγγίνεται. καὶ τίνα τρόπον ἀπολωφέοιτο. τὰ γὰρ ζῷα ταῦτα ἔφη ὁκόσα ὁρᾷς, τούτου μὲν τοι γε εἵνεκα ἀνατέμνω. οὐ μισέων θεοῦ ἔργα. χολῆς δὲ διζήμενος φύσιν καὶ θέσιν. οἶσθα γὰρ ἀνθρώπων παρακοπῆς ὡς αἰτίη ἐπιπολὺ αὕτη πλεονάσασα. ἐπεὶ πᾶσι μὲν φύσει ἐνυπάρχει. ἀλλὰ παρ' οἷς μὲν ἐλάσσω παρ' οἷς δέ τισι πλέων. ἡ δὲ ἀμετρίη αὐτῆς νοῦσοι τυγχάνουσιν ὡς ὕλης ὁτὲ μὲν ἀγαθῆς ὁτὲ δὲ φαύλης ὑποκειμένης. κἀγὼ νὴ δί' ἔφην ὦ δημόκριτε ἀληθέως τε καὶ φρονίμως λέγεις. ὅθεν εὐδαιμονίζω σε κείνης, ἀπολαύοντα τοσαύτης ἡσυχίας. ἡμῖν δὲ μετέχειν ταύτης οὐκ ἐπιτέτραπται. ἐρόμενος δὲ διὰ τί ἱππόκρατες οὐκ ἐπιτέτραπται, ὅτι ἔφην ἢ ἀποικίη ἢ τέκνα ἢ δάνεια. ἢ νοῦσοι ἢ θάνατοι ἢ δμῶες ἢ γάμοι ἢ τοιαῦτά τινα τὴν εὐκαιρίην ὑποτέμνεται. ἐνταῦθα δὴ ὁ ἀνὴρ εἰς τὸ εἰωθὸς πάθος κατηνέχθη. καὶ μάλα ἀθρόως τι ἀνεκάγχασε. καὶ ἐπετώθασε. καὶ τὸ λοιπὸν ἡσυχίαν ἦγε. καὶ ἐγώ τί μὲν γε ἔφην ὦ δημόκριτε καταγελᾷς. πότερον τὰ ἀγαθὰ ὧν εἶπον ἢ τὰ κακά. ὁ δὲ, ἔτι μᾶλλον ἐγέλα. καὶ ἄποθεν ὁρῶντες οἱ ἀβδηρῖται, οἱ μὲν τὰς κεφαλὰς αὐτῶν ἐπαίοντο. οἱ δὲ τὰ μέτωπα. οἱ δὲ τὰς τρίχας αὐτῶν ἔτιλλον. καὶ γὰρ ὡς ὕστερον ἔφασαν. πλεονάζοντι παρὰ τὸ εἰωθὸς

κατηνέχθη. ὦ μακάριοι, ἦ τι ἐχρήσαντο τῷ γέλωτι. ὑποτυχὼν δὲ ἐγὼ ἔφην· ἀλλὰ μὴν σοφῶν ἄριστε Δημόκριτε, ποθέω γε τὴν αἰτίην τοῦ περὶ σὲ πάθεος καταλαβέσθαι, τίνος ἄξιος ἐφάνην ἐγὼ γέλωτος αὐτὸς ἢ τὰ λαληθέντα. ὅκως ἢ μαθὼν παύσωμαι τῆς αἰτίης, ἢ σὺ ἐλεγχθεὶς, διακρούσῃ τοὺς ἀκαίρους γέλωτας. ὁ δὲ, Ἡράκλεις ἔφη. εἰ γὰρ δυνήσῃ με ἐλέγξαι, θεραπείην θεραπεύσεις οἵην οὐδένα πώποτε Ἱππόκρατες. καὶ πῶς οὐκ ἐλεγχθήσῃ ἔφη ὦ ἄριστε. ἢ οὐκ οἴῃ, ἄτοπος γε εἶναι γελῶν θάνατον ἀνθρώπου. ἢ νοῦσον ἢ παρακοπὴν ἢ σφαγὴν ἢ αὖ ὅτι χαίρει. ἢ γοῦν μὴ πάλιν γάμους ἢ πανηγύρεας ἢ τεκνογονίην ἢ μυστήρια ἢ ἀρχὰς ἢ τιμὰς ἢ ἄλλο ὅλως ὄνομα ἀγαθόν. καὶ γὰρ ἃ δεῖ οἰκτείρειν, γελᾷς. ὦ ἐφ' οἷσιν ἥδεσθαι χρὴ, καταγελᾷς τούτων. ὥς τε μήτε ἀγαθὸν μήτε κακὸν παρὰ σοὶ διακεκρίσθαι. ὁ δὲ, ταῦτα μὲν δὴ λέγεις Ἱππόκρατες. ἢ δ' οὐκ οἶσθα τὸ ἡμέτερον γέλωτος αἴτιον. μαθὼν δὲ, εὖ οἶδ' ὅτι κρείσσονα τῆς πρεσβείας ἀντιφροντισάμενος, ἀποίσῃ θεραπείην τὸν ἐμὸν γέλωτα τῇ πατρίδι. καὶ ἑαυτὸν καὶ τοὺς ἄλλους δυνήσῃ σωφρονίζειν. αὐτῶν ἴσως καί με διδάξεις ἰητρικὴν ἀμοιβηδόν. γνοὺς οἵην σπουδὴν περὶ τὰ ἀσπούδαστα φιλοτιμούμενοι πρήσσειν τὰ μηδενὸς ἄξια πάντες ἄνθρωποι, τὸν βίον ἀχρήστως ἀναλίσκουσι, γέλωτος ἄξια διαποιοῦντες. ἐγὼ δὲ φημὶ, λέγε πρὸς θεῶν. μήποτε γὰρ διαλανθάνει νοσέων πᾶς ὁ κόσμος ὦ οὐδὲ ἔχει ὅκου διαπέμψῃ τοὺς πρεσβέην πρὸς θεραπείην; τί γὰρ ἂν εἴη ἔξω αὐτοῦ. ὁ δὲ, ὑπολαβὼν, πολλαὶ γὰρ φησὶν ἀπειρίαι κόσμων εἰσὶν ὦ Ἱππόκρατες. καὶ μηδαμῶς ἐπαίρε κατασμικρολόγει πλουσίην τὴν φύσιν ἐοῦσαν. ἀλλὰ ταῦτα μὲν ἔφην ὦ Δημόκριτε διδάξεις ἐν ἰδίῳ καιρῷ. εὐλαβέομαι δὲ μῆκος καὶ τὴν ἀπειρίην λεξίων, γελᾷν ἄρξῃ. ἴσθι τοίνυν

περὶ

περὶ τοῦ σοῦ γέλωτος τῷ βίῳ λόγον δώσων. ὁ δὲ μάλα τρηχὺ ἀ-
πιδών με, δύο φησὶ τοῦ μοῦ γέλωτος αἰτίας δοκέεις, ἀγαθὰ καὶ
φλαῦρα. ἐγὼ δ᾽ ἕνα γελῶ τὸν ἄνθρωπον. ἀνοίης μὲν γέμοντα. κενὸν
δὲ πρηγμάτων ὀρθῶν, πάσῃσιν ἐπιβολῇσι νηπιάζοντα. καὶ
μηδεμιῆς εἵνεκεν ὠφελείης ἀνύοντα τοὺς ἀνηνύτους μόχθους.
πείρατα γῆς καὶ ἀορίστους μυχοὺς ἀμετρίῃς ἐπιθυμίῃ ὁδεύον-
τα. ἄργυρον τήκοντα καὶ χρυσόν. καὶ μὴ παυόμενον τῆς κτή-
σιος ταύτης. ἀεὶ δὲ θορυβεύμενον περὶ τὸ πλέον ὅκως αὐτὸς ἐ-
λάσσων γένηται. καὶ οὐδὲν αἰσχύνεται λεγόμενος εὐδαίμων. ὅτι
χάσματα γῆς ὀρύσσει δεσμίων χερσίν. ὧν οἱ μὲν ἐπὶ συμπτώσι τῆς
πυκνῆς τῆς γῆς ἐφθάρησαν. οἱ δὲ πολλῷ χρόνῳ ταύτην ἄγοντες
τὴν ἀνάγκην ὡς ἐν πατρίδι τῇ κολάσει καταμένουσιν, ἄργυ-
ρον καὶ χρυσὸν μαστεύοντες. ἴχνη κόνιος καὶ ψήγματα ἐρευνῶν-
τες, ψάμμον ἄλλην ἀλλαχόθεν ἀγείροντες καὶ γῆς φλέβας ἐκ-
τέμνοντες ἐς περιουσίην ἀεὶ βωλοποιοῦντες ἐκ γῆς μητρός. τὴν
δὲ μίην γῆν καὶ τὴν αὐτὴν ἐοῦσαν καὶ θαυμάζουσι καὶ πατοῦ-
σιν. ὅσος γέλως ἐπὶ μόχθου, καὶ κρυφίης τῆς ἐρῶσι. καὶ τὴν φα-
νερὴν ὑβρίζουσι. κύνας ὠνέονται οἱ δὲ ἵππους. οἱ δὲ χώρην πολ-
λὴν περιορίζοντες, ἰδίην ἐπιγράφουσι. καὶ πολλῶν ἐθέλοντες
δεσπόζειν, οὐδ᾽ αὐτῶν δύνανται. γαμέειν σπεύδουσιν ἃς μετ᾽ ὀλίγον ἐκ-
βάλλουσιν. ἐρῶσιν εἶτα μισοῦσι. μετ᾽ ἐπιθυμίης τεκνοῦσιν, εἶτα
ἐκβάλλουσι τελέως. τίς ἡ κενὴ σπουδὴ καὶ ἀλόγιστος, μηδὲν μανίης
διαφέρουσα. πολεμοῦσιν ἔμφυλα. ἠρεμίην οὐχ αἱρετίζουσιν. αὐτε-
πιβουλεύουσι βασιλέας ἀνδροφονέουσι. γῆν ὀρύττοντες, ἄργυρον ζη-
τοῦσι. ἄργυρον εὑρόντες γῆν θέλουσι πρίασθαι. ὠνησάμενοι γῆν, καρ-
ποὺς πιπράσκουσι. καρποὺς ἀποδόμενοι, πάλιν ἀργύριον με-

τὰ λαμβάνουσιν. ἔνδοσι μετὰ βελτίστων εἰσίν, ἔνδοσι κακίης. οὐδὲν
μὴ ἔχοντες οὐσίην ποθέουσιν. ἔχοντες κρύπτουσιν. ἀφανίζουσι. γε-
λῶ ἐφ' οἷσι κακοπραγέουσιν. ἐπιτείνω τὸν γέλωτα ἐφ' οἷς δυστυχέουσι.
θεσμοὺς γὰρ ἀληθείης παραβεβήκασι. φιλονεικέοντες ἐχθρῶ-
ς ἀλλήλους, ὅκεν ἔχουσι μετὰ ἀδελφεῶν καὶ γονέων καὶ πολιτέ-
ων καὶ ταῦτα ὑπὲρ τοιούτων κτημάτων, ὧν οὐδεὶς θανὼν δεσπό-
της ἐστί. ἀλλήλοις τελέουσιν ἄθεσμα διαφονεύοντες. φίλων καὶ πα-
τρίδων ἀπορίην ὑπερορῶσι. πλουτίζουσι τὰ ἀνάξια καὶ τὰ ἄψυχα.
ὅλης τῆς οὐσίης ἀνδριάντας ὠνέονται. ὅτι δοκέει λαλεῖν τὸ ἄγαλμα.
τοὺς δὲ ἀληθέως λέγοντας μισέουσι. τῶν μὴ ἰδίων ἐφίενται. γῆν
ἤπειρον οἰκέοντες, θάλατταν ποθέουσι. καὶ πάλιν νησιῶται ἠ-
πείρων γλίχονται. καὶ πάντα διαστρέφουσιν ἐς ἰδίην
ἐπιθυμίην. καὶ δοκέουσι μὲν ἐν πολέμῳ ἀνδρείην ἐπαινέουσι. νι-
κῶνται δὲ καθημέρην ὑπὸ τῆς ἀσελγείης. ὑπὸ φιλαργυρίης. ὑπὸ
τῶν παθέων ἁπάντων ἃ νοσέουσι. Θερσῖται δὲ εἰσὶ τοῦ βίου πάντες.
τί δὲ τὸν ἐμὸν Ἱππόκρατες ἐμέμψω γέλωτα. οὐ γὰρ αὐτοὶ τῆς
ἰδίης ἀνοίης. ἀλλ' ἄλλος ἄλλου καταγελᾷ. οἱ μὲν τῶν μεθυόντων
ὅταν αὐτοὶ δοκέωσι νήφειν. οἱ δὲ τῶν ἐρώντων χαλεπωτέρην νόσην
νοσέοντες αὐτοί. οἱ δὲ τῶν πλεόντων. ἄλλοι δὲ τῶν περὶ γεωργίην ἀ-
σχοληθέντων. οὐ συμφωνέουσι γὰρ οὔτε τοῖς τέχνῃσιν οὔτε τοῖς ἔρ-
γοισιν. ἐγὼ δὲ ταῦτα μὲν ἔφην κρήγυα Δημόκριτε. οὐδὲ ἄλλος
τις ἂν εἴη λόγος ἁρμοδιώτερος ἐξαγγέλλειν ταλαιπωρίην θνη-
τῶν. ἀλλ' αἱ πρήξιες νομοθετέουσι τὴν ἀναγκαίην. οἰκονομί-
ης τε εἵνεκεν καὶ ναυπηγίης καὶ τῆς ἑτέρης πολιτείης, ἐν ᾗ χρέος
εἶναι τὸν ἄνθρωπον. οὐ γὰρ ἐπ' ἀεργίην αὐτὸν ἡ φύσις ἐγέννησε.

τούτων

τούτων δὲ πάλιν φιλοδοξίῃ χυθεῖσα ἔσφηλε πολλῶν ὀρθὸν νό-
μον ἢ ψυχήν. σπουδαζόντων μὲν ἁπάντων ὡς ἐπ᾽ ἀδιαπτώτοισιν.
μηκέτ᾽ εὐτονεόντων δὲ τὴν ἀδηλότητα προορέεσθαι. ποῦ γάρ
τις ὦ Δημόκριτε γαμέων, ἢ χωρισμὸν ἢ θάνατον προσεδόκησε. τίς
δ᾽ ὁμοίως παιδοτροφέων ἀπώλειαν. ἀλλ᾽ οὐδὲ ἐν γεωργίῃ ἢ πλόῳ
ἢ ναυτιλίῃ, καὶ βασιλείῃ καὶ ἡγεμονίῃ καὶ πάντων ὅσα ὑπάρχει
κατὰ τὸν αἰῶνα. οὐδὲ εἷς γὰρ προσέλαβε πταῖσαι. ἀλλ᾽ ἀγαθῇ
ἕκαστος τούτων ἐλπίσι φέρβεται. τῶν δὲ ἐγχειρεομένων οὐ μέ-
μνηται. μήποτ᾽ οὖν ὅσος γέλως τούτοις ἀναρμόστοις. ὁ δὲ Δημό-
κριτος. μάλα γὰρ νωθὴς ἔφη τὸν νόον ὑπάρχεις, μακρὰν γε τῶν ἐ-
μῶν γνώμης ἀπόδημος ἱππόκρατες, ἀταραξίης καὶ παρα-
τῆς μέζα ἐπισκοπέων δι᾽ ἀγνοίην. ταῦτα γὰρ αὐτὰ διανοίῃ φρε-
νήρει διοικεόμενα, αὐτοῖς τε ῥᾳδίως ἀπηλλάττοιτο. καὶ τὸν ἐ-
μὸν ἐλαφρὸν γέλωτα. νῦν δ᾽ ὡς ἐπὶ παρηγορίῃ τοῖσιν ἐν τῷ βίῳ
φρενοβλαβέων τετύφωνται. ἀσυλλογίστως δ᾽ ἀνοίῃ τῶν ἀπάντων
φορῆς δυσδίδακτοι. νουθεσίη γὰρ αὐτάρκης ὑπάρχει ἡ τῶν συμ-
βάντων μεταβολή, ὀξέῃσι τροπῇσιν ἐμπίπτουσα ἀφνίδιον,
τροχαλὰ πῆρ πάντοτε ἐλίσσουσα. οἱ δ᾽ ὡς ἐπὶ ἐρηρεισμένῃ καὶ βεβαίῃ
ἐκλελησμένοι παθέων κατὰ τὸ συνεχὲς συμπιπτόντων ἀλλο-
πάλλως, ποθέοντες τὰ λυπέοντα, δι᾽ ἣν μᾶλλον τὰ μὴ συμφέ-
ροντα ἐναλινδέονται πολλῇσι ξυμφορῇσιν. εἰ δ᾽ ἐμερμήριζε
κατὰ δύναμιν ἰδίην τὰ ξύμπαντα ἔρδειν, ἀδιάπτωτον ἐφρύ-
ρεε ζωὴν ἑωυτὸν ἐξετάσας μίαν, συγγνοὺς ἰδίην σοφίαν κατανοήσας
καὶ μὴ τῇ ἐπιθυμίῃ τῆς σπουδῆς ἀόριστον ἐκτείνοιτο ἢ πλουσίην φύσιν
ἀποδόντι πλησθεὶς δι᾽ αὐταρκείης ὁδοιπορεῖ. καθάπερ γὰρ τὸ παθεῖν ἐνδέξῃ

κίνδυνος πρόδηλος ἦ· τοῦτο μέσον δὲ τῶν οὔτι χαμαὶ τὴν ἐπι-
σφαλέστερόν ἐστιν· ἀρήσιμοι δὲ ἐπὶ τῇσι κακοδαιμονίῃσι ξυνθεωρέου-
σι· ἀλλ' οὐδὲ τούτων πέλας μηδὲν ἱστορέοντες ὑπὸ τῆς ἰδίης κακο-
πραγμίης ἀπώλοντο. τὰ δὲ δῆλα καθάπερ ἄδηλα μὴ θεωρέοντες
ὑπόδειγμα τὸν μακρὸν βίον ἔχουσι· πεσσευόμενον καὶ μὴ
γενομένων ἐξ ὧν ἢ τοιοῦ ἐσομένου ἐχρῆν κατανοῆσαι· ταῦτα ὁ ἐμὸς
γέλως. ἄφρονες ἄνθρωποι πονηρίης δίκας ἐκτίνοντες φιλαρ-
γυρίης· ἀπληστίης· ἔχθρης· ἐνέδρης· ἐπιβουλῆς· βασκανίης·
ἀργαλέον ἐξευρεῖν μηχανὴν κακῶν· ἄπειροι γὰρ ἐστὶ καὶ
τούτοισι δολοπλοκίῃσιν αὐθαμιλλέοντες οἱ κακόφρονες· ἀρετῆς
δὲ παραυτῆς πρόσω ἐστὶ τὸ χείριστον· φιλοψευδέες γὰρ ἔχουσι
φιληδονίην κόσμου μὲν οἴσιν ἀπειθέοντες. ὁ δὲ, αὐτῶν καταγρί-
νειν τὴν ἀπροαιρεσίην· μήτε ὀρχήσιος μήτε αἰδοῦς μετέχοντας.
μοῦνον δὲ αἰθήσιος ἀνθρώπου ἀξυνεσίης διανοίας τηλαυγῆς· τό, τε
ὂν καὶ τὸ ἐσόμενον προορώμενοι, δυσαρεστεῦντες πᾶσι· καὶ πάλιν
τοῖσιν αὐτοῖσιν ἐμπελάζοντες. ἐπεὶ ἤσαν μονοὶ πλόον, πλέουσι· γεωρ-
γέειν ἀπωσάμενοι αὖθις γεωργεῦσιν· ἐκβάλλοντες γαμετὴν, ἑ-
τέρην ἐσάγονται· θάψαντες δὲ γεννήσαντες, πάλιν τρέφουσι· πα-
ρασευξάμενοι ὅταν ἐς αὐτὸ ἀφικόμενοι στενάζουσιν· ἐν οὐδεμιῇ κα-
ταστάσει βεβαίαν ἔχουσι γνώμην· ἡγεμόνες καὶ βασιλέες μακα-
ρίζουσι τὸν ἰδιώτην· ὁ δὲ ἰδιώτης ὀρέγεται βασιλείας· ὁ πολιτευ-
όμενος τὸν χειροτεχνέοντα ὡς ἀκίνδυνον· ὁ χειροτέχνης ἐκεί-
νους ὡς δυνατεύοντα κατὰ πάντων. τὴν γὰρ ὀρθὴν κέλευθον τῆς ἠρε-
μίης, οὐ θεωρέουσι καθαρὴν καὶ λείην, ἢ ἐς ἀπρόσπταιστον· ἐς ὃν ὁδὸς
τετολμημένην ἐνέμπεσεν. φέρονται δὲ ἐπὶ τὴν ἐναντίην ἢ σκολιήν,
τρηχοβατοῦντες καὶ καταφερόμενοι καὶ προσκόπτοντες ἀσθμαίνον-

τες

τέων ὡς διωκόμενοι. ὀρεγόμενοι. ὑστερεῦντες προσποιεύμενοι. καὶ οἱ μὲν αὐτέων ἐρῶντες, ἄλλα θηλέας ὑποπεπτώκασιν ἀλλοτρίας φθορῆς εὐνῆς. ἀναιδείῃ πισύνους. οὓς δὲ τὴν φιλαργυρίην νοῦσος ἀόριστος, οἵ δε ἀλλήλοισιν ἀντεπιτίθενται. οἱ δὲ ὑπὸ φιλοδοξίης ἐς ἠέρα ἀναχθέντες, βένθει κακίης, ἐς βυθὸν ἀπωλείης καταφέρονται. κατασκάπτουσιν ἐποικοδομέοντες. χαρίζονται εἶτα μετανοοῦσι καὶ ἀφαιρέονται τὰ φιλίης δίκαια. κακοπραγέοντες ἐς ἔχθρην, τὰ συγγενέης πολεμοῦσιν. καὶ τούτων αἴτιον ἡ φιλαργυρίη. τίνι τῶν ἀθυρεόντων διαφέρουσι. παρ' οἷσιν ἀπειρέης μὲν ἡ γνώμη, τὸ δὲ προσπεσὸν, τερπνόν. ἐν δὲ τοῖσι θυμοῖς, τί παρ' ἰσότητα ζώοισιν ἀλόγοισι παραλελοίπασι. πλὴν ὅτι ἐναυταρκέες μένουσιν οἱ θῆρες. τίς γὰρ λεόντων εἰς γῆν κατέκρυψε χρυσόν. τίς ταῦρος πλεονεξίην ἐκορύξατο. τίς πάρδαλις ἀπληστίην κεχώρηκε. διψᾷ μὲν ἄγριος σῦς ὅσ' ὕδατος κορεσθῇ. λύκος δὲ ἁρπάξας τὸ προσπεσὸν διὰ ἀναγκαίαν τροφὴν, ἀναπέπαυται. ἡμέρῃσι δὲ νυξὶ συναπτομένῃσιν οὐκ ἔχει κόρον ὁ ἄνθρωπος. χρόνων μὲν ἐνιαυσίων τάξις, ὀχείης ἀλόγων ἐστὶ τέρμα. ὁ δὲ τὸ διηνεκὲς οἰστρομανίην ἔχει διὰ ἀσελγείης ἱππόκρατες. μὴ γελάσω τὸν κλαίοντα δι' ἔρωτα ὅτι συμφορέοντος ἀποκέκλεισται. μάλιστα δ' αὖ ῥιψοκινδύνῃ καὶ φέρεται κατὰ βυθῶν ἠκρεμμένων πελάγους, ὑποτερῶ τὸν γελῶντα. μὴ γελάσω τὸν τὴν νῆα πολλοῖσι φορτίοισι βαπτίσαντα, εἶτα καὶ μεμμεμφόμενον τῇ θαλάσσῃ, ὅτι κατεβύθισε τὴν πλήρη. ἐγὼ μὲν οὐκ ἀξίως δοκέω γελᾶν. ἐξεῦρε γὰρ καὶ αὐτοῦ ἡ θέλοντι λυπηρόν. ἀλλοῦ δὲ ἰατρικὴν ὑπὲρ τούτων ἐχρῆν εἶναι μὴ τεχνωμένην παιώνια φάρμακα. ὃν σὸς πρόγονος ἀσκληπιὸς ἐνεθεσίασε πρὲ ἀθω. σώζων ἀνθρώπους, κεραυνοῖσιν ἠχαρίστει ταῖς χάρας ὅτι κἀγὼ διὰ αὐτῆς μοι

ρας εἶμι, μανίης δὲ ζήμιον αἰτίην καὶ ζῶα καταικτείνω καὶ ἀνατέμνω. ἐχρῆν δὲ ἐξ ἀνθρώπων τὴν αἰτίην ἐρευνῆσαι. οὐχ ὁρᾷς ὅτι καὶ ὁ κόσμος μισανθρωπίης πεπλήρωται; ἄπειρα κατ' αὐτοῦ πάθεα συνήθροισεν. ὅλος ἄνθρωπος ἐκ γενετῆς νοῦσός ἐστι. τρεφόμενος, ἄχρηστος ἱκέτης βοηθείης. αὐξανόμενος, ἀτάσθαλος, ἄφρων, διὰ χειρὸς παιδαγωγέεται. θρασὺς ἀκμάζων. παρακμάζων, οἰκτρός. τοὺς ἰδίους χρόνους ἀλογιστίῃ γεωργήσας. ἐκ μητρώων γὰρ λύθρων ἐξέθορε τοιοῦτος. διὰ τοῦτο οἱ μὲν θυμικοί, καὶ ὀργῆς ἀμέτρου γέμοντες. οἱ δὲ ἐν φθορῇσι καὶ μοιχείῃσι διὰ παντός. οἱ δὲ ἐνθυμίῃσι τῶν ἀλλοτρίων. οἱ δὲ ἀπωλείῃ τῶν σφετέρων. ὤφελε δὲ ῥαμισ ὑπῆρχε τὰς ἁπάντων οἰκήσιας ἀνακαλύψαντα μηδὲν ἀφεῖναι τῶν ἐντὸς παρακαλυμμάτων, εἶθ' οὕτως ὁρᾶν τὰ πρησσόμενα. εἴδομεν ἄν, τοὺς μὲν ἐσθίοντας. οὓς δὲ ἐμέοντας. ἑτέρους δὲ αἰκίῃσι στρεβλοῦντας. τοὺς δὲ φάρμακα κυκέοντας. τοὺς δὲ συννοοῦντας ἐπὶ βουλήν. τοὺς δὲ ψηφίζοντας. ἄλλους χαίροντας. τοὺς δὲ κλαίοντας. τοὺς δὲ ὑπὸ κατηγορίην ἑτέρων ἄλλων συγγράφοντας. οὓς δὲ διὰ φιλοδοξίην ἐκφρονοῦντας. καίτοι γε βαθύτεραι πρήξιες τῶν ὑπὸ ψυχὴν κευθομένων. καὶ τούτων ὁκόσοι μὲν νέοι, ὁκόσοι δὲ πρεσβῦται αἰτεῦντες, ἀρνεύμενοι, πενόμενοι, πλουτιάζοντες. λιμῷ θλιβόμενοι. οἱ δὲ ἀσωτίῃ βεβαρημένοι. ῥυπόωντες. δέσμιοι. οἱ δὲ τρυφῇσι γαυριῶντες. τρέφοντες. ἄλλοι δὲ θεράποντες. ὑπορέοντες δὲ ἔχουσι πρὸς τὰς ἐλπιζομένας πρήξιας ὁρμώμενοι. οἱ μὲν ἀναίσχυντοι. οἱ δὲ φειδωλοί. οἱ δὲ ἄπληστοι. οἱ δὲ μὴ φρονέοντες. οἱ δέ, τυπτόμενοι. οἱ δὲ ὑπερηφανέοντες. οἱ δὲ ἐπαιρόμενοι κενοδοξίῃ. καὶ οἱ μέν, ἵπποισι προσεστῶτες. οἱ δέ, ἀνδράσιν. οἱ δὲ κυσίν. οἱ δὲ λίθοισιν ἢ ξύλοισι. καὶ οἱ μὲν πρεσβείῃσιν, οἱ δὲ στρατηγίῃσιν. οἱ δὲ ἱερωσύνῃσιν. οἱ δέ, στεφανηφορέοντες. οἱ δὲ ἐν ὅπλοισιν. οἱ δὲ ἀποκτινύμενοι. φέρονται δὲ τούτων ἕκαστοι, οἱ μέν, ἐπὶ ναυμαχίαν, οἱ δέ, ἐπὶ στρατηλασίην. οἱ δέ, ἐπὶ γεωργίην. ἕτεροι δέ, ἐπὶ νῆας. οἱ δὲ

ἐμπορίην· οἱ δὲ ἐς ἐκκλησίην· οἱ δὲ ἐς τὴν θέηξον· οἱ δέ, ἐς φυγαδείην·
αὐτῇσι ἀγχόσε· οἱ μέν, ἐς φιλαργυρίην καὶ ἡδυπαθείην καὶ ἀκρασίην·
οἱ δ' ἐς ὀργὴν καὶ ῥαθυμίην. τοὺς ἀναξίους οὖν καὶ τοὺς δυσκήνους
σπουδὰς τοιαύτας ὁρῶντες καὶ τοσαύτας, πῶς μὴ γελάσωμεν τῶν
ἀκρασίην ἔχοντα βίον αὐτῶν. καίτοι γε ἔλπομαι μηδὲ τὴν σὴν
ἰατρικὴν ἀνδράσιν αὐτοῖς δυσαρεστοῦμεν γὰρ ἀκροήσει· καὶ μανίην τὴν σο-
φίην νομίζουσι· ἥκουσι γὰρ ὑπὸ νοσεόντων σαφέως λωβάζεσθαι σοῦ τὰ πολ-
λὰ τῶν τέχνης· ἢ διὰ φθόνον ἢ δι' ἀχαριστίην· οἵ τε γὰρ νοσέοντες ἅμα τῷ
σώζεσθαι, τὴν αἰτίην ἢ θεοῖσιν ἢ τύχῃ προσνέμουσι· πολλοὶ δὲ τῇ φύσει
προσψαύσαντες, ἐχθραίνουσι τὸν εὐεργετήσαντα, μικροῦ δεῖν προσαγα-
νακτέοντες, εἰ νομίζοιντο χρεωφειλέται· οἱ πολλοὶ γὰρ τῶν ἀτεχνίην ἐν ἑαυ-
τοῖς ἔχοντες, ἀιδρίες τε ὄντες, ἐχθαίρουσι τὸν κρείσσονα· ἐν ἀμαθέσι γὰρ
εἰσιν αἱ ψῆφοι· οὔτε γὰρ οἱ ἀπέχοντες ἐξομολογέειν ἐθέλουσιν, ὅτε οἱ ὁμοτε-
χνέοντες μαρτυρέουσι· φθόνος γὰρ ἐνίσταται. ἐκ ἀπείρου ὄντων τῶν τοιούτων λεγέων
ταῦτα σαφέως εἰδώς, ἐν ἀναξιοπαθείῃ ὥστε πολλάκις γενηθέντος καὶ διὰ σοῦ
ἥ τε καὶ βασκανίην φιλοτιμεύθους. ἀτεχνίης δὲ οὐδεμιῆς γνώσιος, ὅτε μαρ-
τυρίη. λέγω ταῦτα, ἐπειδ' ἤδη καὶ μουσομανίη τε θεοειδής τις κατε-
φαίνετο καὶ τῆς προτέρης αὐτοῦ μορφῆς ἐξελελοίπει· καί φημι· ὦ δημό-
κριτε μεγαλόξενε. μεγάλων δὲ τῶν ξενίων δωρεὰς εἰς κοινὸν ἀπίσομαι.
πολλῶν γάρ με τῆς σοφίης θαυμασμῶν πεπλήρωκας· ἀπονοστέω τε σευ κή-
ρυξ ἀληθείης ἀνθρωπίνης φύσιος ἐξιχνευσάντων καὶ νοησάντων καὶ λαλήσαν-
τος· θεραπείην τε λαβὼν παρὰ σεῦ τῆς ἐμῆς διανοίης, ἀπαλλάσσομαι
δὲ ὥρης τουτ' ἀξιούσης καὶ τῆς τοῦ σώματος ἐπιμελείης. αὔριον δὲ
κατὰ τὸ ἑξῆς ἐν τούτῳ γενησόμεθα· αὐτίκα μὴ ταῦτ' εἰπών. καὶ ὅς,
ἕτοιμος ἦν ἐπακολουθεῖν· προσελθόντι δέ τινι, οὐκ οἶδ' ὁ-
πόθεν, ἐπεδίδου τὰ βιβλία· κἀγὼ συντονώτερον ἐπείξας,

ξ iiii

πρὸς τοὺς ὄντως ἀσθενεῖς τοῦ τῇ σκοπιῇ ἀναμνήσοντάς με, ἀνδρὸς ἔφιλον. καὶ πρὸς ἐμὲ πρεσβείης, χάρις πολλοί. δημόκριτον δὲ ἔδει ἄνδρα σοφώτατον, σωφρονίζειν αὐτοὺς μόνον δυνάμενον. ταῦτ' ἔχουσι περὶ δημοκρίτου δυνάμαι τε φράζειν, γηθόσυνοι πάμπαν. ἔρρωσο.

## Δημόκριτος Ἱπποκράτει.

ἐ Ἦλθες ἡμῖν ὦ ἱππόκρατες, ὡς μεμηνόσιν ἐλλέβορον δώσων, πεισθεὶς ἀνοήτοισιν ἀνδράσιν, οἷσιν ὁ πόνος μανίη εἶναι ἐδόκει. ἐτυγχάνομεν δὲ περὶ κόσμου διαθέσιος καὶ πολογραφίης ἔτι τε ἄστρων οὐρανίων συγγράφοντες. γνοὺς δὲ τὴν τούτων φύσιν, ὡς ἀρτιεκέως κάρτα εὖ καὶ δὲ δημιουργημένα, καὶ ὡς πηλοῦ μανίης καὶ παραφρονήσιος καθεστήκοι, ἐμεῦ μὲν φύσιν ἐπήνεσας. ἀπιστίας δὲ τοὺς μεμηνότας ἐκείνους ἐκρίνας. ὁκόσα γὰρ ἰνδαλμοῖσι διαλλάσσοντα ἀνὰ τὸν ἠέρα, πλάζει ἡμέας, ἃ δὴ κόσμῳ συνορᾶται, καὶ ἅμα μοίρης μὴ ἐόντα τέτευχε, ταῦτα νόος ἐμὸς φύσιν ἐρευνήσας ἀτρεκέως ἐς φάος ἤγαγε. μάρτυρες δὲ τούτων βίβλοι ὑπ' ἐμέο γραφεῖσαι. χρὴ οὖν καὶ σὲ ὦ ἱππόκρατες μὴ τοιουτοτρόποισιν ἀνδράσι συνέρχεσθαι καὶ συνομιλέειν, ὧν νόος ἀκρίβολος καὶ ἀβέβαιος καθέστηκεν. εἰ γὰρ πεισθεὶς τούτοισιν ὡς μεμηνότα με ἐπότισας, ἡ σωφροσύνη μανίη ἂν ἐγεγόνει. καὶ σεῦ τέχνην ἂν κατεμέμψαντο ὡς παραίτιον παρακοπῆς γεγονημένην. ἐλλέβορος γὰρ ὑγιαίνουσι μὲν δοθεὶς τὴν σκοτεῖ διάνοιαν. μεμηνόσι δὲ δοθεὶς κάρτα ὠφελεῖ. γνῶθι γὰρ, ὡς εἰ μὴ καταλελαβήκεις με γράφοντα, ἀλλ' ἀνακεκλιμένον ἢ χέδην περιπατέοντα καὶ προσομιλεῦντα ἑαυτῷ, καὶ πολλάκις ὁτὲ μὲν δυσχεραίνοντα, ὁτὲ δὲ μειδιῶντα, ἐπὶ τοῖσιν ἐννοουμένοι-

σιν ὑπεμβεῖσι, καὶ τοῖσι μὲν προσομιλεῦσι τῶν συνηθείμων οὐ προσέχονται, ἐφιστάνοντα δὲ τὴν διάνοιαν καὶ σκεπτόμενοι ἱκανῶς, ἔγνως οὖν δημόκριτον κατὰ τὴν ὄψιν κείσιν ἐκ τῶν ὁρεομένων μανίης εἰκόνι ἐοικέναι. χρὴ οὖν τὸν ἰατρὸν, μὴ μόνον ὄψει τὰ πάθεα κρίνειν, ἀλλὰ καὶ πράγμασι. τούς τε ἐρεθισμοὺς ἀνακείμενον ὡς ἐπὶ τὸ πλεῖστον. καὶ πότερον ἄρχοιτο τὸ πάθος ἢ μεσάζοι ἢ λήγοι, καὶ διαφορὴν καὶ ὥρην καὶ ἡλικίην παρατηρέειν. εἶτα διαγνοὺς τὸ πάθος ὁλομελίην τε τοῦ σκήνεος. ἐκ γὰρ τουτέων, ἁπάντων εὐχερῶς ἂν τὰς νούσων εὑρήσεις. ἀπέστειλα δέ σοι τὸν περὶ μανίης λόγον.

## Ἱπποκράτης Δημοκρίτῳ.

Ἡ ἰητρικὴ τέχνη ὦ δημόκριτε κατορθώματα μὲν οἱ πολλοὶ τῶν ἀνθρώπων οὐ πάντα πᾶσιν ἐπαινέουσι θεοῖσι· ἢν δὲ πολλάκις προσαρτῶσιν. ἂν δέ τι ἡ φύσις ἀντιπράξῃ καὶ ἀπολέσῃ τὸν θεραπευόμενον, τὸν ἰητρὸν καταμέμφονται, παρέντες τὸ θεῖον. καὶ ἐγὼ δοκέω πλεόνα μεμψιμοιρίην ἤπερ μὴν κεκληρῶσθαι τὴν τέχνην. ἐγὼ μὲν γὰρ ἰητρικῆς εἰς τέλος οὐκ ἀφῖγμαι. καίπερ ἤδη γηραλέος καθεστώς. οὐδὲ γὰρ ὁ ταύτης εὑρετὴς ἀσκληπιός. ἀλλὰ καὶ αὐτὸς διεφώνησε, καθὰ περὶ ἡμῖν συγγραφέων βίβλοι παραδεδώκασιν. ἡ μὲν οὖν ὑπὸ σέο ἀποσταλεῖσα ἡμῖν ἐπιστολή, κατεμέμφετο τῆς φαρμακείης τοῦ ἐλλεβόρου. εἰσήχθην μὲν οὖν ὦ δημόκριτε ὡς μεμηνότα ἐλλεβορίσων. οὐ καταμαντευσάμενος, ὅς τίς ποτε εἴης. ὡς δὲ ἐντυχὼν εἶδον, οὐ μὰ Δία παραφρονήσεως ἔργον ἀλλὰ σχεδὸν ἀποδοχῆς πάσης, καὶ ἄρτια τὴν φύσιν ἐπήνεσα. ἄριστόν τε ἑρμηνέα φύσιος καὶ κόσμου εἴκασα. τοὺς δὲ εἰσαγαγόντας με ἐμεμψάμην ὡς μεμηνότας

φαρμακείης γὰρ αὐτοὶ δέονται. ἐπειδὴ χρίνειν ταὐτόματον ἢ μὴ ἐς ταὐτὸ ξυνάγαγεν, ὀρθῶς ποιήσεις ἐπιστέλλων ἡμῖν πυκνότερον. καὶ μεταδιδοὺς τῶν ὑπὸ σέο γεγραμμένων συνταγμάτων. ἀπέστειλα δέ σοι καὶ αὐτὸς τὸν περὶ ἐλλεβορισμοῦ λόγον. ἔρρωσο.

## ΗΡΑΚΛΕΙΤΟΥ ΕΠΙΣΤΟΛΑΙ.

Βασιλεὺς Δαρεῖος Ἡράκλειτον ἐφέσιον ἄνδρα σοφὸν προσαγορεύει.

κ Αταβέβλησαι λόγον γραπτὸν περὶ φύσεως δυσνόητόν τε καὶ δυσεξήγητον. ἐν τισὶ μὲν οὖν ἑρμηνευόμενος κατὰ λέξιν σὴν, δοκεῖ ἐμοὶ δύναμίν τινα προσφέρεσθαι θεωρίας κόσμου τοῦ σύμπαντος καὶ τῶν ἀπὸ τούτου συμβαινόντων, ἅπερ ἐστὶν ἐν θειοτάτῃ κείμενα κινήσει. τῶν δὲ πλείστων ἐποχὴν ἔχοντα, πρὸς ζήτησιν καὶ μάθησιν. ὥστε καὶ τοὺς ἐπὶ πλεῖον μετεσχηκότας γραμμάτων ἑλληνικῶν, καὶ τοὺς ἄλλους τοὺς ἀσχολουμένους περὶ τὴν τῶν μετεώρων προσοχὴν καὶ φιλομαθίαν, ἀπορεῖσθαι τῆς ἐν ὀρθῇ γνώμῃ παρὰ σοὶ δοκούσης καταγεγράφθαι διηγήσεως. βασιλεὺς οὖν Δαρεῖος ὑστάσπου βούλεται τῆς σῆς ἀκροάσεως μεταλαβεῖν καὶ παιδείας λογικῆς. ἔρχου δὴ συντόμως πρὸς ἐμὴν ὄψιν καὶ βασίλειον οἶκον. ἕλληνες γὰρ ὡς ἐπὶ τὸ πλεῖστον ἀνεπισήμαντοι σοφιζομένοις ἀνδράσιν ὄντες, παρορῶσι τὰ καλῶς ὑπ' αὐτῶν ἐνδεικνύμενα πρὸς καλὴν ἀγωγὴν καὶ δίαιταν. παρ' ἐμοὶ δὲ ὑπάρξει σοι πᾶσα μὲν προεδρία. καθ' ἡμέραν δὲ καλὴ καὶ σπουδαία προσαγόρευσις, καὶ βίος εὐδόκιμος, σαῖς παραινέσεσιν.

Ηράκλειτος Δαρείῳ βασιλεῖ πατρὸς ὑστάσπεος χαίρειν.

ὁ Κόσοι τυγχάνουσιν ἐπιχθόνιοι ἄνθρωποι, τῆς μὲν ἀληθείης καὶ δικαιοσύνης ἀπέχονται, ἀπληστίῃ δὲ καὶ δόξῃ τῇ προσέχουσι κακῆς εἵνεκεν ἀνοίης. Ἐγὼ δὲ ἀμνηστίην ἔχων πάσης πονηρίης, καὶ κόρον φεύγων παντὸς οἰκειούμενον φθόνῳ διὰ τὴν ὑπερηφανίην, οὐκ ἂν ἀφικοίμην εἰς Περσικὴν χώρην, ὀλίγοις ἀρκεόμενος κατ' ἐμὴν γνώμην.

## Βασιλεὺς Δαρεῖος Ἐφεσίοις.

ἀ Νὴρ ἀγαθός, μέγα ἀγαθὸν πόλει. λόγοις καλοῖς καὶ νόμοις, ψυχὰς ἀγαθὰς ποιεῖ, κρεῖσσον ἀγορὴν εἰς ἀγαθά. ὑμεῖς δὲ Ἑρμόδωρον, οὐ μόνον αὐτοῦ βέλτιστον ἀλλὰ καὶ ἴσως πάντων, ἐξεβάλετε ἐκ πόλιος, καὶ χειρὸς αἰτίας ψυχῆς ἀγαθῆς προσαπέπτετε. εἰ μὲν οὖν διέγνωκατε βασιλεῖ πολεμεῖν δεσπότῃ, ἑτοιμάζεσθε. ἀποστελῶ γὰρ στρατιάν, ἣν ὑμεῖς οὐ δυνήσεσθε ἀντιτάσσεσθαι. αἰσχρὸν γὰρ βασιλεῖ μεγάλῳ μὴ ἀρήγειν φίλοις. εἰ δὲ μηδὲν τοιοῦτον ἐγχειρήσετε, κατάξατε Ἑρμόδωρον. καὶ ἀπόδοτε αὐτῷ τὰ πρῶτα καὶ τιμὴν μνημονεύοντες ἃ ὑμᾶς ἐκείνου εὐνοίᾳ εὐεργέτησε. φόρους ἐλάττους τάξασιν ὧν ἐφέρετε. καὶ τὴν παλλάδος δόσιν πρὸς ὃν ἐκεῖνο θεῖον τὰ ἐοίκατε χαίρειν ὀφείλομεν καὶ αὐτόν τε Ἑρμόδωρον φίλον βασιλέως ἐφυγαδεύσατε. ἀποστείλατε τοὺς ἄνδρας τοὺς ἐρῶντας πρός με τοῦ δικάσοντος ὑπὲρ ὧν ἐγκαλεῖτε Ἑρμοδώρῳ. ἵνα ἐὰν μὲν ἐκεῖνοι ὦσι δειχθῶσι καλοφρονοῦντες, τιμηθῶσιν. ἐὰν δὲ ὑμεῖς, τὸν βέλτιστον ἡττῶμαι καὶ εἰς τὸ λοιπὸν ἁμαρτάνειν κωλύσω εἰς ἀγαθοὺς ἄνδρας. καὶ γὰρ βασιλεῖ ὑμετέρῳ συμφέρει ταῦτα καὶ ὑμῖν.

## Ηράκλειτος. Ερμοδώρῳ.

Δὴ μηκέτι τοῖς ἑαυτοῦ χαλέπαινε Ἑρμόδωρε. Εὔθυκλος
ὁ Νικοφῶντος ὁ συλήσας τὴν θεὸν, ἀσεβείας με γέ-
γραπται. ἄνδρα σοφίᾳ προύχοντα ἀπαιδευσίᾳ νικῶν. ὡς ἐπι-
γέγραφα τῷ βωμῷ οὐκ ἐπιστήσεται τὸ ἐμὸν ὄνομα. θεὸν ποιῶν ἄνθρω-
πον ὄντα ἐμαυτόν. εἶτα κριθήσομαι ὑπὸ ἀσεβοῦς ὁ ἀσεβής. τί οἴεσθε. δό-
ξω αὐτοῖς ἀσεβὴς εἶναι, ἐναντία φρονῶν οἷς αὐτοὶ περὶ θεῶν νομίζουσιν.
εἰ καὶ πεπηρωμένοι ἦσαν ἐκεῖνοι τὴν ὄψιν, τυφλότητα ἂν ἔλεγον τὴν ὅρασιν. ἀλ-
λ' ὦ ἀμαθεῖς ἄνθρωποι διδάξατε πρῶτον ἡμᾶς, τί ἐστιν ὁ θεός.
ἵνα ἀσεβεῖν λέγοντες πιστευθῆτε. ποῦ δ' ἐστὶν ὁ θεός ἐν τοῖς να-
οῖς ἀποκεκλεισμένος. εὐσεβεῖς γε οἱ ἐν σκότει τὸν θεὸν ἱδρύετε. ἄν-
θρωπος λοιδορίαν ποιεῖται λίθινος εἰ λέγοιτο. θεὸς δὲ ἀληθεύε-
ται, ὡς, τοῦτο τὸ διώνυμον, ἐκ κρημνῶν γλύφεται. ἀπαίδευτοι
οὐκ ἴστε ὅτι οὐκ ἔστι θεὸς χειρόκμητος. οὐδὲ ἐξ ἀρχῆς βάσιν ἔχει. οὐ-
δὲ ἔχει ἕνα περίβολον, ἀλλ' ὅλος ὁ κόσμος αὐτῷ ναός ἐστι ζώοις καὶ
φυτοῖς καὶ ἄστροις πεποικιλμένος. Ἡρακλεῖ ἐπέγραψα τῷ Ἐφε-
σίῳ τὸν βωμὸν, πολιτογραφῶν ὑμῖν τὸν θεὸν οὐχ Ἡρακλείτῳ. ἀλλ' ἡ ὑμῶν
ἀξυνεσία τά τε γράμματα, οὐκ ἐμὲ ἀσεβεῖν τῷ ὑμῶν ἀπαιδεύτῳ. μαν-
θάνετε σοφίην καὶ συνίετε. ἀλλ' οὐ θέλετε. οὐδὲ ἐγὼ ἀναγκάζω. γηρά-
τε σὺν ἀπαιδευσίᾳ χαίροντες ἰδίοις κακοῖς. Ἡρακλῆς ἦν ἐκ ἀνθρώπων
ἐγεγόνει. ὡς μὲν Ὅμηρος ἐψεύσατο καὶ ξένον τόπος ἀλλὰ τί αὐτὸν ἐ-
θεοποίησεν. ἡ ἰδία καλοκαγαθία. καὶ ἔργων τὰ γενναιότατα τοσούτους
ἐκτελέσαντα ἄθλους. ἐγὼ οὖν ὦ ἄνθρωποι οὐκ αὐτὸς ἀγαθός εἰμι.
ἥμαρτον ἐρόμενος ὑμᾶς. καὶ γὰρ εἰ τὰ ἐναντία ἀπεκρίνασθε, ὅμως ἀγαθὸς
εἰμι. καὶ ἐμοὶ πολλοὶ καὶ δυσχερέστατοι ἆθλοι κατώρθωνται. νενίκη-
κα ἡδονάς. νενίκηκα χρήματα. νενίκηκα φιλοτιμίας. κατεπά-
λαισα δειλίαν. κατεπάλαισα κολακείαν. οὐκ ἀντιλέγει μοι φόβος.

οὐκ αὖ τι λείπομαι μέθῃ. φοβεῖταί με λύπη. φοβεῖταί με ὀργή. κατὰ τούτων αὐτῶν καὶ αὐτὸς ἐστεφάνωμαι. ἐμαυτῷ ἐπιτάττων, οὐχ ὑπ' Εὐρυσθέως. οὐ παύσεσθε σοφίαν ὑβρίζοντες καὶ ἴδια ἁμαρτήματα, καὶ ἴδια ἐγκλήματα ἡμῖν προστριβόμενοι, εἰ ἐδύνασθε μετ' αὐτοὺς ἐκ πεντακισχιλιετησίας πεντακοσίους ἀναβιῶναι, κατελάβετε ἂν Ἡράκλειτον ἔτι ζῶντα. ὑμῶν δὲ οὐδ' ἴχνος ὀνόματος. ἰσοχρονήσω πόλεσι καὶ χώραις διὰ παιδείαν. οὐδέποτε σιγώμενος. κἂν ἡ Ἐφεσίων ἀναρπασθῇ πόλις, καὶ οἱ βωμοὶ διαλυθῶσι πάντες, οἱ ἀνθρώπων ψυχαὶ τῆς ἐμῆς ἔσονται χωρία μνήμης. ἄξομαι καὶ αὐτὸς γυναῖκα Ἥβην, οὐ τὴν Ἡρακλέους. ἐκεῖνος ἀεὶ ἔσται μετὰ τῆς ἑαυτοῦ. ἑτέρα δὴ ἡμῶν γεννήσεται. πολλὰς ἀρετὴ γεννᾷ. καὶ Ὁμήρῳ ἔδωκεν ἄλλην. καὶ Ἡσιόδῳ ἄλλην. καὶ ὅσοι ἀγαθοὶ γίνονται, ἑνὶ ἑκάστῳ συνοικίζει παιδείας κλέος. ἆρ' οὐκ εἰμὶ εὐσεβὴς Εὐθύκλεις ὃς μόνος οἶδα θεόν, οὐδὲ καὶ θρασὺς εἶναι οἰόμενος καὶ ἀσεβὴς τὸ μὴ ὄντα δοκῶν. ἐὰν δὲ μὴ ἱδρυθῇ θεοῦ βωμός, οὐκ ἔστι θεός. ἐὰν δὲ ἱδρυθῇ μὴ θεοῦ, θεός ἐστιν. ὥστε λίθοι θεῶν μάρτυρες. ἔργα δεῖ μαρτυρεῖν οἷα ἡλίου. νὺξ αὐτῷ καὶ ἡμέρα μαρτυροῦσιν. ὧραι αὐτῷ μάρτυρες. ἡ ὅλη καρποφοροῦσα μάρτυς. σελήνης ὁ κύκλος ἐκείνου ἔργον. οὐράνιος μαρτυρία.

## Ἡράκλειτος Ἀμφιδάμαντι.

Ὅσους μὲν Ἀμφιδάμα νόσον ὕδρωπα. ὥστε ὅσα ἐν ἡμῖν, ἑκάστου τὸ κρατεῖν νόσημα. ὑπερβολὴ θερμοῦ, πυρετός. ὑπερβολὴ ψυχροῦ παράλυσις. ὑπερβολὴ πνεύματος πνῖξις, ἡ νῦν ἡ μὲν ὑγρὰ νόσος. ἀλλὰ θεῖόν τι ψυχὴ ἡ ἁρμόζουσα αὐτὰ ὑγίεια οἶδε

τὸ πρῶτον ἰατρικώτατον, φύσις· οὐ γὰρ εἰκάζει ἡ πρώτη ἀτεχνία τὸ τῶν αὐτῶν, ἀλλὰ ὕστερον. ἀλλά με μοῦ μόνοι οἱ ἄνθρωποι ἐπιστήμων τε ἀσύνοι ἐκάλεσαν. Ἐγὼ δὲ οἶδα κόσμου φύσιν, οἶδα τὴν ἀνθρώπου. οἶδα νόσους οἶδα ὑγίειαν. ἰάσομαι ἐμαυτόν. μιμήσομαι θεόν, ὃς κόσμου ἀμετρίας ἐπανισοῖ ἡλίῳ ἐπιτάττων. οὐχ ἁλώσεται νόσῳ ἡράκλειτος. νόσος ἡρακλείτου ἁλώσεται γνώμῃ. ἐν τῷ παντὶ ὑγρὰ αὐαίνεται. θερμὰ ψύχεται. οἶδεν ἐμὴ σοφία ὁδοὺς φύσεως. οἶδε τὴν νόσου παῦλαν. ἐὰν δὲ φθάσαν ὑπέραντλον γένηται τὸ σῶμα, δύσεται εἰς τὸ εἱμαρμένον. ἀλλὰ οὐ ψυχὴ δύσεται. ἀλλὰ ἀθάνατον οὖσα χρῆμα εἰς οὐρανὸν ἀναπτήσεται μετάρσιος. δέξονται δέ με αἰθέριοι δόμοι, καὶ ἐφεσίους συκοφαντήσω. πολιτεύσομαι οὐκ ἐν ἀνθρώποις ἀλλ' ἐν θεοῖς. καὶ οὐχ ἱδρύσω ἄλλων βωμούς, ἀλλ' ἐμοὶ ἄλλοι. οὐ δὲ ἀπειλήσει μοι ἀσέβειαν εὐθυκλῆς. ἀλλ' ἐγὼ ἐκείνῳ χολήν. θαυμάζουσι πῶς ἀεὶ σκυθρωπὸς ἡράκλειτος. οὐ θαυμάζουσι πῶς ἀεὶ πονηροὶ ἄνθρωποι. μικρὰ δὲ κακίας ὑπανῆτε. κἀγὼ τάχα μειδιάσω. καίτοι πρᾳότερος ἐν τῇ νόσῳ νῦν ἐγενόμην. ὅτι οὐκ ἐντυγχάνω ἀνθρώποις. ἀλλὰ μόνος νοσῶ. τάχα καὶ ψυχὴ μαντεύεται ἀπόλυσιν ἑαυτῆς ἤδη ποτὲ ἐκ τοῦ δεσμωτηρίου τούτου. τὴν σειομένου τοῦ σώματος ἐκκύπτουσα, ἀναμιμνήσκεται τὰ πάτρια χωρία. ὅθεν κατελθοῦσα περιεβάλλετο ῥέον σῶμα τεθνηὸς τοῦτο ὃ δοκεῖ, ἀλλ' ἐν φλέγμασι τῇ χολῇ. τῷ ἰχῶρι τῷ αἵματι. τῷ νεύρῳ. τοῖς ὀστοῖς. καὶ σαρκὶ συμπεπιλημένον. εἰ γὰρ μὴ τὰ πάθη ἐσόφιζε τὴν κόλασιν, οὐκ ἂν ἤδη πρὸ πολλοῦ κατέλιπεν τὸ σῶμα ἐξηντλημένον ἀπ' αὐτοῦ.

## Τῷ αὐτῷ.

Ὑπῆλθον οἱ ἰατροὶ ἀμφιδόξημα καὶ πάνυ προθύμως ἐπὶ τὸ ἐμὸν μόνον ὅτι τέχνην τε φύσιν εἰδότες. ἀλλὰ γὰρ μὴ ὅτι ἐβουλόμην τὸ γὰρ δὴ, ἐδόκησαν ἀμφότεροι ἥ γε νόσοι. οὐδὲν πλέον ἢ κατεμάλαξάν μου τὴν γαστέρα τοῖς ἀφροδισιακοῖς ἀσκοῦν. οἱ δὲ καὶ θεραπεύειν ἤθελον. ἀλλ' οὐκ ἐπίστευσα. ἀλλὰ λόγον αὐτοὺς πρότερον ᾔτουν τῆς νόσου. οὐκ ἔδοσαν οὐδὲ περιεγίγνοντό μου. ἀλλ' ἐγὼ αὐτῶν. πῶς ἂν οὖν ἐκινδυνεύσατε ἀλη-θῶς τεχνίται εἶναι ὑπὸ μὴ αὐλητοῦ ἡττημένοι. ἐμαυτὸν ἰασόμην ἢ ὑμᾶς. ἐάν με διδάξητε, πῶς δεῖ ἐπομβρείας αὐχμὸν ποιητέον. οἱ δὲ, οὐδὲ συνιέντες τὸ ἐρώτημα ἡσύχασαν ἀπορούμενοι ἐπιστήμης ἰδίου. ἔγνων ὅτι καὶ τοὺς ἄλλους οὐκ αὐτοὶ, ἀλλὰ τύχη ἰάσαιτο. οὗτοι ἀσεβοῦσιν ἀμφιδόξημα, καταψευδόμενοι τεχνῶν ἃς οὐκ ἔχουσι καὶ θεραπεύοντες ἃ μὴ ἴσασι. καὶ ἀπεκτονότες ἀνθρώπους δι' ὀνόματος τέχνης, ἀδικοῦντες καὶ φύσιν καὶ τέχνην. αἰσχρόν ἐστιν ὁμολογεῖν ἄγνοιαν. ἀλλ' ἐπιστήμην οὐκ ἔχοντα. τί ἡδὺ αὐτοῖς τὸ ψεύδεσθαι ἢ ἵνα δι' ἀπάτης χρηματίσωνται. ἀμείνους ἂν ἦσαν μεταιτοῦντες. ἠλεοῦντο γοῦν ἄν. νῦν δὲ μισοῦνται καὶ βλάπτοντες καὶ ψευδόμενοι. εὐτυχέστεραι αἱ ἄλλαι τέχναι. τοὺς κακοὺς ἐλέγχονται. δυσελεγκτότερα τὰ κρείττω. ἐλελήθεσάν με οἱ τοιοῦτοι ἐν τῇ πόλει. οὐδεὶς αὐτῶν ἰατρός. ἀλλὰ πάντων ἀπατεώνων καὶ φενάκων. σοφίσματα τέχνης ἀργυρείου πεπρακότων. Ἡρακλεόδωρον τὸν ἐμὸν θεῖον οὗτοι ἀπέκτειναν καὶ μισθὸν ἔλαβον. οἱ οὐκ ἐδυνήθησαν ἐμῆς νόσου λόγον εἰπεῖν. οὐ δὲ ἐξ ἐπομβρείας, πῶς ἂν αὐχμὸς γένοιτο. οὐκ ἴσασιν ὅτι θεὸς ἐν κόσμῳ μεγάλα σώματα ἰατρεύει ἐπαρισῶν αὐτῶν τὰ ἀμετρα, τὰ θρυπτόμενα συνιεῖ. τὰ ὀλισθήσαντα ὑπὸ φθορᾶς πιέζει συνάπτει τὰ σκιδνάμενα. φαιδρύνει τὰ ἀπρεπῆ. κατειρ-

ρεῖ τὰ ληφθέντα. διώκει τὰ φθίνοντα φωτί. μὲν ἀναλάμπει τὸ ζοφερόν. πέρατοῖ δὲ τὸ ἄπειρον. καὶ μορφὴν μὲν ἐπιβάλλει τοῖς ἀμόρφοις. ὄψεως ἀναπίμπλησι τὰ ἀναίσθητα. διὰ πάσης διέρχεται τῆς οὐσίας. πλάττων. ἁρμοζόμενος. διαλύων. πνευματίζων. χέων. τὸ μὲν ξηρὸν ἐς ὑγρὸν τήκει. καὶ εἰς λύσιν αὐτὸ καθίστησι. καὶ λιβάδας μὲν ἰθύνει ἰαται χύσει ἢ χαλασθέντα τὸν ἀέρα καὶ συνέχων τὰ μὲν ἄνωθεν ὀλισθαίνοντα ἢ καὶ τὸ ὑετὸν ἱδρύει. ταῦτα κάμνοντος κόσμου θεραπεία. ταῦτα ἐγὼ μιμήσομαι ἐν ἐμαυτῷ. τοῖς δ' ἀγνοοῦσι χαίρειν λέγω.

## Ἑρμοδώρῳ.

Πυνθάνομαι Ἐφεσίους μέλλειν εἰσηγεῖσθαι νόμον κατ' ἐμοῦ ἀνομώτατον. ἔδει γὰρ νόμος ἐφ' ἑνός, ἀλλ' ἀκρισία. οὐκ ἴσασιν ἐφ' οὗ τι ἐστι ὅρος δικαστὴς νομοθέτου. ὦ τὸ δ' ἄμφρον, ἐπειδὰν μαθήσονται πρὸς ἄδηλον τὸν μέλλοντα πράξειν. ὁ δικάζων δ' ὁρᾷ τὸν ὁρώμενον. ὅσον ἀπεῖναι τὸ πάθος. ἴσως δὲ με Ἑρμόδωρε συντεχνίτευσαι τοὺς νόμους καὶ με ἐλάσαι βούλονται. ἀλλ' οὖν πρότερον ἐλέγξαι αὐτούς. ἐπεὶ ἄδικα ἐστὶν ἀκαστὸν μὴ γινῶντας πρὶν μισανθρωποῦντα προσήκουσι δ' ἐναντίως ἐξιέναι τῆς πόλεως. τοῦτο νομοθετεῖν βουλόμενοι. εἰ γὰρ ὁ δεῖ σιν ὁμηγυρίων φθόνος μὲν Ἑρμόδωρε ἡράκλειτος ὥστε με ἐλαύνουσιν. ὦ ἄνθρωποι οὐ θέλετε μαθεῖν διὰ τί ἀγέλαστῶ. ἐμισῶ ἀνθρώπους ἀλλ' ἀ καλία αὐτῶν. ὁ τοιγαροῦν νόμος εἴ τις μισεῖ κακίαν ἐξιέναι τῆς πόλεως καὶ πρότερον φυγαδευθήσομαι οὐ παιδεύσας ἀλλὰ πονηρίας ἀπεχόμενος. μεταγράψατε τὸ δὲ δίαγμα. ὁμολογεῖτε Ἐφεσίοις κακίαν εἶναι, ὑμᾶς μισῶ

πῶς

πῶς οὐκ ἂν ἐγὼ δικαιότερος νομοθέτης εἴην, τοὺς γὰρ ἥσαντας ἡράκλειτον διὰ πονηρίαν ἀκόλαστον ἐξεῖναί σοι ζῆν. μᾶλλον δὲ μυρίαις ζημιοῦσθε, εἰ πλέον ἂν ἰᾶσθε ἀργυρίῳ κολαζόμενοι. τοῦτο ὑμῶν ἐστι φυγή. τοῦτο θάνατος. ἠδικήκατέ με ἀφελόμενοι, ὃ θεὸς ἔδωκε. καὶ φυγαδεύετέ με ἀδίκως. ἢ τοῦτο ὑμᾶς πρῶτον ἀγαπῶ ὅτι μου τὸ ἥμερον ἐξεκόψατε. καὶ οὐ παύεσθε. ἐπαγωνιζόμενοι νόμοις τε φυγαδεύεις. ἐν δὲ τῇ πόλει μένων οὐ πεφυγάδευμαι ἀφ' ὑμῶν. τίνι συμμοιχεύω. τίνι συμμιαιφονῶ. τίνι συμμεθύω. τίνι συμφθείρομαι. οὐ φθείρω. οὐκ ἀδικῶ οὐδένα. τῶν ἁπάντων. μόνος εἰμὶ ἐν τῇ πόλει. ἐρημίαν αὐτὴν πεποίηκατε διὰ κακίας. ἡ ἀγορὰ ὑμῶν ἡράκλειτον ἀγαθὸν ποιεῖ; οὐκ. ἀλλὰ ἡράκλειτος, ὑμᾶς. πόλιν. ἀλλ' οὐκ ἐθέλετε. ἐγὼ μὲν βούλομαι τῷ νόμος εἶναι ἄλλων. εἷς ὢν οὐκ ἀρκῶ, πόλιν κολάζειν. θαυμάζετε εἰ μηδέποτε γελῶ. ἐγὼ δὲ τοὺς γελῶντας. ὅτι ἀδικοῦντες χαίρουσι ἐν ἀνθρωπείᾳ ζῆν δέον ἐξ ἀδικήματα πρασσοῦντας. οὔτε μοι καιρὸν γέλωτος ἐν εἰρήνῃ. ὥστε μὴ ἐπὶ τὰ δικαστήρια στρατεύεσθαι. ἐν ταῖς πλεονεξίαις ἔχετε τὰ ὅπλα ἀπεστερηκότες χρήματα. γυναῖκα φθείραντες. φίλους φαρμακεύσαντες. ἱεροσυλήσαντες. προαγωγεύσαντες ὄχλοις ὁραθέντες ἄπιστοι. τυμπανίσαντες. ἄγος ἄλλο πλήρης κακῶν. πῶς γελάσω ὁρῶν ἀνθρώπους ποιοῦντας ἐσθῆτα καὶ γλυφὰ καὶ κεφαλῆς πόρους ἀτημελήτους. ἢ γυναῖκα φαρμακέως ἐπειλημμένην τέκνου. ἢ μειράκια τῆς οὐσίας ἐκβεβρωμένα. ἢ πολίτην γαμετῆς ἀφῃρημένον ἢ κόρην βίᾳ διαπαρθενευθεῖσαν ἐν παννυχίσιν. ἢ ἑταίραν οὔπω γυναῖκα τὰ γυναικῶν ἔχουσαν πάθη. ἢ διὰ ἀσέλγειαν μειρακίσκον ἕνα πόλεως ἐραστὴν ὅλης. ἢ τὰς τῶν ἐλαίων φθορὰς ἐν μύροις. ἢ τοὺς ἐν ξυνδείπνοις κυνομένους διὰ δακτύ-

λων πλεόνας ἢ τὰς δι' ἐδεσμάτων πολυτελείας καὶ γαστέρας ῥεού-
σας. ἢ τοὺς ἐπὶ σκηνῆς ἀγωνοθετουμένους δήμους, τὰ μεγάλα
δίκαια. ἀφήσει δέ μου τὴν ὄψιν ἀρετὴ χυθῆναι, ὕστερα ποιείας
τεταγμένη ἢ τοὺς ἀληθινοὺς ὑμῶν πολέμους πλάσω. ὅτε προ-
φάσεις ἀδικημάτων ποιησάμενοι, καταμιαιφονεῖσθε δύσκιοι
δ' ἐξ ἀνθρώπων θηρία γεγονότες. αὐλοῖς καὶ μάστιξι διὰ μουσικῆς εἰς ἄ-
μουσα πάθη παροξυνόμενοι. σίδηρος δὲ ἀρότρων καὶ γεωργίας
δικαιότερον ὄργανον σφαγῆς καὶ θανάτων ηὔξηται. ὑβρίζεται
δι' ὑμῶν θεός, Ἀθηνᾶ πολεμίστρια καὶ Ἄρης ἐνυάλιος καλούμενος.
φάλαγγας δὲ ἀντιστήσαντες αὐτοὶ κατ' ἀνθρώπων, ἀλλήλων σφαγὰς
εὔχεσθε, ὡς λειποτάκτας τοὺς μὴ μιαιφονοῦντας τιμωρούμενοι. καὶ
ὡς ἀριστέας τοὺς ἐμπλεονάσαντας αἵματι τιμῶντες. λέοντες
οὐχ ὁπλίζονται κατ' ἀλλήλων. οὐδὲ ξίφος ἀναλαμβάνουσι
οἱ ἵπποι. οὐδὲ τεθωρακισμένον ἴδοις ἂν τὸν ἐλέφαντα. οὐδὲν ἄλλο
ἔχει μάχης ὄργανον. ἀλλ' ἑκάστῳ τὰ μέρη καὶ ὅπλα. τοῖς μὲν κέ-
ρατα τὰ ὅπλα. τοῖς δὲ ῥύγχη. τοῖς δὲ πτερά. τοῖς δὲ τάχος. ἄλ-
λοις μέγεθος. ἄλλοις ὀλιγότης. οἷς δὲ πάχος. οἷς δὲ νῆξις. πολλοῖς
δὲ πνεῦμα. οὐδὲν ξίφος ἄλογα ποιεῖ ζῷα χαίρειν, ὁρῶντα φυλατ-
τόμενον ἐν αὐτοῖς φύσεως νόμον. ἀλλ' οὐκ ἐν ἀνθρώποις. μᾶλλον δὲ τοῦ
πλέον ἂν εἴη παράβασις. ἐν κρείττοσι τὸ ἀβέβαιον. τέλος δὲ πο-
λέμων. τί ὑμῖν εὐκτέον ἄρα. ἢ δεῖ ἐπ' εἰρήνῃ παύσετέ με κατηφείας. πό-
θεν. οὐχὶ δὲ πόλεμον ὁμοφύλων σφῶν. καὶ δενδροτομουμένη καὶ ἁρ-
παζομένη πόλις. καὶ γῆρας προπηλακιζόμενον. καὶ γυναῖκες ἀ-
παγόμεναι. καὶ τέκνα δ' ἀγκαλῶν ἀποσπώμενα. καὶ θάλαμοι
διαφθειρόμενοι. καὶ παρθένοι παλλακευόμεναι. καὶ μειράκια θη-
λυνόμενα. καὶ ἐλεύθεροι σιδηροδετούμενοι. καὶ ναοὶ θεῶν κατασπώ-
μενοι.

μενοι. καὶ ἥρωα δαιμόνων κατορύττετε. ὅμηρα πολίχνες αὐτοῖς ἔργων ἐχειστήριθ' ἔοις ἀδικίᾳ. τοῦτο ἀγελαστῶς ἐν εἰρήνῃ πολεμεῖτε διὰ λόγων ἐν πολέμῳ πολιτεύεσθε διὰ σιδήρου. ἁρπάζετε τὸ δίκαιον ἐν ξίφεσι. ἑρμόδωρον ἐλαύνετε νόμους γράφοντα. ἡράκλειτον ἐλαύνετε ἀσεβεῖ. αἱ πόλεις ἔρημοι καλοκαγαθίας. αἱ ἐρημίαι πρὸς τὸ ἀδικεῖν. ὄχλοι τείχη ἐστὶ κακῶν, ἀνθρώπων σύμβολα πονηρίας ἀποκλείοντα τὴν βίαν ὑμῶν. οἰκίαι περιβέβληνται πᾶσιν. ἕτερα τείχη πλημμελείας. οἱ ἔνδον, πολέμιοι ἀλλὰ πολῖται. οἱ ἐκτὸς, πολέμιοι ἀλλὰ ξένοι. πάντες ἐχθροί. οὐδένες φίλοι. δύναμαι γελᾶσαι ἐχθροὺς ὁρῶντας σοῦτους; τὸν ἀλλότριον πλοῦτον ἴδιον οἴεσθε. τὰς ἀλλοτρίας γυναῖκας ἰδίας νομίζετε. τοὺς ἐλευθέρους ἀνδραποδίζετε. τὰ ζῶντα κατεσθίετε. τοὺς νόμους παραβαίνετε. παρανομίας νομοθετεῖτε. πάντα βιάζεσθε ἃ μὴ πεφύκατε. τὰ μάλιστα δοκοῦντα ὑμῶν δικαιοσύνης εἶναι σύμβολα, οἱ νόμοι ἀδικίας εἰσὶ τεκμήριον. εἰ γὰρ μὴ ἦσαν, ἀνέδην ἂν ἐπορεύεσθε. νῦν δέ τι καὶ μικρὸν ἐπιστομίζεσθε. φόβῳ κολάσεως κατέχεσθε εἰς πᾶσαν ἀδικίαν.

## Ἡράκλειτος Ἑρμοδώρῳ.

Ηλουμοι Ἑρμόδωρε πότε ἀπαίρειν κέκρικας εἰς Ἰταλίαν. δέξονταί σε οἱ ἐκείνης τῆς χώρας θεοὶ καὶ δαίμονες ἡδέως. ὅτι ἐδόκουν τοῖς σοῖς νόμοις τὰ παρὰ πάσης τῆς οἰκουμένης δήματα προσιέναι καὶ κατὰ τὸ ἔθος τῶν πρεσῶν ἐγκλείοντας τὸ σῶμα προσκυνεῖν αὐτούς. οἱ δὲ σεμνῶς πάνυ καθεστήκεσαν. προσκυνήσουσί σε ἐφέσιοι μηκέτι ὄντα. ὅταν οἱ σοὶ νόμοι πᾶσιν ἐπιτάττωσι καὶ τὸ πεχρῆσθαι αὐτοῖς ἀναγκαζόμενοι. θεὸς δὲ ἐκεῖνος; ἀφείλετο ἡγεμονίαν. καὶ ἑαυτοὺς ἐνόμισαν ἀξίους δουλεύειν. τοῦτο μεμάθηκα καὶ ἐκ πατέρων. ὅλη ἀσία, κτῆμα ἐγένετο βασιλέως καὶ πάντες ἐφέσιοι λά-

φυρόν. ἀνθεῖς ἐστὶν ἐλευθερίας ἀληθοῦς του ἄρχειν. καὶ νῦν ὡς τὸ εἰκὸς ἐπακούσονται κελευόμενοι. οἱ μὴ πειθέντες οἰμώξονται. καὶ μέμφονται θεοὺς ἄνθρωποι ὅτι αὐτοὺς οὐ πλουτίζουσιν ἀγαθά. οὐ μέμφονται ἴδιον ἦθος ἀφροσύνης. τυφλῶν δεῖ μὴ δέξασθαι ἃ δίδωσι χρηστὰ δαίμων. σίβυλλα ἐν πολλοῖς καὶ τοῦτο ἐφράσθη. ἐξ ἰάδος χώρης ἥξειν σοφὸν ἰταλίησιν. εἶδέ σε πρὸ τοσούτου αἰῶνος ἑρμόδωρε ἡ σίβυλλα ἐκείνη ἔστ' ὅτε ἤθαι. ἐφέσιοι δέ, οὐδὲ νῦν βούλονται ὁρᾶν, ὃν διὰ θεοφορουμένης γυναικὸς ἀλήθεια ἔβλεπε σοφὸς μεμαρτύρηκαι ἑρμόδωρε. ἐφέσιοι δὲ ἀντιλέγουσι θεοῦ μαρτυρίᾳ. ἀποτίσονται ἑαυτῶν ὕβριν. καὶ νῦν ἀποτίνουσι. γνώμης ἀναπιμπλάντες ἡμᾶς κακῆς. οὐκ ἀφαιρούμενος πλοῦτον κολάζει θεός. ἀλλὰ καὶ μᾶλλον δίδωσι πονηροῖς. ἵν' ἔχοντες δι' ὧν ἁμαρτάνουσιν ἐλεγχθήσωνται. καὶ περιουσιάζοντες σκηνοβατῶσιν αὐτῶν τὴν μοχθηρίαν. ἡ δὲ πενία παρακάλυμμα δεῖ. μὴ ἐπιλείπῃ ὑμᾶς τύχη. ἵνα ὀνειδίζησθε πονηρευόμενοι. οὗτοι μὲν χαιρόντων. σὺ δέ μοι δῆλον τὸν καιρὸν τῆς ἐξόδου. πάντως ἐντυχεῖν σοι βούλομαι. καὶ περὶ γ' ἄλλων πάνυ συχνῶν καὶ περὶ αὐτῶν νόμων βραχέα εἰπεῖν. ἔγραφον δ' ἂν αὐτά, εἰ μὴ περὶ παντὸς ἐποιούμην ἀπόρρητα μένειν. οὐδὲν δὲ οὕτω σώζεται, ὡς ἑνὶ λαλῶν εἷς. καὶ ἔτι μᾶλλον ἡράκλειτος ἑρμοδώρῳ. πολλοὶ οὐ διαφέρουσι κεραμίων σαθρῶν, ὡς μηδὲν στέγειν δύνασθαι. ἀλλ' ὑπὸ γλωσσαλγίας διαρρεῖν. ἀθηναῖοι ὄντες αὐτόχθονες ἔγνωσαν φύσιν ἀνθρώπων, ὅτι γοῦ μεμοιρίκη γῆς, ἔθος τε διερρωγότα ἔχουσι νοῦν. τὸ γοῦν ἐπαίδευσαν φυλακὴν ἀπορρήτων διὰ μυστηρίων. ἵνα φοβῶσι γοῦν ἀλλ' ἐκείσει. καὶ μηκέτι χαλεπὸν ἦ μελετῆσαι τῇ ψυχῇ σιωπᾶν.

Τῶν Ἡρακλείτου ἐπιστολῶν

τέλος.

# ΕΡΙΣΤΟΛΑΙ ΔΙΟΓΕΝΟΥΣ ΤΟΥ ΚΥΝΙΚΟΥ ΣΙΝΩΠΕΥΣΙ.

Μεῖς μὲν ἐμοῦ φυγὴν κατεψηφίσασθε. ἐγὼ δὲ ὑμῶν μονήν. οἰκήσετε τοίνυν διὰ τοῦτο, ὑμεῖς μὲν σινώπην. ἐγὼ δὲ ἀθήνας. τουτέστιν ὑμεῖς μὲν μετὰ τῶν ἐμπόρων. ἐγὼ δὲ μετὰ σόλωνος καὶ τῶν τὴν ἑλλάδα ἠλευθερωκότων ἀπὸ τῶν μηδικῶν. καὶ ὑμεῖς μὲν ἡνιόχοις καὶ ἀχαιοῖς χρώμενοι ἀνθρώποις ἐκ τοῦ ἐχθροῦ γένους ἕλλησιν. ἐγὼ δὲ δελφοῖς καὶ ἠλείοις μεθ᾽ ὧν καὶ θεοὶ πολιτεύονται. ἀλλ᾽ ὤφελε τοῦτο μὴ νῦν ὑμῖν δόξαι, ἀλλ᾽ ἔτι πάλαι καὶ ἐπὶ τοῦ πατρὸς ἱκεσίου. νυνὶ δὲ οὐ τοῦτο δέδοικα μὴ διὰ τὴν πατρίδα ἀπιστηθῶ μέτριος εἶναι. τὸ μὲν οὖν πρὸς ὑμῶν με φυγαδευθῆναι συνηγορεῖ. καὶ πιστεύω αὐτῷ μᾶλλον τοῦ ἑτέρου. κρεῖττον γὰρ παραπολὺ διαβάλλεσθαι πρὸς ὑμῶν, ἢ ἐπαινεῖσθαι. ὅμως μέντοι δέδοικα τοῦτο μή με ὁ κοινὸς περὶ πατρίδος λόγος βλάψῃ. ἄλλου δέ τινος, οὐδὲ λόγος. κρεῖττον γὰρ που δή ποτε οἰκεῖν, ἢ σὺν ὑμῖν οὕτως ἡμῖν προσενεχθεῖσιν.

## Ἀντισθένει.

Νέβαινον εἰς ἄστυ ἐκ πειραιῶς. καὶ περί τι χωρίον μοι μειράκια ἄττα θρυπτόμενα ἀπὸ συμποσίου τινὸς ἐγηγερμένα καὶ ἐν σφίσιν αὐτοῖς, ἐπεὶ ἀγχοῦ ἐγενόμην ἀνάγωμεν ἔλεγον ἀπὸ τοῦ κυνός. κἀγὼ ἐπεὶ τοῦτο ἤκουσα, θαρρεῖτε ἔφην. οὗτος ὁ κύων τεῦτλα οὐ δάκνει. οἱ δὲ ὡς τοῦτο ἔλεξα ἐπαύσαντο ἀλύοντες. εἶτα τοὺς στεφάνους οὓς εἶχον περὶ τῇ κεφαλῇ καὶ τῷ τραχήλῳ διαρρήξαντες ἐξέβαλον, καὶ τὰς χλανίδας εὐκόσμως περιεβάλλοντο καὶ ἥσυχοι δὴ μάλα ἕως εἰς ἄστυ ἠκολούθουν, ἐπακροώμενοι τῶν λόγων, οὓς πρὸς ἐμαυτὸν διεξῄειν.

Ἱππαρχίᾳ.

ἀ Γαμαί σε τῆς ἐπιθυμίας ὅτι τε φιλοσοφίας ὀρέγεσαι γυνὴ οὖσα· καὶ ὅτι τῆς ἡμετέρας αἱρέσεως ἐγένου, ἣν διὰ τὸ αὐστηρὸν καὶ οἱ ἄνδρες κατεπλάγησαν· ἀλλ' ὅπως καὶ τέλος ἐπιθῇς τῇ ἀρχῇ σπούδασον. ἐπιθήσεις δὲ εὖ οἶδα, εἰ κράτητός τε τοῦ συνευνέτου μὴ ἀπολίποιο, ἡμῖν τε τοῖς εὐεργέταις τῆς φιλοσοφίας θαμινῶς ἐπιστέλλοις· δύνανται γὰρ ἐπιστολαὶ πολλὰ, καὶ οὐ χείρονα τῆς πρὸς παρόντας διαλέξεως. Ἀντιπάτρῳ.

Ἠμέμφου με ὅτι σοῦ μεταπεμπομένου ἡμᾶς ἐπὶ Μακεδονίαν οὐκ ἐπειθόμεθα. οὐ δ' ὅτι τοὺς Ἀθήνῃσιν ἄλας προὐκείναμεν τῆς παρὰ σοῦ τραπέζης· οὐ γὰρ δι' ὑπεροψίαν τοῦτ' ἐπράξαμεν, ἀλλ' οὐδὲ διὰ φιλοδοξίαν δι' ἣν τάχιστ' ὡς ἕτεροι ἂν ἐποίησαν, ἵνα τισὶ τοῖς πολλοῖς μεγάλοι δόξωσι βασιλεῦσι δυνάμενοι ἀντιλέγειν. συγγίνωσκε οὖν. καὶ γὰρ εἰ πρόβατα ἦμεν, συνέγνως ἂν μὴ πειθεῖσιν ὅτι οὐκ ἦν προβάτου τροφὴ καὶ βασιλεῦσιν ἡ αὐτή. φυλακῇ οὖν τῆς οὐσίας μᾶλλον αὐτεῖπα μένουσι· καὶ οὐχ ὑπεροψίαις. ἔα οὖν ἕκαστον ὅπου δύναται ζῆν. βασιλικὸν γὰρ τοῦτο, καὶ οὐ τὸ ἕτερον. Περδίκκᾳ.

ε Ι μὲν τοῖς δόξαις ἤδη πολεμεῖς, λέγω δὲ τοῖς ἰσχυροτέροις ἐχθροῖς καὶ πλείονα καταβλάπτουσί σε θρακῶν τε καὶ παιόνων καταστρεφόμενος τὰ τῶν ἀνθρώπων πάθη, μετάπεμπέ με· δύναμαι γὰρ εἰς τὸν πρὸς αὐτὰ πόλεμον καὶ στρατηγεῖν. εἰ δέ τί σοι τὰ πρὸς αὐτοὺς ἔργα λείπεται καὶ τούτου τοῦ πολέμου σχεδὸν ἀσθενῆ, ἔα μὲν ἡμᾶς Ἀθήνῃσι καθέζεσθαι. μετάπεμπου δὲ τοὺς Ἀλεξάνδρου στρατιώτας· οἷς κἀκεῖνος ἐπικούροις χρώμενος, Ἰλλυριοὺς καὶ σκύθας ὑπέταξεν. Κράτητι.

χ Ωρισθέντος σου εἰς Θήβας, ἀνέβαινον ἐκ Πειραιῶς ὑπὸ μέσην ἡμέραν. καὶ διὰ τοῦτο λαμβάνει με δίψος καρτερόν. ὥρμησα

οὖν ἐπὶ τὴν πάννωπος κρήνην. καὶ ἕως ἐγὼ τὸ ποτήριον ἐκ τῆς πήρας ἐξῄρουν, ἧκέ τις τῶν θεραπόντων τῶν τὴν χώραν ἐργαζομένων. καὶ συνάψας κοίλας τὰς χεῖρας ἠρύετο ἀπὸ τῆς κρήνης καὶ οὕτως ἔπινεν. καὶ ἐγὼ δόξας μοι τοῦ ποτηρίου σοφώτερον εἶναι οὐκ ᾐδέσθην διδάσκαλον αὐτῷ τῶν καλῶν χρήσασθαι. ἀποῤῥίψας οὖν τὸ ποτήριον ὃ εἶχον καὶ σοὶ εὑρών τι μᾶς ἐπὶ Θηβῶν ἀνερχομένης, τὸ σοφὸν τοῦτο ἐπέσταλκα, ὅ δὲ μὴ βουλόμενος τῶν καλῶν διδάσκαλον ἐπίστασθαι, ἀλλὰ σὺ διὰ τοῦτο πειρῶ ἐς τὴν ἀγορὰν ἐμβάλλειν, ἵνα πολλοὶ δὴ τρίβουσιν αὐτοί. ἔσται δὲ ἡμῖν οὕτω καὶ ἄλλα σοφὰ παρὰ τῆς μητέρος εὑρεῖν. πολλὰ δὲ ἡ φύσις· ἣν ἐκβαλλομένην ὑπὸ τῆς δόξης ἐκ τοῦ βίου, ἐπὶ σωτηρίᾳ ἀνθρώπων κατάγομεν ἡμεῖς.

Τῷ πατρὶ Ἱκέτῃ.

Ἡ αἰδὼ ὦ πάτερ ὅτι κύων λέγομαι καὶ ἀμπέχομαι τρίβωνα διπλοῦν καὶ πήραν φέρω κατ᾽ ὤμων καὶ ῥάβδον ἔχω διὰ χειρός. οὐ γὰρ ἄξιον ἐπὶ τοῖς τοιούτοις ἀνιᾶσθαι, μᾶλλον δὲ ἥδεσθαι ὅτι ὀλίγοις μὲν ἀρκεῖται ὁ παῖς σου, ἐλεύθερος δὲ ἐστι δόξης ᾗ πάντες δουλεύουσιν Ἕλληνές τε καὶ βάρβαροι. τὸ δὲ ὄνομα πρὸς τὸ μὴ συμπεφυκέναι τοῖς πράγμασι σύμβολον δεῖ εἶναι, ἐνδοξέντως ἐστί. καλοῦμαι γὰρ κύων ὁ οὐρανοῦ, οὐχ ὁ γῆς, ὅτι ἐκείνῳ εἰκάζω ἐμαυτὸν ζῶν οὐ κατὰ δόξαν, ἀλλὰ κατὰ φύσιν ἐλεύθερος ὑπὸ τὸν Δία, εἰς αὐτὸν ἀνατεθεικὼς τἀγαθά. τὴν δὲ στολὴν ὅτι Ὅμηρος γράφει τὸν τῶν Ἑλλήνων σοφώτατον φορεῖν, ἡνίκα οἴκαδε ἐπανήει ἐξ Ἰλίου, Ἀθηνᾶς ὑποθημοσύνῃσιν. οὕτω καλή ἐστιν ὡς μὴ ἀνθρώπων εὕρημα ὁμολογεῖσθαι, ἀλλὰ θεῶν. Φᾶρος μέν οἱ πρῶτα χιτῶνά τε εἷμα τ᾽ ἔδωκε. Λευγαλέα ῥυπόωντα κακῷ μεμορυγμένα καπνῷ. Ἀμφὶ δέ μιν μέγα δέρμα ταχείης ἕσσ᾽ ἐλάφοιο. Ψιλόν. Δῶκε δέ οἱ σκῆπτρον καὶ ἀεικέα πήρην. Θάῤῥει οὖν πάτερ ἐπὶ τῷ ὀνόματι ᾧ καλοῦσιν ἡμᾶς καὶ τῇ στολῇ. ἐπειδὴ μὲν ὁ κύων ἐστὶ πρὸς θεῶν, ἡ δὲ εὕρεμα θεοῦ.

Εὐνικίῳ.

Κον εἰς κόρινθον ἐκ μεγαρέων· καὶ διατριβόμενος τὴν ἀγορὰν παρέτυχον διδασκάλῳ τινὶ παίδων καί μοι ἐπεὶ οὐκ ἐρραψῴδουν ἔδοξε πυθέσθαι τίς ἦν ὁ διδάσκων αὐτούς, καὶ ἀπεκρίναντο διονύσιος ὁ τῆς σικελίας τύραννος. κἀγὼ δόξας αὐτοὺς ἐρεσχελεῖν πρός με, καὶ τοῦτο οὐχ ἁπλῶς ἀποκεκρίσθαι, παρελθὼν ἐπί τι βάθρον ἐκάθισα εὐκόσμως ἀναμένων αὐτόν. ἐλέγετο γὰρ πρὸς ἀγορὰν ὡρμηκέναι. καὶ δὴ οὐ διαγίνεται πολὺς χρόνος. καὶ ἐπιστρέφεται ὁ διονύσιος. κἀγὼ ἐξαναστὰς προσαγορεύω τε αὐτὸν καὶ ἐπαινέσω ὡς οὐκ εὖ διονύσιε διδάσκεις. ὁ δέ με δόξας συνάχθεσθαι αὐτῷ ἐπὶ τῇ πτώσει τῆς τυραννίδος καὶ τῷ παρόντι σχήματι τοῦ βίου, τοιαῦτα εἶπεν ὦ διόγενες. εὖ ποιεῖς συναλγῶν ἡμῖν. κἀγὼ προσέθηκα τῷ οὐκ εὖ, τὸ ἀληθῶς. ἀλλ' ἔστω μὲν οὐχ ὅτι τῆς τυραννίδος ἀφῄρησαι, ἄχθομαι ὦ διονύσιε, ἀλλ' ὅτι ἐλευθεριάζεις ἐν τῇ ἑλλάδι τανῦν καὶ περιεσέσωσαι ἀπὸ τῶν ἐν σικελίᾳ κακῶν, οἷς ἔδει σε ἀποθανεῖν τοσαῦτα ἐργασάμενον φαῦλα γῆν καὶ θάλατταν. Κράτητι.

Πυθόμην σε τὴν οὐσίαν ἅπασαν κατενεγκεῖν εἰς τὴν ἐκκλησίαν, καὶ παραχωρῆσαι τῇ πατρίδι. καὶ στάντα ἐν μέσῳ κηρύξαι κράτης κράτητος κράτητα ἀφίησιν ἐλεύθερον. ἥσθησαν οὖν ἐπὶ τῇ δωρεᾷ τοὺς πάντας ἀστοὺς καὶ ἀγασθῆναι ἡμᾶς τοὺς τῶν τοιούτων ἀνθρώπων ποιητάς. ἐθελῆσαι δὲ διὰ τοῦτο μεταπέμψαι ἡμᾶς ἀθήνηθεν. σὲ δὲ ἐπισταμένοι τὴν ἡμετέραν κρίσιν κωλῦσαι. ἐν τούτῳ μὲν οὖν ἐπαινῶ σε τοῦ νοῦ. ἐπὶ δὲ τῇ παραδόσει τῆς οὐσίας καὶ ἄγαμαι. ἐπεὶ θᾶττον ἢ προσεδόκησα κρείττων ἐγένου τῶν δοξῶν. ἀλλὰ διὰ ταχέων ἐπάνηκε. ἔτι γὰρ σοι δεῖ πρὸς τὰ ἄλλα συνασκήσεως καὶ χρονίζειν ἔνθα μὴ εἰσὶν ὅμοιοι οὐκ ἀσφαλές.

Μητροκλεῖ.

Ἢ μόνον ἐπὶ τῇ ἐπιστολῇ καὶ τῷ ὀνόματι καὶ τῇ διαίτῃ θάῤ-
ῥει Μητρόκλεις, ἀλλὰ καὶ ἐπὶ τῷ αἰτεῖν αὐτοὺς τὰ σωτήρια.
οὐ γὰρ αἰσχρόν. βασιλεῖς γάρ τοι καὶ δυνάσται παρὰ τῶν ὑποτεταγμέ-
νων αἰτοῦσι χρήματα. στρατιώτας. ναῦς. σῖτον. καὶ οἱ κάμνοντες πα-
ρὰ τῶν ἰατρῶν φάρμακα καὶ οὐ μόνον πυρετοῦ ἀλλὰ καὶ φρίκης
καὶ λοιμοῦ. καὶ οἱ ἐρασταὶ παρὰ τῶν παιδικῶν φιλήματα καὶ ἁ-
φήματα. τὸν δὲ Ἡρακλέα παρὰ τῶν ἀναισθήτων φασὶ καὶ ἰσχὺν
λαμβάνειν. οὐ γὰρ προῖκα αἰτεῖν οὐδὲ ἐπὶ χείρονι ἀνταλλαγῇ, ἀλ-
λ' ἐπὶ τῷ σωτηρίῳ πάντων ἐστὶν, ἀνθρώπους τὰ πρὸς τὴν φύσιν καὶ ὑπὲρ
τῶν ταῦτα ποιεῖν Ἡρακλεῖ τῷ Διός. τὸ ἔχειν ἀμείβεσθαι πολὺ κρείτ-
τονα ὧν λαμβάνεις αὐτός. τίνα ταῦτα, μὴ πρὸς τὴν ἀλήθειαν εἶ-
ναί σοι τὴν μάχην τοῦτο πράσσοντι, ἀλλὰ πρὸς τὴν δόξαν, ἧς πλέον
τι μάχου, κἂν μηδένα σε ἐπείσῃ. καλὸν γάρ τοι ἔθος καὶ ὁ πρὸς τὰ
τοιαῦτα πόλεμος. Σωκράτης δὲ ἔλεγε μὴ αἰτεῖν τοὺς σπουδαίους
ἀλλὰ ἀπαιτεῖν. εἶναι γὰρ αὐτῶν τὰ πάντα ὡς καὶ τῶν θεῶν. καὶ τοῦτο
πειρᾶτο συνάγειν ἐκ τοῦ, κυρίους μὲν ὑπάρχειν τῶν πάντων τοὺς
θεούς. κοινὰ δὲ τὰ τῶν φίλων. φίλον δὲ εἶναι τῷ θεῷ τὸν σπουδαῖ-
ον. αἰτήσεις τοίνυν τὰ ἴδια.

Κράτητι.

Αἰ γοῦν ἀνδριάντας τοὺς ἐν τῇ ἀγορᾷ προσιὼν αἴτει τὰ
κ ἄλφιτα. καλὴ γάρ που καὶ ἥ τοι αὕτη μελέτη. ἐντυγχάνεις γὰρ
αὐτοῖς ἀπαθεστέροις ἀνδριάντων. καὶ ὅταν ἴσον μᾶλλον γάλλοις καὶ
κιναιδολόγοις μεταδιδῶσι, μὴ θαύμαζε. τιμᾷ γὰρ ἕκαστος τὸν πλη-
σίον. εἰσὶ δὲ οἱ τοῖς πολλοῖς ἀρέσκοντες γάλλοι μᾶλλον ἢ φιλό-
σοφοι.

Τῷ αὐτῷ.

ὁ Ι πολλοὶ τὸν εὐδαιμονισμὸν, ὅπερ μὲν σύντομον ὁδὸν ἐπ' εὐ-
δαιμονίαν φέρουσαν ἀκούσωσιν ἵενται καθάπερ ἡμεῖς ἐπὶ φιλο-

σοφίαν. ὅταν γὰρ ἐπὶ τὴν ὁδὸν ἀφίκωνται καὶ αὐτῆς τὴν χαλεπότητα θεάσωνται, ὡς οἱ ἀσθενοῦντες ὀπίσω ἀναχωροῦσιν, εἶτα μέμφονται ὕστερον τὴν ἑαυτῶν μαλακίαν. ἀλλὰ τῆς ἡμῶν ἀμαθίας. ἐᾶ οὖν τούτους μὲν ὅπως ἐσπουδάκασιν τοῖς ἡδομένοις συγκαθεύδειν. καταλείψεται γὰρ αὐτοὺς ζῶντας οὐχ εἷς ὃν ἡμᾶς διαβάλλουσί τινες, ἀλλὰ μείζονες δι' οὓς πᾶσαν περιστάσει δουλεύουσιν αἰσχρῶς. σὺ δὲ ἐπίμενε ἐν τῇ ἀσκήσει ὥσπερ ἤρξω καὶ σπούδαζε κατ' ἴσον ἡδονῇ ἀντιτάττεσθαι καὶ πόνῳ. ἐπεὶ καὶ κατ' ἴσον ἀμφότερα πολεμεῖν ἡμῖν πέφυκε. καὶ εἰς τὰ πρῶτα ἐμποδίζειν. ἡ μὲν, διὰ τὴν τὰ αἰσχρὰ ἄγειν. ὁ δὲ, διὰ τὸ ἀπὸ τῶν καλῶν ἀποτρέπειν τῷ φόβῳ. Ἀπολλήξιδι.

α Πεθέμην τὰ πολλὰ τῶν τὴν πήραν βαρυνόντων. πίνακα μὲν, διδαχθεὶς ἐν ἄρτῳ τὸ κοῖλον εἶναι. τὸ τρίβλιον δὲ, τὰς χεῖρας. καὶ οὐκ ἔστιν αἰσχύνη τὸν ἐπιστάτην εἰπεῖν ὅτι παῖς ἦν ἔτι. οὐκ ἔδει δὲ τὴν εὕρεσιν εὔχρηστον οὖσαν, διὰ τὴν ἡλικίαν παρελθεῖν, ἀλλὰ προσδέξασθαι. Ἀντιπάτρῳ.

μ Ἔμφη μου τὸν βίον ὡς ἐπίπονον. καὶ διὰ χαλεπότητα ὑπ' οὐδενὸς ἂν ἐπιτηδευθησόμενον. ἐγὼ δὲ ἑκὼν αὐτὸν ἐπέτεινα, ἵνα γνῶσιν οἱ μιμούμενοί με μὴ τέλεον ἡδυπαθεῖς εἶναι. Τῷ αὐτῷ.

α Κούω λέγοντα σε μηδέν με ποιεῖν παράδοξον διπλοῦν τρίβωνα φοροῦντα, καὶ πήραν ἐξημμένον. ἐγὼ δὲ θαυμαστὸν μὲν οὐδέν φημι τούτων. καλὸν δὲ ἑκάτερον αὐτοῖν ἀπὸ διαθέσεως ἐπιτηδευόμενον. οὐ γὰρ μόνον τὸ σῶμα τῇ λιτότητι, ἀλλὰ καὶ τὴν ψυχὴν σὺν αὐτῷ ἐπαγγέλλεσθαι μὲν πολλὰ, πράττειν δὲ μὴ δὲ τὰ ἀρκοῦντα. ἀλλ' ἅμα τῷ λόγῳ τὸν βίον ἀκόλουθον ἐπιδείκνυσθαι. ὃ γὰρ πειρῶμαι ποιεῖν καὶ μαρτυρεῖν μοι ἴσως ὑπολήψῃ με λέγοντα, τὸν ἀθηναίων δῆμον ἢ τῶν κορινθίων ἀδι-

κους μάρτυρας· τὴν ἐμαυτοῦ ψυχὴν φημὶ ἣν οὐκ ἔστι λαθεῖν
ἁμαρτάνοντα. Ἀπολλήξιδι.

ε Ἐντυχόν σοι περὶ οἰκήσεως καὶ χάρεις ὑπισχομένῳ. κοχλίαν δὲ θεασάμενος εὗρον οἴκησιν ἀλεεινήν. ἀπολέλυσο οὖν τῆς ὑπηρεσίας καὶ συγχαίρε ἡμῖν τὴν φύσιν εὑρίσκουσιν. Ἀνταλκίδῃ.

α Κούωσε γράφειν περὶ ἀρετῆς πρὸς ἡμᾶς καὶ τοῖς συνωρίμοις ἐπαγγέλλεσθαι διὰ τῆς γραφῆς πείθειν ἡμᾶς περὶ σοῦ φρονεῖν τι. ἐγὼ δὲ τὸ δὲ τὴν τοῦ Ἰνδάρεω θυγατέρα ἐπαινῶ τὴν εἰς τὸν οἶνον τὸ νηπενθὲς καλοῦσαν φάρμακον. ἔδει γὰρ αὐτὸ προσενέγκασθαι χωρὶς οἴνου. οὐδὲ σὲ ὡς παρόντων μετὰ ἡμῶν οὐδὲν ἐπιδείξω σπουδῆς ἄξιον. διὰ γραμμάτων δὲ ὑπολαμβάνεις ἡμᾶς πείσειν. τοῦτό σοι γράφειν ἔχον ἵνα μὴ διὰ τῶν ἀψύχων ἡμῖν προσφωνῇς ἀλλὰ παρὼν αὐτός. Ἀπολλήξιδι.

μ Ἡνόδωρον φιλόσοφον παρεκάλεσα μὲ συνησαί μοι μεγαρικοῖς ἀνίσκει κελοιωτάτην σύστασιν. ὅτι μὲν γὰρ αὐτὸς οὐκ εἶπεν. ἐκ τῶν εἰκότων μὲν ἔσῃ. εἰ δὲ καὶ φιλόσοφος διὰ βίου καὶ λόγου. ὁ δὲ καθ' ἡμᾶς σπουδαῖος δι' ἑαυτοῦ συνίσταται. Ἀναξιλάῳ.

π Πυθαγόρας ἑαυτὸν ἔλεγεν Εὔφορβον γεγενῆσθαι τὸν πάνθου. ἐγὼ δὲ νέον ἐμαυτὸν ἐπίσταμαι Ἀγαμέμνονα σκῆπτρόν τε γὰρ ἐμοὶ οὐκ ἔστι τὸ βάκτρον. καὶ χλαμὺς ὁ διπλοῦς τρίβων. ἡ δὲ πήρα ἀντὶ δέρματος αἰγαγέου ἀσπίς. εἰ δὲ μὴ κομῶ, νέος ἦν Ἀγαμέμνων. γέρων δὲ ἐγὼ γενόμενος ἐψιλοκόρσησα. τοιαῦτα γὰρ ἄξιον φρονεῖν καὶ λέγειν πρὸς τὸν αὐτὸν σφαλλέντα. Μελησίππῳ.

η Κουφόν σε λελυπῆσθαι ὅτι τὰ Ἀθηναίων τέκνα πλησίον ἡμῖν ἐπέτεινε μεθύοντα. καὶ δεινὰ πάσχειν εἰ σοφία πεπαρῴνηται. σὺ δὲ ἴσθι ὅτι τὸ δυσγενοῦς μὲν ἐπελήχθη σῶμα ὑπὸ τῶν μεθυόντων. ἀρετὴ δὲ οὐκ ᾐσχύνθη. ἐπεὶ μήτε κοσμεῖσθαι πέφυκεν

ὑπὸ φαύλων μὴ καταισχύνεσθαι. διογένης μὲν δὴ οὐχ ὑβρίσθη. κακῶς δὲ ἔπαθεν ὁ ἀθηναίων δῆμος. ἐν ᾧ τιμῶσ ἔδοξαν ἀρετῆς ὑπερδεῖν. διὰ γοῦν τὴν ἐμὸς ἀφροσύνην κατὰ δήμους ἀφραίνοντες ἀπόλλυνται βουλόμενοι τὰ μὴ προσήκοντα. καὶ στρατευόμενοι δέον ἠρεμεῖν. εἰ δὲ τὴν ἀρχὴν τὴν ἀπόνοιαν ἔστησαν, οὐκ ἂν ἐπὶ ταῦτα ἐχώρουν.

Ἀμυνάνδρῳ.

γ Οὐδεὶς χάριτας οὐχ ἑκτέον, ἐπεὶ φύσει γέγονε τὰ ὄντα οὔτε τῆς ποιότητος. ἡ δὲ τῶν στοιχείων σύγκρασις, αἰτία ταύτης. ἐπὶ μὴν ἐπὶ τῶν κατὰ προαίρεσιν ἢ βούλησιν οὐδεμία χάρις. ἡ γὰρ γένεσις, ἀφροδισίων ἐστὶ παρακολούθημα. ἀπὸ ἡδονῆς ἕνεκεν οὐ γενέσεως ἐπιτηδεύεται. ταύτασ τὰς φωνὰς ὁ τῆς ἀπαθείας προφήτης ἐγὼ ἀποφθέγγομαι ἐναντίας τῷ τετυφωμένῳ βίῳ. εἰ δέ τισιν εἶναι φαίνονται σκληρότεραι, φύσις αὐτὰς σὺν ἀληθείᾳ βεβαιοῖ καὶ ὁ βίος ὁ τῶν μὴ κατὰ τῦφον, ἀλλὰ κατ' ἀρετὴν βιούντων.

Ἀγησιλάῳ.

Μοὶ τὸ μὲν ζῆν οὕτως ἦν ἀβέβαιον, ὡς μὴ πιστεύεσθαι παραμενεῖν ἕως τὴν ἐπιστολὴν γράφω. πῆρα δὲ ἱκανὴν αὐτοῦ ταμεῖον. τὰ δὲ τῶν νομιζομένων θεῶν μείζονα ἢ κατὰ νοῦς. ἓν δὲ μόνον ἐμαυτῷ βέβαιον σύνοιδα. τὴν μετὰ γένεσιν, φθοράν. ταῦτ' ἐπιστάμενος αὐτός τε τὰς κενὰς ἐλπίδας ἱπταμένας περὶ τὸ σωμάτιον ἀποφυσῶ. καὶ σοὶ παραγγέλλω μὴ πλεῖον ἀνθρώπου φρονεῖν.

Ἀλεξάνδρῳ.

ε Υαγγελίζῃ μοι βασιλέα μακεδόνων σπουδάζειν περὶ τὴν θέαν ἡμῶν. σὺ δὲ ἐποίησας προσθεὶς τῷ βασιλεῖ τοὺς μακεδόνας. τὰ γὰρ ἡμέτερα ᾔδεις ἀβασίλευτα. ἰδεῖν δὲ τὸν ἐμὸν τόπον μηδεὶς ὡς ξένοι βουλευέσθω. εἰ δὲ μεταλαβεῖν ἀλέξανδρος

βίου

βίου καὶ λόγου βούλεται, λέγε αὐτῷ ὅτι ὅσον ἐξ Ἀθηνῶν εἰς Μακεδονίαν, τοσοῦτον καὶ ἐκ Μακεδονίας εἰς Ἀθήνας.

Τῷ αὐτῷ.

ε Ἰθέλεις καλὸς καὶ ἀγαθὸς γενέσθαι, ἀπορρίψας ὃ ἔχεις ἐπὶ τῆς κεφαλῆς ῥάκος, παραγενοῦ πρὸς ἡμᾶς, ἀλλ' οὐ μὴ δυνηθῇς. κρατῇ γὰρ ὑπὸ τῶν Ἡφαιστίωνος μηρῶν.

Ἱππίωνι.

π Ἀρακαλεῖς με ἐπιστεῖλαί σοι ὅτι ποτὲ ἔγνωκα περὶ θανάτου καὶ ταφῆς· ὡς οὐκ ἂν τέλειος φιλόσοφος ἐσόμενος, εἰ μή τι, τὰ μετὰ τὸ ζῆν παρ' ἡμῶν μάθοις. ἐγὼ δὲ ἱκανὸν ἡγοῦμαι τὸ κατ' ἀρετὴν καὶ φύσιν ζῆσαι· καὶ τοῦτο ἐφ' ἡμῖν εἶναι. ὥσπερ δὲ τὰ πρὸ τῆς γενέσεως παρακεχώρηται τῇ φύσει, οὕτω καὶ μετὰ τὸ ζῆν ἐπιτρεπτέον ταύτῃ. αὐτὴ γὰρ ὡς ἐγέννησε καὶ διαλύσει. μηδὲν δὲ εὐλαβηθῇς ὅπως ποτὲ ἀναίσθητος ὦ. ἐγὼ γοῦν ἔγνωκα ἀποπνεύσαντί μοι παραθεῖναι τὸ βάκτρον. ἵνα τὰ δοκοῦντα λυμαίνεσθαι ζῷα ἀπελαύνοιμι.

Κράτητι.

μ Ἐμψομαι ὅτι τῆς πενίας τὴν ἀρχὴν ἔδωκάς σοι διὰ βίου. καὶ πειρῶ μήτε αὐτὸς ταύτην ἀποθέσθαι, μήτε ὑπ' ἄλλου ἀφαιρεθῆναι αὐτήν. εἰκὸς γὰρ τοὺς Θηβαίους ἐκπεριελθεῖν σε πάλιν κακοδαιμονίζοντας. σὺ δὲ τὸν τρίβωνα λεοντῆν νόει. τὸ δὲ βάκτρον ῥόπαλον. τὴν δὲ πήραν γῆν καὶ θάλατταν ἀφ' ἧς τρέφῃ. οὕτω γάρ σοι τὸ ἡράκλειον διαναστήσει φρόνημα καὶ πάσης τύχης κρεῖττον. ὃ ἂν δέ σοι τῶν θέρμων ἢ καὶ τῶν ἰσχάδων περιῇ, ἡμῖν πέμπε. Ἀνικφίδι.

λ Ἀκεδαιμόνιοι καθ' ἡμῶν ἐψηφίσαντο ὡς μὴ τῆς Σπάρτης ἐπιβαίνοιμεν. ἀλλὰ σύ γε μηδὲν εὐλαβηθῇς. ὀνόματι γὰρ κέχρηνται κυνισμοῦ. ἄξιε λέγε τοῖς γε μήν, οἱ μὲν νοσοῦντες ἃ δοκοῦσιν ἀσκεῖν

ὑπὲρ ἐμοῦ μόνης κατορθοῦσθαι. βίου τε ἁπλότητι οὐκ οἶδ' εἴ τις ἐμοῦ μᾶλλον εὕρηκεν. ὑπομονήν τε τῶν ἀδικούντων τίς ἂν καυχήσηται δια-σένους φανέντος. ἀκόλουθα γοῦν καὶ ταῦτα τούτοις. ἀτείχιστον δοκοῦντες δι' ἀνδρίαν οἰκεῖν τὴν Σπάρτην, ἀφύλακτον τὴν ψυχὴν τοῖς πάθεσιν ἐκδεδώκασι, μηδένα κατὰ τούτων βοηθὸν ἐπιστήσαντες. φοβεροὶ οὖν τοῖς ὁμόροις φανέντες ὑπὸ τῶν ἐν αὐτοῖς νοσημάτων πολεμοῦνται. ἐξελαυνέτωσαν οὖν ἀρετὴν ὑφ' ἧς μόνης δύναιτ' ἂν ἐρρῶσθαι ἡ ψυχὴ καὶ τῶν νοσημάτων ἀπηλλάχθαι.

## Τοῖς καλουμένοις Ἕλλησιν οἰμώζειν.

ὐ Παρέχει δὲ τοὔνομα κἂν ἐγὼ μὴ λέγω· ὄντες γὰρ τοῖς μὲν ὀκ-σιν ἄνθρωποι, ταῖς δὲ ψυχαῖς πίθηκοι, προσποιεῖσθε πάντα. γινώσκετε δὲ οὐδέν. τοιγάρτοι τιμωρεῖται μὲν ὑμᾶς ἡ φύσις. νόμους γὰρ ὑμῖν αὐτοῖς μηχανησάμενοι μέγιστον καὶ πλεῖστον τῦφον ἐξ αὐτῶν ἐκληρώσασθε μάρτυρας τῆς ἐμπεφυσιωμένης κακίας λαβόντες. καὶ οὐδέποτε ἐν εἰρήνῃ, ἀλλ' ἐν πολέμῳ τὸν ὅλον βίον κατατετρίφατε. καίτοι κακῶς ἐπιτηδεύοντες, ἐὰν μικρῷ μαλακώτερον ἱμάτιον ἴδητε ἔχοντα ἢ σωμάτιον πολίον, ἢ ἐν λόγῳ δριμύτερον ἢ μᾶλλον πεπαιδευμένον. οὐδὲ γὰρ διακρίνετε ὑγιεῖ λόγῳ, ἀλλ' ἐξεικότα καὶ ἐν δόξαις καὶ πιθανοῖς κατολισθαίνοντες, πάντα μὲν αἰτιᾶσθε. οὐδὲν δὲ οἴδατε. οὐδ' οἱ πρόγονοι ὑμῶν οὐδ' ὑμεῖς, ἀλλ' ὑπὸ ἀγνοίας καὶ ἀφροσύνης κατὰ μονώμενοι στρεβλοῦσθε κακῶς ποιοῦντες. μισεῖ δ' ὑμᾶς οὐ μόνον ὁ κύων, ἀλλὰ καὶ ἡ φύσις αὐτή. μικρὰ μὲν γὰρ εὐφραίνεσθε, πλεῖον δὲ λυπεῖσθε καὶ πρὸ τοῦ γῆμαι καὶ γήμαντες ὅτι ἐγήματε ὄντες ἐξώλεις καὶ δυσάρεστοι. ὅσους δὲ καὶ οἵους ἄνδρας ἀπεκτείνατε τοὺς μὲν ἐν πολέμῳ πλεονέκται ὄντες, τοὺς δὲ ἐν τῇ καλουμένῃ εἰρήνῃ αἰτίαν ἐπενεγκόντες. οὐκοῦν πολλοὶ μὲν ἐπὶ τῶν σταυρῶν κρέμαν-

του. πολλοὶ δὲ ἀπὸ τοῦ δήμου ἀπεσφαγμένοι ἕτεροι δὲ φαρμακο-
ποθέντες. οἱ δὲ δημοσίᾳ ἐπὶ τοῦ τροχοῦ δῆλον ὅτι ἄδικοι δόξαντες εἶναι.
πότεροι οὖν ἐπιχειρητέον ὦ κακαὶ κεφαλαὶ παιδεύουσι τούτους
ἢ ἀποκτείνουσι. νεκρῶν μὲν ἡμῖν οὐδεμία δήπου χρεία ἐτύγχανεν οὖ-
σα εἰ μὴ ὥσπερ ἱερείων σάρκας ἐσθίειν ἐμέλλομεν. ἀνδρῶν δὲ ἀγα-
θῶν πάντως δήπου ἔστιν ὦ κακαὶ κεφαλαί. ἀγραμμάτους μὲν
ἀμούσους παιδεύετε γράμματα τὰ καλούμενα μουσικά. ἵνα ὑ-
πάρχωσιν ὑμῖν ὁπότε ἡ χρεία τούτων. ἄνδρας δὲ ἀδίκους διὰ τί
οὐ παιδεύσαντες χρῆσθαι τούτοις ὁπότε ἡ χρεία δικαίων. ἐπεὶ τὸ
ἀδίκων χρείαν ἔχετε ὁπόταν βούλησθε ἀφελέσθαι πόλιν ἢ στρατό-
πεδον. καὶ οὔπω μέγα τοῦτο. ἄλλοτε μετὰ βίας πράσσετε, τὰ
καλὰ καὶ κρείσσονα λεηλατούμενα πάρεστιν ὁρᾶν. καὶ οἷς μὲν ὦ
κακαὶ κεφαλαὶ ἐπιχειρήσετε, τούτοις ἀδικεῖτε. καίτοι αὐτοὶ
μείζονος τιμωρίας ἄξιοι ὄντες. ἔν τε γυμνασίοις ὅταν ἢ τὰ καλού-
μενα ἑρμαῖα, ἐσθίετε. πίνετε. μεθύετε. συνουσίας περαίνετε. ἐκ
τῶν ἐναντίων περαίνεσθε. συνδικοπαιδεῖτε. ἀσεβεῖς ὑμεῖς ὅτι καὶ
κρύφα καὶ φανερῶς ποιεῖτε ταῦτα. οὐδὲν μὲν μέλει τῷ κυνί. ὑμῖν
δὲ πάντα τὰ δὲ ἐπιμελῆ ἐστι. καὶ ὅπου κινᾶς ἐργάζεσθε βίου φυσι-
κοῦ, πῶς εἰς αὐτοὺς οὐκ ἂν πλημμελήσετε. κἀγὼ μὲν ὁ κύων τῷ
λόγῳ. ἡ δὲ φύσις τῷ ἔργῳ ὁμοίως πάντας ὑμᾶς τιμωρεῖται. ὁμοί-
ως γὰρ πᾶσιν ὑμῖν θάνατος ἐπικρέμαται ὃν ὑμεῖς φοβεῖσθε καὶ
πολλάκις. εἰ δὲ πτωχοὺς ὑγιαίνοντας δι᾽ ἔνδειαν, πλουσίους δὲ νοσοῦν-
τας δι᾽ ἀκρασίαν διὰ δυστυχοῦς γαστρὸς καὶ αἰδοῦς. χαριζόμενοί τε τᾷ ρ
του πρὸς ὀλίγον. ἐξαργυρεῖσθε χρόνου ὑφ᾽ ἡδονῆς, μεγάλας καὶ ἰσχυρὰς
ἐναποδεικνυμένης ἀλγηδόνας. τὸ γὰρ οὐδὲν ὠφελεῖ ὑμᾶς ἡ οἰκία
οὔτε τὰ ἐν αὐτῇ κισσοκράνα, ἀλλ᾽ ἐν τοῖς χρυσοῖς καὶ ἀργυροῖς κλί-
ναις κατακείμενοι στρεβλοῦσθε καὶ ὀδυνῶντες. ἤδη σκοπεῖσθε δύνασθε

ἵνα τὰ τῶν ἀγαθῶν λείψανα μετὰ τῶν λαχάνων καταφάγητε κακοὶ κακῶς ἐπιτήδειοι ὄντες. ἀλλ᾽ εἰ νοῦν ἔχετε ὥσπερ οὐκ ἔχετε ἐὰν μεθύετε, συγκρατεῖτε τῷ σοφῷ πεισθέντες καὶ μοὶ ἢ βιοῦν σύμπαντες φρονεῖν μάθετε, ἢ ἀπάγξασθε. οὐ γὰρ δυνατόν εἶναι ἄλλως ἐν τῷ ζῆν, εἰ μὴ θέλετε ὥσπερ ἐν συμποσίῳ, ἕως ἂν ὑπερπιόντες καὶ ὑπερμεθυσθέντες, ὑπὸ ἰλίγγων καὶ στρόφων συνεχόμενοι ὑφ᾽ ἑτέρων ἄγησθε καὶ μὴ αὐτοὶ δύνασθε σωθῆναι. ἀπαντῶσι δ᾽ ὑμῖν καὶ ἐνθυμουμένοις ὅσα τὰ ἀγαθὰ ὧν δεσπόται λέγεσθε εἶναι, ἔρχονται οἱ κοινοὶ δήμιοι οὓς ὑμεῖς καλεῖτε ἰατρούς, οἳ ἃ ἂν ἐπὶ τὴν γαστέρα ἐπέλθῃ, ταῦτα λέγουσι καὶ πράττουσιν. οὗτοι δὲ καλῶς ποιοῦντες τέμνουσι καὶ καίουσι καὶ δεσμεύουσι φάρμακά τε διδόασι καὶ ἔσω καὶ ἔξω τοῦ σώματος. καὶ ἐὰν ὑγιασθῆτε οὐ δὲ τοῖς καλουμένοις ἰατροῖς χάριν ἔχετε. ἀλλ᾽ ἐὰν ὑγιασθῆτε, τοῖς θεοῖς φατὲ δεῖν ἔχειν χάριν· ἐὰν δὲ μή, τοῖς ἰατροῖς ἐγκαλεῖτε. πλεῖον δέ μοι γε πρέπει τὸ εὐφραίνεσθαι τοῦ λυπεῖσθαι· καὶ τὸ εἰδέναι τοῦ ἀγνοεῖν. διετέλεσα γὰρ ἐντυγχάνων ἀντισθένει τῷ σοφῷ· ὃς μόνος τοῖς εἰδόσιν αὐτὸν διεῖλε καὶ τοῖς ἀλλοτρίοις τοῖς οὐκ εἰδόσι φύσιν λόγων, ἀλήθειαν οὐ παρέβλεν. οὐδὲν φροντίσας κνωδάλων νηπίων μὴ ἐπισταμένων ὡς εἴρηται ἐν ἐπιστολῇ λόγοις κενός. βαρβάροις δὲ οὖσιν ὁμοιάζειν λέγω, ἕως ἂν ἑλληνιστὶ μαθόντες ἕλληνες ἀληθινοὶ γένησθε. νῦν μὲν γὰρ πολὺ χαριέστεροί εἰσιν οἱ καλούμενοι βάρβαροι, καὶ τόπῳ ἐν ᾧ εἰσὶ καὶ τρόπῳ. καὶ οἱ μὲν καλούμενοι ἕλληνες, στρατεύουσιν ἐπὶ τοὺς βαρβάρους. οἱ δὲ βάρβαροι διαφυλάττειν οἴονται τὴν ἑαυτῶν πάντες ὄντες αὐτάρκεις. ὑμῖν δὲ ἱκανὸν οὐδὲν καὶ γὰρ φιλόδοξοι καὶ ἄλογοι καὶ ἀχρήστως τρεφόμενοι ἐστέ.

Διονυσίῳ

ε Πειδὴ δέδοκταί σοι ἐπιμέλειαν ποιήσασθαι ἑαυτοῦ, πέμψω σοι ἄνθρωπον οὐδὲν μὰ Δία ἀριστίππῳ καὶ πλάτωνι ὅμοιον. ἀλλ' ἕνα τῶν ἀθήνησι παιδαγωγῶν ἐξ ὧν ἔχω. ἀμβλύτατα μὲν βλέποντα, ὀξύτατα δὲ βαδίζοντα. σκύτος δὲ ἀλγεινότατον φέροντα. ὅς σε μὰ Δία ἐπιτρέψει τὸ μὴ καθ' ὥραν ἀναπαύεσθαι. καὶ πρωῒ ἐγείρεσθαι παύσας φόβων καὶ δειμάτων. ἐν οἷς ὢν, οἴει τι μᾶλλον διὰ τοὺς δορυφόρους ἢ τῆς ἀκροπόλεως τὴν δυσθυμίαν ἀποστήσεσθαι αὐτῶν δι' ὧν μόνων ἀεὶ πάρεστι. καὶ σοὶ δὲ ὅσῳ μᾶλλον καὶ πλείω καὶ μείζω τοιαῦτα κατασκευάζῃ, πλείους καὶ μείζους ἀπορίαι καὶ δείματα τῆς ψυχῆς ἀποβαίνουσι. πάντα οὖν ταῦτα περιαιρήσεται. καὶ θάρσος ἐμποιήσας ἀποστήσει τῆς μαλακίας. τί γὰρ ὄφελος ἀνδρὸς μὴ ἐλευθέρου. ἔστι δέ τοι αὐτὸ τοῦτο ἡδυλεία. οἷς μετὰ δέους ὁ βίος παρεσκεύασται. ἕως μὲν οὖν ταύτας οὕτως συνουσίας ἔχεις, οὐκ ἀνήσει σε τούτων τι τῶν κακῶν. ἐὰν δὲ τὸν ἔξω μεταλάβῃς ὅς σου τὰς πλευρὰς ἀποκαθαίρῃ, καὶ παύσῃ δείπνων μαγειρικῶν, ἐν ὁποίοις δὲ καὶ αὐτὸς διαιτᾶται τρόποις καταστήσῃ σε, σωθήσῃ ὦ δείλαιε. νυνὶ δὲ τοιούτους εὕρηκας ἀνθρώπους οἳ ἂν μάλιστά σε διαλυμαίνοιντο καὶ διαφθείροιεν. οὐ γὰρ ὅπως ἀγαθόν τι παρασκευάσωσιν, ἀλλ' ὅπως δειπνήσωσί τι σκοποῦσι καὶ ὅτι κερδανοῦσι ζητοῦσιν, οὐδὲν ἀφαιρούμενοί σου τῶν ὑπαρχόντων κακῶν, ἀλλὰ τῶν ὄντων ἀφαιρούμενοι καὶ προσκαταλύοντες τῶν οἰκείων ἐθῶν. καὶ οὕτως ἀναίσθητος εἶ, ὃς οὐδ' ἐκεῖνο ἀκούεις οὕτως ἐν μέσῳ καὶ πανταχοῦ τῆς ἑλλάδος λεγόμενον.

Ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι. ἢν δὲ κακοῖσι
Συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.

Ὧν σοι οὐδὲν βαρύτερόν ἐστιν ὦ δείλαιε τῶν περὶ σὲ τυραννι-
κῶν τρόπων. οὐδὲ ἔστιν ὅτι σε ἀεὶ ἄλλο μᾶλλον ἀπόλλυσιν. ἀλλ' οὔτε
ἀνθρώπων δυνήσῃ εὑρεῖν ἐπὶ τούτῳ, ὅστις σε ἀποστήσει ὥσπερ τῆς
ἱερᾶς νόσου καλουμένης τῆς τυραννίδος. ἅπαντα γὰρ ποιεῖς ὅ-
σα ἄνθρωπος μαινόμενος ποιοίη. μόνου δὲ ἀποστὰς τούτου σωθή-
σῃ ἄν. ἀλλ' οὔτε οἱ συνόντες ὁρῶσιν ὅσον τὸ κακὸν ἔχεις, οὔτε αὐ-
τὸς αἰσθάνῃ. οὕτως ἐκ πολλοῦ τέ σου καὶ σφόδρα ἧπται ἡ νόσος.
σκύτους οὖν δέεσαι τοῦ δεσπότου, ὄχλος σε θαυμάσει τε κολακεύσει,
ὡς ὑπό γε τοιούτου ἀνθρώπου, πῶς ἄν τις ποτὲ ὠφεληθείη. ἢ πῶς ὁ
τοιοῦτος ὠφελήσειε τινα, εἰ μὴ ὥσπερ ἰατροὶ ἢ βοῶν κολάζοιτε ἅ-
μα καὶ σωφρονίζοι, φροντίζοντε τῶν δεόντων. ἀλλὰ σύ γε πόρρω ἥ-
κεις διαφθορᾶς. οὐκοῦν ἀναγκαῖον τομάς τε καὶ καύσεις τῆς φρε-
νίτιδος ποιεῖσθαι. σὺ δὲ ὥσπερ τὰ παιδία πάππους τινὰς καὶ τί-
θας εἰσήγαγον. καί σοι φασὶ δεῖξαι τέκνον. ἔγχεαι ἔτι με φίλος
μικρὸν ἔτι. μόνον τουτὶ πρόσφαγε. εἰ οὖν σοι ἅπαντες καὶ πᾶσαι
συνελθόντες κατηρῶντο, οὐκ ἂν συμφορώτερα τῇ νόσῳ ἐ-
ποίησαν. ἀλλὰ τί, οὐ γὰρ μήποτε σὺ ἐθελήσειας τὰ θρία τῶν σύ-
κων ἐπιτρώγειν, ἀλλ' ὥσπερ πρόβατον οὐκ ἂν ἀποσταίης
τῶν ὡρίμων. οὐκ ἔστιν οὖν σοι οὔτε χαίρειν οὔ-
τε ἐρρῶσθαι ὦ φίλ-
τατε.

Τέλος τῶν Διογένους
ἐπιστολῶν.

# ΕΠΙΣΤΟΛΑΙ ΚΡΑΤΗΤΟΣ ΙΠΠΑΡΧΙΑ ΤΗ ΓΥΝΑΙΚΙ ΑΥΤΟΥ.

Πάνηκε ταχέως. ἔτι δύνασαι διογένην καταλαβεῖν ζῶντα. ἐγγὺς γὰρ ἤδη ἐστὶ τῆς τοῦ βίου τελευτῆς. χθὲς γέ τοι παρὰ τοσοῦτον ἦλθε ἐκπνεύσειν. ἵνα καὶ ἀσπάσῃ αὐτὸν τὸ ἔσχατον ἄσπασμα. καὶ γνῷς ὅσον δύναται καὶ ἐν τοῖς φοβερωτάτοις φιλοσοφία.

Τοῖς ἑταίροις.

μ Η πάντας αἰτεῖτε τὰ ἀναγκαῖα. μὴ δὲ παρὰ πάντων τὰ διδόμενα δέχεσθε. οὐ γὰρ θεμιτὸν ἀρετὴν ὑπὸ κακῶν τρέφεσθαι. μόνους δὲ καὶ παρὰ μόνων τῶν μεμυημένων φιλοσοφίαν, καὶ ὑμῖν ἐξέσται αἰτεῖν τὰ ἴδια, καὶ μὴ δοκεῖν αἰτεῖν τὰ ἀλλότρια.

Τοῖς αὐτοῖς.

μ Ελέτω ὑμῖν τῆς ψυχῆς. τοῦ δὲ σώματος, ὅσον ἀνάγκη. τῶν δ' ἔξω μηδ' ὅσον. εὐδαιμονία γὰρ οὐχ ἡδονὴ δὲ ἦν τῶν ἐκτὸς χρεία, ἀλλ' ἀρετὴ μετ' οὐδενὸς τῶν ἐκτὸς τελεία.

Ἑρμαΐσκῳ.

ξ Ιθαῖρε τὸν ὁ πόνος, πονεῖτε φιλοπονητόν, πόνει, ἵνα μὴ πονῇς. διὰ γὰρ τοῦ μὴ πονεῖν, ὁ φεύγεται πόνος. τοῦ δὲ ἐναντίον, καὶ διώκεται.

Τοῖς ἑταίροις.

κ Αλὸν νόμος. ἀλλ' οὐ κρεῖττον φιλοσοφίας. ὁ μὲν γὰρ βιάζεται μὴ ἀδικεῖν. ἡ δὲ διδάσκει. ὅσῳ δὲ χεῖρον ἐστὶν ἀνάγκῃ τι ποιεῖν τοῦ ἑκουσίως, τοσούτῳ καὶ νόμος φιλοσοφίας. ὥστε διὰ τοῦτο φιλοσοφεῖτε καὶ μὴ πολιτεύεσθε. κρεῖττον γὰρ δι' οὗ διδάσκονται αὐτοὶ δικαιοπραγεῖν ἐπίστασθαι, ἢ δι' οὗ ἀναγκάζονται μὴ ἀδικεῖν.

Τοῖς αὐτοῖς

Ιλοσοφεῖτε πλλάκις ἢ ἀναπνεῖτε· αἱρετώτερον γὰρ τὸ
φ εὖ ζῆν ὃ περὶ φιλοσοφία τοῦ ζῆν ὃ περὶ ἀναπνοή· καὶ μὴ ὡς ἄλλοι· ἀλλ᾽ ὡς ἤρξατο μὲν ἀντισθένης· ἐτελείωσε δὲ διογένης· εἰ δὲ δύσκολον τὸ ὧδε φιλοσοφεῖν, ἀλλὰ συντομώτερον· πρὸς δὲ εὐδαιμονίαν ὡς ἔλεγε διογένης καὶ διὰ πυρὸς βαδιστέον.

Τοῖς αὐτοῖς.

Γάρξασθε ὅτι θέρμους καὶ ἰσχάδας καὶ ὕδωρ ἔχοντες καὶ
α ἐξωμίδας μεγαρικὰς πλεῖτε καὶ πολλὰ γεωργεῖτε, καὶ προδίδοτε καὶ τυραννεῖτε, καὶ φονεύετε ἢ ὅσα ἄλλα τοιαῦτα δεῖ ποιεῖτε, δέον ἠρεμεῖν· ἡμεῖς δὲ εἰρήνην ἄγομεν τὴν πᾶσαν· παντὸς κακοῦ ἐλεύθεροι γενόμενοι ὑπὸ τοῦ σινωπέως διογένους· καὶ ἔχοντες μηδὲν πάντα ἔχομεν· ὑμεῖς δὲ πάντα ἔχοντες, οὐδὲν ἔχετε διὰ φιλονεικίαν καὶ φθόνον καὶ φόβον ἢ κενοδοξίαν. Διογένει.

Πολὺ μὲν δὴ τοῦ πλούτου ἤδη ἐλευθεριάζομεν· ἡ δὲ δόξα ἡ-
α μᾶς οὐδέπω ἔτι καὶ νῦν μεθίεται τῆς δουλείας. καίτοι νὴ τὸν ἡρακλέα ἡμῶν πάντα ποιούντων εἰς τὸ ἀφεθῆναι παρ᾽ αὐτῆς. ἄλλως δὲ καὶ τῆς δὲ ἐμαυτὸν τῆς δεσποίνης λυτρώσομαι πολλοὺς ἀθήναζε, φέρων σοι δωρεάν. εἰς καὶ ἐξελευθῇ μᾶς ὁ παρὰ σοῦ λόγος ἐμαυτῷ τὸ κρεῖττον πάντων κτῆμα.

Μνασοῖ.

Η ἀπέχου τοῦ καλλίστου κόσμου· ἀλλὰ κόσμει σαυτὴν ἑ-
μ κάστης ἡμέρας, ἵνα διαφέρουσα ἧς· κάλλιστος δὲ κόσμος ἐστίν, ὁ κάλλιστα κοσμῶν· κάλλιστα δὲ κοσμεῖ, ὁ κοσμιωτάτην ποιῶν· κοσμιωτάτην δὲ ποιεῖ, κοσμιότης· ᾗ μοι δοκοῦσι καὶ ἡ πηνελόπη καὶ ἡ ἄλκηστις κεκοσμῆσθαι· καὶ ἔτι καὶ νῦν ἐπ᾽ ἀρετῇ ὑμνεῖ-

σθαι

θαι. καὶ τιμᾶσθαι. ἵνα οὖν καὶ σὺ τούτοις ἐνάμιλλος γένῃ, πειρῶ τούτων ἀντέχεσθαι τῶν παραινουμένων.

Λύσιδι.

Κινδυνεύσεις ὦ Λῦσι ἀπὸ τοῦ ἀγῶνος τοῦ ἐν Ἐρετρίᾳ συνεχῶς μεθύσκεσθαι. εἰ δὲ τοῦτό ἐστιν ἀληθῆ, πάρεστί σοι μικρὰ καταφρονῆσαι ὧν Ὅμηρος ὁ σοφὸς λέγει. φησὶ γάρ·

Οἶνος καὶ κένταυρον ἀγακλυτὸν Εὐρυτίωνα.

Ὤλεσε καὶ κύκλωπα ὑπὲρ αὐτὸν καὶ τὸ μέγεθος καὶ τὴν ἰσχὺν φοροῦντα.

Εἰ δὲ καὶ τοὺς ἰσχυροτέρους καὶ μείζους ἡμῶν κακῶς διαθήσει, πῶς οἴει ἡμᾶς αὐτὸν διαθήσειν. οἶμαι μὲν γὰρ ἀθλίως. ὅπως οὖν μὴ γένηταί μηδὲν δυσχερὲς ἀπὸ τούτου, πειράσομαί σοι μαθόντι εὐχρήστως αὐτῷ χρῆσθαι. ὡς ἄριστον μὲν γὰρ τὸ μετὰ πλήκτρῳ μὴ εἴκειν οἴεσθαι· τοὺς δὲ χρωμένους αὐτῷ καλλίστως ὀξίσκουσι τῶν φρενῶν καὶ ὅλως μανίαν ἐμβάλλειν. τῷ δὲ οἴνῳ οἴεσθαι δεῖν καὶ χρῆσθαι αὐτῷ ἢ τῷ πλήκτρῳ ἀναβαίνειν τοσοῦτον μεῖζον. καὶ τὴν μελέτην αὐτοῦ ποιητέον. πειρῶ δὴ τοῖς ἐγκρατέσι τῶν ἀνδρῶν ὁμιλῶν ἐγκρατῶς χρῆσθαι μανθάνειν. ὅπως αὖ τό τε δῶρον τοῦ θεοῦ μὴ ἀτιμάζοντι εἰς κεφαλήν σοι γένηται, ἀλλὰ τιμῶντι ἡδοναὶ ἀμεταμέλητοι. καὶ ὠφελῆσαί σοι ἀπὸ τοῦ οἴνου ὅτι ἄλλως πρὸς μετ' ἐγκρατείας περαινομένας εὐσχημόνως τε καὶ δικαίως τὸν βίον διάγειν, μηδὲν ἄσχημον μηδὲ φαῦλον ἐν τῷ βίῳ διαπραττόμενοι, ἀλλὰ πάντα τὰ δίκαια λέγοντα καὶ πράττοντα. ὧν παρουσίᾳ ἄνθρωποι λέγονται τρισευδαίμονες γενέσθαι. τῶν αὐτοῖς ἀγαθῶν πληθυνόντων ἐν τῷ βίῳ. οἷς γὰρ τά τε περὶ τὴν ψυχὴν ἐγκρατῶς διάκειται, τά τε περὶ τὸ σῶμα ὑγιεινῶς, τά τε περὶ κτῆσιν αὐτάρκως, πῶς οὐ τρισευδαίμονες εἰσί. ὅπως οὖν τούτων τῶν ἀγαθῶν ἀπολαύῃς, παραινῶ σοι μὴ ὀλιγωρεῖν τῶν ἐπεσταλμένων.

Τοῖς ἑταίροις.

ά Σκεῖτε ὀλίγων δεῖσθαι. τοῦτο γὰρ ἐγγυτάτω θεοῦ. τὸ δὲ ἐναντίον μακροτάτω. ὑμῖν ἔσται ἐν μέσοις γενομένοις θεοῦ καὶ ἀναλογισθεῖσι, τινὶ κρείττονι γίνει. καὶ μὴ ὅτι ἀναλόγως τῷ χείρονι ὁμοίους γίνεσθαι.

Ὠριγένῃ.

ά Υποιεῖ ἀγρὸς σπουδαίους οὐδὲ ἄστυ φαύλους, ἀλλ' αἱ σὺν τοῖς ἀγαθοῖς καὶ κακοῖς διατριβαί. ὥστε εἰ βούλει ἀγαθοὺς καὶ μὴ κακοὺς γίνεσθαί σοι τοὺς παῖδας πέμπε μὴ κατ' ἀγρὸν, ἀλλ' εἰς φιλοσόφου. ἵνα καὶ αὐτοὶ βαδίζοντες, τὰ καλὰ ἐμάθομεν. ἀσκητὸν δ' ἀρετή. καὶ οὐκ αὐτόματον ἐμβαίνει τῇ ψυχῇ, ὥσπερ κακία.

Εὐμόλπῳ.

ά Δόξος τόλμα διογένειος, ἀλλ' ἀσφαλής. καὶ πλουσιώτερος ὀχούμενος αὐτῇ τῶν τὰ καρχηδονίων φρονούντων. καὶ λιτὸς ὁ βίος, ἀλλ' ὑγιεινότερος τοῦ πελιανοῦ. καὶ ἐπίπονος ἡ ἀγωγὴ, ἀλλ' ἐλευθεριωτέρα τῆς σαρδαναπάλου. ὥστε εἰ κρείττων τῆς καρχηδονίας στολῆς καὶ ἡ ὑγίεια τοῦ λαμπροῦ βίου καὶ ἡ ἐλευθερία ἐπονειδίστου διατριβῆς, καὶ ἡ ταύτης φιλοσοφία ποιοῦσα τῶν πάντων ἐστὶ κρείττων. ἢ εἰ μὴ ἡ κατ' ἄλλους, ἀλλ' ἡ κατὰ διογένην τὸν εὑρόμενον τὴν σύντομον ὁδὸν ἐπ' εὐδαιμονίαν.

Τοῖς νέοις.

έ Θίζετε ἑαυτοὺς ἐσθίειν μᾶζαν καὶ πίνειν ὕδωρ. ἰχθύων τε οἴνου μὴ γεύεσθαι. ταῦτα γὰρ τοὺς μὲν γέροντας ἀποθηριοῖ ὥσπερ τὰ παρὰ τῆς κίρκης φάρμακα. τοὺς δὲ νέους ἐκθηλύνει.

Τέλος.

# ΕΠΙΣΤΟΛΑΙ ΑΝΑΧΑΡΣΙΔΟΣ
## ΑΘΗΝΑΙΟΙΣ.

Ἐλᾶτε ἐμὴν φωνὴν διότι οὐ τρανῶς ἑλληνικὰ γράμματα λέγει· ἀνάχαρσις παρὰ ἀθηναίοις σολοικίζει· ἀθηναῖοι δὲ παρὰ σκύθαις. οὐ φωναῖς διήνεγκαν ἄνθρωποι ἀνθρώπων πρὸς τὸ εἶναι ἀξιόλογοι, ἀλλὰ γνώμαις, ὥσπερ καὶ ἕλληνες ἑλλήνων. σπαρτιᾶται οὐ ξανοὶ ἀττικίζειν, ἀλλ' ἔργοις λαμπροὶ καὶ εὐδόκιμοι. οὐ ψέγουσι σκύθαι λόγον ὃς ἐμφανίζει τὰ δέοντα, οὐδ' ἐπαινοῦσιν ὃς ἂν μὴ ἐφικνῆται τοῦ δέοντος. πολλὰ δὲ ἡμεῖς οἰκονομεῖτε οὐ προσέχοντες φωνῇ ἄρθρα οὐκ ἐχούσῃ. εἰσάγεσθε ἰατροὺς αἰγυπτίους. κυβερνήταις χρῆσθε φοίνιξιν. ὠνεῖσθε ἐν ἀγορᾷ, οὐ διδόντες πλεῖον τῆς ἀξίας τοῖς ἑλληνιστὶ λαλοῦσιν. οὐδὲ ὀκνηρῶς λαμβάνετε παρὰ βαρβάρων ἐὰν πρὸς τρόπον πωλῶσι. βασιλεῖς περσῶν καὶ κεῖνοι φίλοι μεγαλοφρονοῦντες ὅταν βούλωνται πρὸς ἑλλήνων πρεσβευτὰς ἑλληνικῇ φωνῇ φθέγγεσθαι, ἀναγκάζονται σολοικίζειν· ὧν ὑμεῖς οὔτε βουλὰς οὔτε ἔργα καταμέμφεσθε. λόγος δὲ κακὸς οὐ γίνεται ὅταν βουλαὶ ἀγαθαὶ ὦσι· καὶ ἔργα καλὰ λόγοις παρακολουθεῖ. σκύθαι δὲ κρίνουσι λόγον φαῦλον ὅταν διαλογισμοὶ φαῦλοι γίνωνται. πολλῶν καθυστερήσετε, ἂν δυσχεραίνητε φωνεῖς βαρβάροις· καὶ μετὰ τοῦτο μὴ ἀποδεχόμενοι τὰ λεγόμενα. πολλοὺς γὰρ ποιήσετε ὀκνηροὺς εἰσηγεῖσθαι ὑμῖν τὰ συμφέροντα. διατί βάρβαρα κάτιμα τε ὑφάσματα φωνὴν ἢ βάρβαρον δοκιμάζετε. αὐλούντων θ' ᾀδόντων φωνὰς ζητεῖτε ἐμμελεῖς θ' ἐκ τῶν ἐμ

μέτρα τοιούτων ἐπιλαμβάνεσθαι, εἰ μὴ ἀναπληροῦσι γράμμασιν ἑλληνικοῖς τὰ μέτρα λεγόντων ἢ θεωρεῖτε αὐτοὶ τὰ λεγόμενα. τὸ τέλος τούτων εἰς ὄνησιν, καὶ βαρβάροις πειθόμενοι οὐκ ἐπιτρέψετε γυναιξὶ καὶ τέκνοις. καὶ προσέχουσιν ὑμῖν ἐὰν σολοικίζητε. κρεῖσσον γὰρ σολοικίζουσιν ἐπακολουθοῦντας σώζεσθαι, ἢ τρανῶς ἀττικίζουσιν ἐπακολουθοῦντας μέγα βλάπτεσθαι. ἀπαιδεύτων ταῦτα δ' ἐστὶ καὶ ἀπειροκάλων ἄνδρες ἀθηναῖοι. σώφρων γὰρ οὐδεὶς ἂν διανοηθείη ταῦτα.

Σόλωνι.

ἕ Λληνες σοφοὶ ἄνδρες οὐδέν τι σοφώτεροι βαρβάρων. τὸ γὰρ ἐπίστασθαι καλὸν εἰδέναι, οὐκ ἀφείλοντο οἱ θεοὶ βαρβάρων. πεῖραν δ' ἔξεστι λαμβάνειν διεταζόντας λόγιους, εἰ καλὰ φρονοῦμεν. καὶ βασανίζειν εἰ συμφωνοῦμεν. λόγιος γὰρ πρὸς ἔργα εἰ ὁμοιωτές μὲν τοῖς ἀγαθῶς ζῶσι. στολαὶ δὲ καὶ κόσμος σώματος μὴ γινέσθωσαν ἐμπόδιον ὀρθῆς κρίσεως. ἄλλοι γὰρ ἄλλως κατὰ νόμους πατέρων κεκοσμήκασι τὰ σώματα. σημεῖα δὲ ἀσυνεσίας τὰ αὐτὰ βαρβάροις καὶ ἕλλησιν. ὁμοίως δὲ συνέσεως. σὺ δὲ διότι ἀνάχαρσις ἐλθὼν ἐπὶ σὰς θύρας ἐβούλετό σοι ξένος γενέσθαι, ἀπηξιώσας. καὶ ἀπεκρίνω ἐν οἰκείᾳ χώρᾳ μὴ δεῖν ξενίας συνάπτειν. εἰ δέ τις σοι κοινὰ συμπρακτικὰ ἐδωρεῖτο ἢ καὶ προσέτασσες ἐκείνῳ ἀνδρὶ κοινὰ τούτου εἰς ἀπαρτίαν ἀγαγόντα δύνασαι σοι. τί δὴ καὶ ἐσόμεθα ἕτεροι ἑτέροις ξένοι, ἐπειδὰν ἕκαστος τοῦτον τὸν λόγον λέγοι. ἐμοὶ μὲν οὐ καλῶς ἔχειν ταῦτα δοκεῖ σόλων ἀθηναῖε σοφὲ καί με κελεύει θυμὸς πορεύεσθαι πάλιν ἐπὶ σὰς θύρας οὐκ ἀξιώσοντα ἃ καὶ πρότερον, ἀλλὰ πευσόμενον πῶς ἔχει ἃ περὶ ἀπεφήνω ὑπὲρ ξενίας.

Ἱππάρχῳ.

ο Ἶνος πολὺς ἄκρατος ἀλλότριον τοι καλῶς πίεσθαι τὰ καθήκοντα. οὐ χρὴ γὰρ φρένας ἐν αἷς ἵδρυνται ἀνθρώποις τὸ λογίζεσθαι. τὸν δὲ ὀρεγόμενον μεγάλων, ἐξὸν χερὶ καλῶς πρᾶξαι ἃ ἐπιβάλλεται ἐὰν μὴ ὑφέρηται βίον καὶ μεριμνητικὸν ἐν στήσονται. ἀφεὶς οὖν κύβους καὶ μέθην, τρέπου πρὸς τὰ δι' ὧν ἀρέξεις. κατὰ τρόπον εὐεργεσίας παρ' ὅσου ἑαυτοῦ φίλους τε προσαίτας εὖ ποιῶν. εἰ δὲ πρὸς τῷ αἰσχρὸς εἶναι κινδυνεύσεις ἰδίῳ σώματι, γὰρ τε μνησθήσονται σου φίλοι ἀνδρὸς σκύθου ἀναχάρσιδος.

Μηδόκῳ.

Φ Θόνος καὶ πλ᾽όνησις μεγάλα τεκμήρια φαύλης ψυχῆς. Φθόνῳ μὲν γὰρ ἕπεται λύπη, δυσπραγίας φίλων καὶ πολιτῶν. πλ᾽όνησει δὲ ἐλπίδες κενῶν λόγων. σκύθαι οὐκ ἀποδέχονται τοιούτους ἄνδρας, ἀλλὰ χαίρουσί τε τοῖς εὖ πράττουσι καὶ ζητοῦσιν ὧν βούλονται αὐτοὺς τυχεῖν. μῖσος δὲ καὶ φθόνον καὶ πᾶν δύσκολον πάθος ὡς πολέμιον ἐκδιώκουσι καὶ παντὶ σθένει διατελοῦσιν.

Αρωνι.

Μοὶ μὲν περίβλημα χλαῖνα σκυθική. ὑπόδημα δέρμα ποδῶν. κοίτη δὲ πᾶσα γῆ. δεῖπνον τε ἄριστον, γάλα τε τυρὸς καὶ κρέας ὀπτὸν. πιεῖν ὕδωρ. ὡς οὖν ἀργοῦντός μου σχολὴν ὧν οἱ πλεῖστοι ἕνεκεν ἀσχολοῦνται, παραγοῦ πρός με εἴ τινα μὴ χρείαν ἔχεις. δῶρα δ' οἷς ἐν τρυφᾶτε ἀντιδωροῦμαί σοι. ὑμεῖς δ' ὅσοι καρχηδόνιοι εἰς χάριν σὴν ἀνάθεσθε θεοῖς.

Υἱῷ βασιλέως.

σ Οἱ μὲν αὐλοὶ καὶ βαλάντια. ἐμοὶ δὲ βέλη καὶ τόξα. διὸ εἰκότως σὺ μὲν δοῦλος ἐγὼ δὲ ἐλεύθερος. καὶ σοὶ μὲν πολλοὶ

πολέμιοι. ἐμοὶ δὲ οὐδείς. εἰ δὲ θέλεις, ῥίψας τὸ ἀργύρεον φέρειν τόξα καὶ φαρέτραν καὶ πολιτεύεσθαι μετὰ σκυθῶν, ὑπάρξει καὶ σοὶ ταὐτά.

### Τηρεῖ.

ὁ Υ τελέως ἄρχων ἀγαθὸς ἀπολαύει ἀρχομένων· τὸ δὲ χειμῶνα γὰρ θὴς πρόβατα λυμαίνεται. σοὶ δὲ πᾶσα μὲν χώρα ἔρημος ἀρχομένων καὶ κακῶς προστατευθεῖσα ὑπαρχόντων. πᾶς δὲ οἶκος ἰδιώτης εἰς ταπεινὸν συνέσταλται. ὥστε μὴ δύνασθαι τοῖς πράγμασι χρήσιμος εἶναι. φείδεσθαι δὲ ἄμεινόν σε τῶν ἂν ἧς κύριος. οὐ μὴ γὰρ ἴδια κτήματα ἐπαύξεται τῇ βασιλείᾳ καὶ διαμένει. νῦν δὲ ἀπανίζεις μὲν ἀνδρῶν εἰς πόλεμον, ἀρπάζεις δὲ χρημάτων οἷς διοικεῖς. οὐ στρατιώτας καὶ δικαίως θεωροῦντας ἐν σῶμα ἐὰν μὴ καταλείπῃς τροφὴν ἀρκοῦσαν ἔτι ποιῆσαι καὶ ἐν ὄρεσιν ἐν ἐρήμοις πεφυκόσιν ἐν τούτοις οἰκήσουσι καὶ ἐργάσονται τὰ τῶν μελιττῶν.

### Θρασυλόχῳ.

κ Υων τῷ γένει καλὸν ζῶον μνημονεῦον εὐεργεσιῶν. φιλεῖ τὴν εὐεργετῶν οἰκίαν. διατηρῶν εὐνομίαν ἕως θανάτου. σὺ δὲ πολεμικὸς εὐεργεσιῶν δυνάμενος συλλογισμῷ ἐξισοῦσθαι ἀνθρώποις. ζητεῖ οὖν λόγος ἐμὸς τίνος ἂν γένοιο θυμοῦ δίκαιος ὅταν πρὸς τοὺς εὐεργέτας λέοντος τὴν χεῖρα φορῇς. πειρῶ οὖν συνήθειαν ἐμὴν ἣν ἔχομεν πρὸς σὲ σώζειν. καὶ γὰρ ἐλπίδες καλαὶ ἀνδρὶ τοιούτῳ.

### Κροίσῳ.

ὁ Ι σὺ ἕλληνες ποιηταὶ λέγουσι κόσμον διανέμοντες κρόνου παισὶν ἀδελφοῖς λῆξιν, τὸ μὲν οὐρανοῦ, τὸ δὲ θαλάττης. τρί-

τῳ δὲ

τὸ δὲ σόφου προσέθεσαν. τοῦτο μὲν ἰδιοπραγίας ἑλληνικῆς. κοινωνίαν γὰρ οὐδεμίαν χρήματος ἐπιστάμενοι τὸ ἑαυτῶν κακὸν θεοῖς προσέρριψαν. γῆν δὲ ὅμως ἐξαίρετον καὶ οὗτοι κοινὴν ἅπασιν ὑπελείποντο. φέρε τοῦτο τί ποτε φέρει τὸ νόημα φροντίζωμεν. πάντες ἐβούλοντο θεοὺς τιμὰς πρὸς ἀνθρώπων ἔχειν καὶ πάντας ἀγαθῶν δοτῆρας καὶ κακῶν ἀποτρόπους ὑπάρχειν. κοινὸν δὲ θεῶν κτῆμα τὸ κοινὸν καὶ ἀνθρώπων τὸ πάλαι ἦν. χρόνῳ δὲ παρηνόμησαν ἴδια ἐπονομάζοντες τεμένη θεοῖς, τὰ πάντων κοινά. θεοὶ δὲ ἀντὶ τούτων δῶρα πρέποντα ἀντεδωρήσαντο. ἔριν γὰρ καὶ ἡδονὴν καὶ μικροψυχίαν ἀνθρώποις. ἀπὸ τούτων μιγνυμένων τε καὶ διακρινομένων πάντα ἔφυ τὰ κακὰ τοῖς πᾶσι θνητοῖς. ἄροτοι. ἄφοροι. μεταλλαγαί. πόλεμοι. καρποὺς τε γὰρ ἐπεισενεγκόντες πολλαπλασίους ἀποφέρονται μικρῶν. τέχναις τε ποικίλλοντες ὀλίγον βίον εὕρωνται τρυφὴν ἵνα τέως.

# ΕΠΙΣΤΟΛΑΙ ΕΥΡΙΠΙΔΟΥ
## ΑΡΧΕΛΑΩι.

τ Ο μὲν ἀργύριον αὖ ἔπεμψα μέν σοι, πάλιν ὅτι τὴν ἡ-
μῖν ἀμφίας ἐκόμιζεν. οὐ δόξαν κενὴν θηρώμενοι
ἐμή τε καὶ ἀχαριστήσεσθαι μᾶλλον ἢ ἀποδέξασθαι ἡ-
μᾶς διὰ αὐτὸ ἐνομίζομεν. τοὺς δ' ἄλλους αὐτὸ
τοῦτο δὴ καὶ μάλιστα συκοφαντεῖν ἐπιχειρήσειν ὡς ἐπίδειξιν οὖ-
σαν τὸ πρᾶγμα. καὶ πρόσχημα μᾶλλον εἰς τοὺς πολλούς. οὐ μεγα-
λοφροσύνην οὐδεμίαν. ὥστε τούτοιν μὲν ἀμφοῖν ἕνεκα καὶ ἐδε-
ξάμεθα. καὶ κλίτων δὲ ἐπέστειλεν ἡμῖν ὅπως λάβοιμεν ἀπειλή-
σας ὀργιεῖσθαι μὴ λαβοῦσιν. ἄλλως τὸ μὲν αὐταρκες ἡμῖν τε καὶ
τοῖς φίλοις παρόν. τὸ δ' ὑπὸ σοῦ πεμφθὲν πλεῖον ἢ ὅσον ἡμῖν τε καὶ τούτοις
ἥρμοζε. καὶ ἦν ἡμῖν ἡ φυλακὴ ῥαδία. περὶ τῶν πελλαίων νεανί-
σκων, καὶ πρότερον μὲν ἐπεστείλαμέν σοι δεόμενοι καὶ νῦν δεό-
μεθα σῶσαί τε αὐτοὺς καὶ ἀνεῖναι τῶν δεσμῶν. οὐδὲν γὰρ ἀδικεῖν
ἐοίκασιν, ἢ οὐδὲν βλάψειν ἀφεθέντες ἔτι. μέτριον δὲ καὶ τὸ χαρίσα-
σθαι δεομένοις ἡμῖν. καὶ τὸ ἐλεῆσαι δὲ τὸν πατέρα αὐτῶν γέροντα
ὡς ἔστι πυθέσθαι, τῶν δ' εὐγενεστάτων ἐν πέλλῃ καὶ κατὰ τἄλλα δοκί-
μων. ὃς αὐτὸς ἐλθὼν ἀθήναζε ἐφ' ἡμᾶς κατέφυγεν, ἐλπίσας δυ-
ναθῆ τι παρὰ σοί. καὶ ἐδεήθη ταῦτα ἐπιστεῖλαί σοι. ἀλλὰ
μὴ φαυλότερος γένῃ περὶ ἡμᾶς ἢ ἐκεῖνος ὑπέ-
λαβεν.

## Σοφοκλεῖ.

Κομισθεῖσ' ἀθήναζε ὦ σοφόκλεις ἡ περὶ τὸν εἰς χίον πλοῦν γενομένη σοι συμφορά. καὶ ἴσθι οὕτω διατεθεῖσαν τὴν πόλιν ἅπασαν, ὡς μηδὲ τοὺς ἐχθροὺς ἧττον ἀχθεσθῆναι τῶν φίλων. τὸ δὲ τοσούτου κακοῦ ἠκούετος περισώζεσθαί σε καὶ τὸ τῶν συνόντων σοι φίλων μηδὲ θεραπόντων ἀποβαλεῖν μηδένα, οὐκ ἄλλο τι ἔγωγε ἢ θεοῦ πρόνοιαν γενέσθαι πείθομαι. ἡ μέν τοι περὶ τὰ δράματα συμφορὰ ἣν, τίς οὐχὶ κοινὴν ἁπάσης τῆς ἑλλάδος νομίσειεν ἄν, δεινὴν, ἀλλὰ περιόντος γε σοῦ ῥᾳδίως ἐπανορθωθήσεται. σκόπει δ' ὅπως ἀσφαλεστέραν ἢ ταχυτέραν ποιήσαιο τὴν ἐπάνοδον. καὶ ἤτοι ἀέρα ἢ θάλασσα ἢ τὸ κρύος παραχρῆμα νηχομένοι τι ἢ ὕστερον κακῶς σοι δοκεῖ, ῥαΐσας τὸ σῶμα πρότερον ἢ συχνὴ ἐπέμβηθι. καὶ τὰ οἴκοι ἴσθι κατὰ νοῦν καὶ ὅσα ἐπέσταλκας ἐπιτελῆ ὄντα. ἀσπάσαι χονίδην τε καὶ ἄλλα πρέπειν καὶ εἰδέ τῳ σὺν ἡμᾶς ὤχνησε, καὶ ἐπαινοῦ τοῖς χαιροντας ὅτι σώζονται. ἀντιγόνη τὸν ἰατρὸν εἶπε ἔτι ἐν χίῳ καταλαμβάνεσθαι καὶ μὴ ἀπηρκέναι εἰς ῥόδον, ἀσπάσαι. καὶ ἴσθι ἀνθρώπων βέλτιστον ὄντα καὶ τοὺς κρατίνου υἱέας.

## Ἀρχελάῳ.

Φίκετο ἀθήναζε πρὸς ἡμᾶς ὁ πελλαῖος γέρων ἅμα τοῖς ἑαυτοῦ νεανίσκοις. ἐξηγεῖτο μὲν ἡ ὄψις ὦ βέλτιστε βασιλεῦ ἰδέα μὲν ἐμοὶ τερπνὸν θεωμένῳ τε καὶ ἰδεῖν ταῦτα ἐγένετο. καλὴ δὲ καὶ σοὶ ἀπόντι καὶ φέρουσα δόξαν πολλὴν καὶ ζῆλον παρὰ πᾶσι τοῖς τε ἐπιτηδείοις τοῖς ἐμοῖς, καὶ ἀθηναίων ὅσοι σοι εἶδον. εἶδον δὲ πολλοὶ κἀκεῖ οὐδεὶς ὅστις οὐκ ἠγάσθη τέ σου τῆς φιλανθρωπίας καὶ συνήσθη τὰ ἀγαθά. πελαιὸς γὰρ γέρων οὐ πολλαῖς πάνυ ἡμέραις πρότερον ἐνθάδε ῥυπῶν τε καὶ κόμην ἔχων ἐν οὕτω πάνυ

λι τῇ περὶ ἐλπίδι τεθειμένος τὴν σωτηρίαν τῶν παίδων. λαμπρός τε ἐξαίφνης καὶ μετὰ δυοῖν παίδοιν νεανίαιν, θύων τε τοῖς θεοῖς ἐμέ τε ὑμνῶν καὶ περιέπων ὅτι σώσαιμι αὐτῷ τοὺς υἱέας καὶ τὴν πόλιν τὴν τῶν ἀθηναίων ὅτι τοιούτους πολίτας τρέφοι· ἐγὼ δὲ πολλὰ μὲν καὶ ἕτερα εἰπεῖν ἔχω. οὐ βούλομαι δὲ ἐπιδεικνὺς ὅσω πλείονα ἐκ τούτου σεαυτὸν ὤνησας ἢ ἄλλον τινὰ ἀνθρώπων, δοκεῖν διὰ τοῦτο ἐλάττω σοι χάριν ἔχειν. ὁμολογῶ δὲ αὐτός τε δὴ τὰ μέγιστα πεπονθέναι καὶ πειράσεσθαι τοῦ καλοῦ τούτου ἔργου, πολλὰ πάνυ καὶ μεγάλα παρασχεῖν σοι χαριστήρια. ὅτι οὔτε τὸν δείλαιον γέροντα ἐκεῖνον ὅτε ἠτύχει τῆς ἐφ' ἡμῖν, οὔτε ἡμᾶς τῆς ἐπὶ σοὶ γενομένης ἐψεύσω ἐλπίδος.

## Τῷ αὐτῷ.

Αἱ τὰ περὶ τοὺς πλείους ὦ βέλτιστε ἀρχέλαε καὶ πολ-
κ λὰ ἄλλα πεπολίτευταί σοι καλῶς. καὶ πρὸς ἐμὲ καὶ πρὸς ἑτέρους ἐπιεικεῖς τε καὶ σπουδῆς ἀξίους πολλούς. καὶ οὐχ ἥκιστα αὐτὰ εὖ ἴσθι ὅσα πρὸς ἄλλους τινὰς, ἢ ὅσα πρὸς ἡμᾶς ἰδίᾳ πέπρακταί σοι καλῶς, ἐπιμελές μοι εἰδέναι οὐ φιλοπράγμονι ὄντι ἀλλὰ χαίροντι ἐφ' οἷς εὐδοκιμοῦντα πυνθάνομαί σε. ἐγὼ χάριν σοι οὐκ ἐλάττω ὑπὲρ αὐτῶν ἔχω· οὐ γὰρ ἀφ' ὧν αὐτὸς ἔπαθόν τι ἰδίᾳ δεῖν μᾶλλον ᾔσθημαι, ἢ ὅτι σε τοιοῦτον ὄντα ἔγνωμ, ἔγωγε νομίζω· τοιγὰρ δὴ τοῦτό μοι περίεστιν ἀπὸ παντὸς ἔργου ὅτι ἂν εἰς ὁντινοῦν τῶν ἐπιεικῶν πυνθάνωμαί σε καλῶς πεπολιτευμένον. καὶ μέμνησο τούτων ὦ βέλτιστε ἀρχέλαε, ὅτι τὰ μὲν ἄλλα οὐδὲν πλέον

ἢ πολλοὺς πόνους καὶ πολλὰς φροντίδας ἔδωκέ σοι ὁ θεός. ἓν δὲ
ἔδωκεν ἀγαθὸν δύνασθαι εὖ ποιεῖν οὓς ἂν ἐθέλῃς. θέλειν δὲ δεῖ
τοὺς ἀξίους. καὶ τὰ μὲν ἄλλα ἔπαυσεν βουλομένῳ σοι ἀφελέ-
σθαι. ἓν δὲ οὐδὲ βουληθεὶς ποτε ἀφαιρήσεται τὸ πολλοὺς εὖ
πεποιηκέναι. ὥς τε εὖ ἴσθι ὅτι οὐδεμία μείζων ἀνδρὶ γνο-
μένῳ ποτὲ ἐν δυνάμει μεταμέλεια καὶ πολυωδυνία γίνεται, ἢ
διδόντος τοῦ θεοῦ μηδένα ἔδρασεν ἀγαθὸν μηδὲν βουλο-
μένῳ δὲ δρᾶν πέπαυται διδοὺς ὁ θεός. ἀλλ' οὔσου γε ἂν τοῦτο,
πώποτε πάθοις. οὐ δὲ ἀνιάσῃ ὅτι οἴχεται ὁ καιρὸς εἰς ἀνθρώπων
εὐεργεσίαν ἀνεθεὶς φροῦδος ἤδη καὶ πέπαυται παρὼν ὁ θεός, ἀλ-
λὰ καὶ παρέσται μὲν ἀεὶ καὶ στήσεται κατόπιν ἀξίῳ γε ὄντι καὶ
χρωμένῳ ταῖς ἑαυτοῦ χερσὶ δεξιῶς. ἀλλὰ δῆτα καὶ ἐπισχη-
νιῶν, πάντως ἤδη καὶ πόλεις καὶ ἔθνη καὶ ἰδιῶται πολλοί.
καὶ ᾔσθοντο τῆς σῆς δυνάμεως, οὐ σὺν κακῷ, καὶ ἔχουσιν ἀπο-
μοιράν τι τῆς εὐπραξίας. καὶ οἱ μὲν πόνοι πάντες ἦσαν ἐκ
τοῦ σοῦ. καὶ τὸ κινδυνεύειν καὶ αἱ φροντίδες. τὸ δὲ εὐφρ-
αίνειν τε ἔπαθον τοῖς παθοῦσι καὶ σοὶ τοῦτο πεποιηκότι ἀεὶ μέ-
νει, οὐ μικρὸν οὔτε κτῆμα οὔτε ἀπόλαυσμα, ἀλλὰ ἀρκοῦν
τοῦτο καὶ ἐν δυσπραγίαις ἡδονὰς παρέχειν. ταῦτα δὴ παρακε-
λεύομαι πράττειν τε ἀεὶ καὶ μὴ ἀποκάμνειν. ὥσπερ οὐδέποτε κά-
μοις ἂν οὐδὲ ἔστι τις τούτου κόρος. τὰ δ' ἄλλα πράως ὁμοίως καὶ
δεξιῶς χρῆσθαι τῇ παρούσῃ δυνάμει. καὶ γὰρ τοῦτο αὐτὸ οὐκ
ἄλλον τινὰ ἀνθρώπων οὐδ' ὅς τις τεθνήξεσθαι παραχρῆμα μέλ-
λων, σοῦ κελεύοντος ἀφεθῇ, ἐκεῖνον μᾶλλον ἢ σεαυτὸν εὐφρα-
νεῖ τὸ τοιοῦτον εἶναι τὸν τρόπον. ἔτι γε μὴν καὶ τὸ τοὺς ἀ-
πὰρ τυχὸν τι μῖσ καὶ λόγων τιμὰς τῶν ἑλλήνων ἀξίους

καὶ μάλιστα τοὺς κατὰ τέχνας σπουδαζομένους. καὶ πάλιν αὖ μάλιστα τούτων ἁπάντων τοὺς ποιεῖν ἢ λέγειν τι κατὰ παιδείαν δυναμένους, μετακαλεῖσθαί σε πανταχόθεν καὶ χορηγίαις τῶν ἐπιτηδείων ἀφθόνοις καὶ ταῖς ἄλλαις φιλοφροσύναις τημελεῖν, ὅπως ἀπαλλαγέντες τῶν ἄλλων φροντίδων ἐπιδιδῶσιν ἀεὶ διὰ σὲ καὶ προϊῶσιν ἐν ταῖς ἑαυτῶν ἕκαστοι τέχναις. καὶ τὸ τούτων ἀμεπιμπλάναι τὸν οἶκον, ἀλλὰ μὴ κολάκων καὶ βωμολόχων ἀνθρώπων, καὶ τούτοις θεραπεύειν αὐτὸν οὐχ ὑπ' ἐκείνων θεραπεύεσθαι μᾶλλον ὁμολογοῦνται, ὥσπερ γ' ἐπυνθάνεσθαι πολλάκις ὅτι ἐπ' ἐκείνοις μᾶλλον ἔδει τὸ σὲ εἶναι ὁποῖος εἶ, καὶ τὸ τοιοῦτον ὄντα παρὰ τοῖς ἔπειτα ἀνθρώποις λόγου τυχεῖν, ἢ ἐπὶ σοὶ τὸ ἐκείνους εὐτυχεῖν, ἐκείνοις μὲν γὰρ καὶ ὑπολείπουσιν αἱ παρὰ σοῦ δωρεαὶ καὶ πλοῦτον αὐτάρκη καὶ δόξαν εἶναι καὶ ἡδονὴν τὰς τέχνας, τίς οὐκ ἂν ἀγάσαιτο καὶ μακαρίσειε τούτων ἁπάντων; καὶ μάλιστα ὅτι ὁμολογοῦσιν ἤδη καὶ ἴσασι πάντες εἰς τοῦτό σε ἥκοντα τῆς πρὸς τοὺς συνόντας σοι φιλανθρωπίας, ὥστε τὴν μὲν ἰσχὺν καὶ πάνυ σοι συμβάλλεσθαι. τὸ δ' ὄνομα μηδὲν ἀντιπράσσειν τὸ τοῦ βασιλέως, εἰς τὸ στέργεσθαι ὑπὸ τῶν φίλων.

Κηφισοφῶντι.

κ Ἀφικόμεθα εἰς μακεδονίαν ὦ βέλτιστε κηφισοφῶν· τό, τε σῶμα οὐ μοχθηρῶς διατεθέντες καὶ ὡς οἷόν τε μάλιστα ἦν ἐπιφανῶς κομιζόμενοι συντόμως, καὶ ἀπεδέξατο ἡμᾶς ἀρχέλαος ὡς εἰκός τε ἦν, καὶ προσεδοκῶμεν ἡμεῖς οὐ δωρεαῖς μόνον ὧν οὐδὲν ἐχρῄζομεν ἡμεῖς ἀλλὰ καὶ φιλοφροσύναις ὧν οὐδ' ἂν εὔξαιτό τις μείζους παρὰ βασιλέων. καὶ κατελάβομεν κλίτωνα ἐρρωμένον καὶ ἔστιν ἡμῖν σὺν ἐκείνῳ τὰ πολλά. καὶ ὅταν τύχ-

σὺν ἄρ

σὺν ἀρχελάῳ, ἄμεμπτος ἡ διαγωγὴ πρός τε τοῖς ἔργοις οὐδὲν κω-
λυόμεθα τοῖς τούτων ἐγκεῖσθαι· ἀλλὰ τὸ πολὺ μὲν ἔγκειται ὁ Καὶ
των πολὺς ἢ ὁ Ἀρχέλαος ἑκάστοτε φροντίζειν ἀεί τι καὶ ποιεῖν τῶν
ἀσθέτων ἀναγκάζοντες· ὥστε ἔμοιγε μισθὸν οὐκ ἀηδῆ μὲν οὖν οὐ
δὲ ἄπονον δοκεῖ ἀρχέλαος ἀναπράττεσθαι. τῶν τε δωρεῶν ὧν ἔδω-
κέ μοι ἀδεῶς ἀφικομένῳ καὶ ὅτι ἑστίᾳ με λαμπρότερον ἢ ἐμοὶ
φίλον ἦν ἑκάστης ἡμέρας. περὶ δὲ ὧν ἐπέστειλας ἡμῖν, σὺ μὲν εὖ
ποιεῖς ἐπιστέλλων ἃ δοκεῖς ἡμῖν εἰδέναι διαφέρειν. ἴσθι μέντοι μη-
δὲν μᾶλλον ἡμῖν ὧν νῦν Ἀγάθων ἢ Μεσάτος λέγει μέλον, ἢ τῶν
Ἀριστοφάνους φληναφημάτων οἶσθά ποτε μέλον. καὶ τούτοις γε
καὶ ἀδικήσουσιν ἡμᾶς ἐς τὰ μάλιστα ἀποκρινάμενός ποτε καὶ
ὅλως μὴ παυομένους τῆς ἀναλγησίας αὐτοὺς ὁρᾷς. ἦν μέντοι τῆς
τῶν ἀξίων περὶ δὲ ἐκείνων λέγειν τι ἀκούειν αἰτιᾶται ἡμᾶς τὴν
πρὸς ἀρχέλαον ὁδοῦ. ἃ μὲν γὰρ πρόσθεν εἶπον μὲν περὶ τοῦ μηδὲν εἰς
μακεδονίαν ἡμᾶς ἀποδημεῖν ἐπιστάμενος, ἃ δὴ μετὰ ταῦτα ἡμᾶς
ἠνάγκασε βαδίσαι ἀγνοῶν, τοῦτον δὴ ἄξιον νόμιζε δηλοῦν
αὐτῷ ἅπερ οἶσθα σὺ Κηφισοφῶν. καὶ οὕτως πεπαύσεται ἀγνοῶν
τῆς αἰτίας· καὶ ἅμα ὅπερ εἰκός ἐστι τοὺς ἀγνοοῦντας πάσχειν, κα-
ταγνώσκων ἡμῶν ὡς φιλοχρημάτων γινομένων. οὐ γάρ-
που δὴ πορφύραν καὶ σκῆπτρον φορεῖν ἢ φρούρια λαβόντας ἐν
τρικαλλοῖς ἡγεῖσθαι ὑπάρχους ἄλλου μέρους ὀρεχθῆναί τις ἂν
φήσειεν ἡμᾶς καὶ διὰ τοῦτο δὴ σταλῆναι τὴν πρὸς ἀρχέλαον
ὁδόν. ἀλλὰ δηλονότι πλούτου ἕνεκα. εἶτα πῶς ἂν ὅτε νέοι τε καὶ ὅ-
τε μέσοι τὴν ἡλικίαν ἦμεν, καὶ ὅτε ἔτι ζώσης ἡμῖν τῆς μητρὸς
ἧς ἕνεκα ἂν μόνης ἐβουλόμεθα πλουτεῖν ἢ ὅπερ ἄλλως ἐβουλό-
μεθα οὐχ ὅπως ἐδιώξαμεν, ἀλλὰ καὶ ἀπεωσάμεθα ἐγκείμε-

νομ τὸν αὐτὸν τὸν πλοῦτον ἤδη τηλικούτοις δὲ οὖσιν, ἡμῖν ἱμερτὸν εἶναι εἰκότως ἄν τις νομίσειεν· εἰ μὴ διὰ τοῦτο ἄρα πολλὰ λαβεῖν σὺν ἀδοξίᾳ τέ τινι ἡμετέρα καὶ οὐδὲ ἀπολαύσει ἔτι οὐδεμιᾷ ἐπιθυμήσαιμεν, ἵνα ἐν βαρβάρῳ γῇ ἀποθάνωμεν· καὶ ἵνα πλείονα Ἀρχελάῳ καταλίποιμεν χρήματα. ἔτι δὲ δὴ καὶ προσθείης ὅτι ἐπειδὴ τάχιστα ἀφικόμεθα εἰς Μακεδονίαν ὀλίγαις ὕστερον ἡμέραις τεσσαράκοντα τάλαντα ἀργυρίου διδόντος Ἀρχελάου καὶ ἀναγκάζοντος ὅτι οὐ λαμβάνοιμεν, ἀντεχόμενοι μὴ λαβεῖν. τῶν τε ἄλλων δωρεῶν ὁπόσας ἢ Κλίτων ἔδωκεν ἡμῖν ἢ Ἀρχέλαος ἔπεισε λαβεῖν, οὐκ ἐλάθομεν ἐνθάδε ὑπολελειμμένοι· ἀλλ᾽ οἴχονται αὐτὰ φέροντες, οἵπερ καὶ ταύτην τὴν ἐπιστολὴν φέρουσιν ὑμῖν τοῖς αὐτόθι ἑταίροις καὶ ἐπιτηδείοις νεμήσοντες ἅπαντα. τίς ἂν οὕτως εὑρεθείη ἔτι σκαιὸς καὶ βάσκανος τὸν τρόπον, ὅστις ἂν φιλοχρηματίᾳ με θελχθέντα ταύτην ἀποδημῆσαι ὑπολάβοι τὴν ἀποδημίαν ἀλλὰ δήπου ἀλαζονείαν τινά, ἤτοι δύνασθαί τι μέγα ἐπιθυμίαν ἐροῦσιν; ἀλλὰ μὲν δύναμις ἡμῖν καὶ μένουσιν Ἀθήνησιν ἡ παρὰ Ἀρχελάου καὶ πάλαι ἦν· ἄλλως τε ὁ Κλίτων οὐ τοσοῦτον ἐδύνατο μέγα, τοῦ μὴ ἄλλον ὃν προῃρούμην ἐξ ἀρχῆς τρόπον βιοῦν ἐμέ, μηδ᾽ ὅπου μὴ ἐθέλοιμι ἀποθανεῖν. τελευταῖον δὲ καὶ παρέχειν λόγους ἔοικε τοῖς κακῶς βουλομένοις ἡμᾶς λέγειν. εἰ δὲ δὴ καὶ δυνάμεώς τινος ὠρεγόμεθα, τί ἄλλο ταύτῃ τῇ δυνάμει, ἢ πρῶτον μὲν εἰς τὰ τῆς πόλεως ἔπειτα εἰς τὰ τῶν φίλων χρήσεσθαι ἐμέλλομεν. ἀλαζονείας τε ἕνεκα πλὴν ἂν μᾶλλον ἐνδείξει τῶν τε φίλων καὶ ἐχθίστων τῶν ἐχθρῶν δύνασθαί τι ἐβουλόμεθα. καὶ μὴν ἡ μεταβολὴ ἐμὲ οὔτε εἰς τὰ ἐπιτηδεύματα οὔτε εἰς ὑμᾶς τοὺς φίλους καὶ οὐχ ἧττον εἰς τοὺς ἐχθροὺς σκοπῶν εὕροι τις ἄν, οἷς ἅπασιν ἐκ νέου μέχρι τοῦ νῦν τοῖς

αὐτοῖς

αὐτοῖς κέχρημαι, πλὴν ἑνὸς ἀνδρὸς Σοφοκλέους· πρὸς γὰρ δὴ
τοῦτον μόνον ἴσασί με τὰ χείρω οὐχ ὁμοίως ἀεὶ τὴν γνώμην ἔχοντα·
ὃν ἐγὼ ἐμίσησα μὲν οὐδέποτε, ἐθαύμασα δὲ ἀεί. ἔστερξα δὲ οὐχ ὁ-
μοίως ἀεί. ἀλλὰ φιλοτιμότερον μέν τινα εἰδέναι περὶ δόξας ὑπεῖ-
δον. βουληθέντα δὲ τὴν λύσασθαι τὸ μεῖκος, προθυμότατα ὑπεδεξά-
μην. καὶ ἀλλήλους μὲν ἐξ ὅτου συνέβη, στέργομέν τε καὶ στέρξομεν.
τοὺς δὲ ἐμβάλλοντας ἡμῖν πολλάκις τὰς ὑπονοίας ἐνσεῖσαι, εἴ τοι ἡ-
μᾶς ἀπεχθάνεσθαι, τὸν ἕτερον θεραπεύοντες αὐτοὶ πλεῖον ἔχωσι
διαβεβλήμεθα. καὶ νῦν ὦ βέλτιστε Κηφισοφῶν, οἱ δὲ ὅτι οὗτοι εἰ-
σὶν οἱ τοὺς περὶ ἡμῶν λόγους ἐμβάλλοντες εἰς τοὺς ὄχλους, ἄλλως
τε ἀεὶ ἄπρακτοι αὐτῶν αἱ κακαὶ γλῶσσαι ἐγίνοντο καὶ γέλωτα
δὲ αὐτῶν καὶ μῖσος, οὐδὲν πλέον, ὤφλισκανον, καὶ νῦν ἴσθι ὅτι οὐκ
ἄπρακτοι μόνον, ἀλλὰ καὶ ἐπὶ κακῷ σφίσιν ἔσονται. σὺ μέντοι
εὖ ποιεῖς περὶ τούτων ἡμῖν γράφων, ἐπειδήπερ οἶδ' ἡμῖν
διαφέρει. ἄλλως τε εὖ ποιεῖς γράφων, οὔ-
τως ἀδικεῖν φῆσαι μὲν ἂν ἡμᾶς,
ἀντιλέγοντα ὑπὲρ αὐ-
τῶν τοῖς οὐκ
ἀξί-
οις.

Τέλος τῶν Εὐριπίδου
ἐπιστολῶν.

BIBLIOTECA UNIVERSITARIA SEVILLA

## ΕΠΙΣΤΟΛΑΙ ΘΕΑΝΟΥΣ ΠΕΡΙ ΤΕΚΝΩΝ ΑΝΑΤΡΟΦΗΣ. ΘΕΑΝΩ ΕΥΒΟΥΛΗι ΧΑΙΡΕΙΝ.

Κούω σε τὰ παιδία τρυφερῶς ἄγειν. ἔστι δὲ ἀγα-
α θῆς μητρὸς οὐχ ἡ πρὸς ἡδονὴν ἐπιμέλεια τῶν παί-
δων, ἀλλ᾽ ἡ πρὸς τὸ σῶφρον ἀγωγή. βλέπε οὖν μὴ
οὐ φιλούσης, ἀλλὰ κολακευούσης ἔργον ποιῇς.
συντρεφομένη γὰρ ἡδονὴ παισὶν, ἀκολάστους ποιεῖ. τί γὰρ ἥδιον νέ-
οις συνήθους ἡδονῆς. χρὴ οὖν ὦ φίλη τὴν τροφὴν τῶν παίδων, μὴ
διαστροφὴν εἶναι. ἡ δὲ διαστροφὴ τῆς φύσεώς ἐστιν, ὅταν φιλή-
δονοι μὲν τὰς ψυχὰς ἡδυπαθεῖς δὲ τοῖς σώμασι γίγνωνται,
καὶ τοῖς μὲν, φυγόπονοι, τοῖς δὲ, μαλακώτεροι. δεῖ δὲ πρὸς τὰ
φοβερὰ γυμνάζειν τὰ τρεφόμενα κἂν λυπηθῇ κἂν πονήσῃ
δὲ, ἵνα μὴ τῶν παθῶν ᾖ δοῦλα, τοὐναντίον καὶ περὶ τὰς ἡδονὰς λί-
χνα καὶ περὶ τοὺς πόνους ὀκνηρά, ἀλλ᾽ ἵνα τὰ καλὰ πρὸ πάντων
τιμῶσιν. τῶν μὲν ἀπεχόμενοι, τοῖς δὲ ἐμμένοντες. οὐδὲ πλησμο-
νικὰ μὲν ταῖς τροφαῖς πολυτελῆ δὲ ταῖς ἡδοναῖς. ἀκόλαστα δὲ
ταῖς ἀνέδην παιδιαῖς αὐτὰ ποιεῖν καὶ πᾶν μὲν λέγειν πᾶν
δὲ ἐπιχειρεῖν ἐᾶσαι. ἐπειδὲ φοβουμένη μὲν ἣν κλαίῃ. φι-
λοτιμουμένη δὲ ἵνα γελᾷ καὶ τὴν τροφὸν παίῃ κἄν σε κακῶς
ἔπη γελῶσα. ἐκ τοῦ μὲν θέρους ψῦχος, τοῦ δὲ χειμῶνος καῦμα πρί-
ζουσα. ἐκ πάλιν χλιδῆν, ὧν οἱ πενιχροὶ παῖδες οὐδὲν πειρῶν-
ται. ἐκτρέφονται μὲν ῥᾶον, αὔξονται δὲ οὐχ ἧττον. διάκεινται δὲ πρὸς ἅπαν κρεῖσσον.
σὺ δὲ οἷον σαρδαναπάλλους ἐκτρέφεις τὰ τέκνα, τὴν τῶν ἀρρένων φύ-
σιν θρύπτουσα ταῖς ἡδοναῖς. τί γὰρ ἂν ποιήσειέ τις παιδίον ὃ ἂν μὴ τά-
χιον φάγῃ, κλαίει. καὶ ἐσθίῃ, τὰ τερπνὰ τῶν ὄψων ζητεῖ. καὶ καῦ-
μα παρίεται, καὶ ψῦχος ἀπωματίζει, κἂν ἐπιτιμᾷς, ἀντιμά-
χεται.

χέηται. κἂν μὴ πρὸς ἡδονὴν ὑπηρετῆται, λυπεῖται. κἂν μὴ μασσῶνται δυσκολαίνει. καὶ κακοχολεῖ πρὸς ἡδονὴν καὶ βαταλίζεται τεθρυμμένον. ἐπιμελῶς δὲ ὦ φίλη εἰδυῖα ὅτι τὰ σπαταλῶντα τῶν παιδίων ὅταν ἀκμάσῃ πρὸς ἄνδρας, ἀνδράποδα γίνεται, τὰς τοιαύτας ἡδονὰς ἀφαίρει. τὴν τροφὴν αὐστηρὰν μὴ τρυφερὰν οὕτω ποιοῦσα καὶ ἔασον καὶ λιμὸν καὶ δίψος ἐνεγκεῖν ἔτι καὶ ψῦχος καὶ θάλπος καὶ αἰδῶ τὴν ἀπὸ τῶν συνηλίκων ἢ τῶν ἐπιστατῶν. οὕτω γὰρ γενικὰ εἶναι συμβαίνει τὰ κατὰ ψυχὴν ἀνατεινόμενα ἢ ἐπιτεινόμενα. οἱ γὰρ πόνοι φίλη προϋποθέσεις τινές εἰσι τοῖς παισὶν εἰς τελειωθησομένης ἀρετῆς, αἷς ἐμβαφέντες ἀποχρώντως τὴν τῆς ἀρετῆς βαφὴν οἰκειότερον φέρουσι. βλέπε οὖν φίλη μὴ καθάπερ τῶν ἀμπέλων αἱ κακοτροφούμεναι τὸν καρπὸν ἐλλείπουσι καὶ ὑπὸ τῆς τρυφῆς οἱ παῖδες ὕβρεως καὶ πολλῆς ἀχρειότητος κακίαν γεννήσωσι.

Πρὸς τὴν ζηλοτυποῦσαν παραμυθητική. Θεανὼ Νικοστράτῃ χαίρειν.

ἤ

Κουον τὴν τοῦ ἀνδρός σου παράνοιαν ὅτι τὴν ἑταίραν ἔχει· σὺ δὲ ὅτι ζηλοτυπεῖς αὐτόν. ἐγὼ δὲ ὦ φίλη πολλοὺς ἔγνωκα τῆς αὐτῆς νόσου θηρευομένους. γὰρ ὡς ἔοικεν ὑπὸ τῶν γυναικῶν τούτων κατέχονται καὶ οὐκ ἔχουσι νοῦν. σὺ δὲ ἄθυμος εἶ καὶ νύκτα καὶ μεθ' ἡμέραν καὶ ἀδημονεῖς καὶ μηχανᾷ τι κατ' αὐτοῦ. μὴ σύ γε ὦ φίλη. γαμετῆς γὰρ ἀρετή ἐστιν οὐχ ἡ παρατήρησις τἀνδρός, ἀλλ' ἡ συμπεριφορά. συμπεριφορὰ δέ ἐστι τὸ φέρειν ἄνοιαν. εἰ δὲ ἑταίρᾳ μὲν πρὸς ἡδονὴν ὁμιλεῖ. γαμετῇ δὲ πρὸς τὸ συμφέρον. συμφέρει δὲ κακοῖς κακὰ μὴ μίσγειν. μηδὲ παρανοίᾳ παράνοιαν ἐπάγειν. ἔνια δὲ ἁμαρτήματα φίλη ἐλεγχόμενα μᾶλλον ἐπιπλέον ἐρεθίζεται, σιωπώμενα δὲ παύεται μᾶλλον. ὡς τὸ πῦρ ἡσυχίᾳ

Φασὶ σβέννυσθαι· ἐγὼ δὲ βούλομαι σε λεληθέναι δοκεῖν ἐλέγχουσα ἀ-
φαιρήσῃς τὸ παρακάλυμμα τοῦ πάθους καὶ φανερῶς ἁμαρτήσε-
ται. σὺ δὲ τὴν φιλίαν ἣν γὰρ τοῦ ἀνδρὸς οὐκ ἐν τῇ καλοκαγαθίᾳ.
τοῦτο γὰρ ἡ χάρις τῆς κοινωνίας. νόμιζε οὖν πρὸς μὲν τὴν ἑταίραν
ῥᾳθυμήσοντα πορεύεσθαι ἐκεῖνον. σοὶ δὲ συμβιώσοντα παραμένειν γε·
σὲ μὲν φιλεῖν κατὰ γνώμην. ἐκείνην δὲ κατὰ πάθος. βραχὺς δὲ ὁ
τούτου καιρός. ἅμα γάρ ποτε ἔχει καὶ κόρον· καὶ παρεῖται ταχὺ
καὶ παύεται. ὀλιγοχρόνιος γὰρ ὁ καιρὸς ἐστὶ πρὸς ἑταίραν ἀν-
δρὶ μὴ σφόδρα κακῷ. τί γὰρ ῥᾷόν ἐστι ματαιότερον ἐπιθυμίας ἀπολαυ-
ούσης ἀδίκου. διὸ καὶ μαθὼν τὸν βίον καὶ διαβάλλων τὸ δύσφημον
αἰσθήσεταί ποτε. οὐδεὶς γὰρ ἐπιμένει φρονῶν αὐθαιρέτως βλα-
βῇ. καλούμενος οὖν ὑπὸ τῶν πρὸς σὲ δικαίων καὶ τὰς περὶ τὸν βί-
ον ἐλαττώσεις ὁρῶν, αἰσθήσεταί ποτέ σου. καὶ τὴν ἀπὸ τῆς κα-
ταγνώσεως ὕβριν οὐ φέρων, ταχὺ μεταγνώσεται. σὺ δὲ φίλη ζῆ-
θι οὐχ ἑταιρικῶς ἀποκρινομένη. τῇ μὲν εὐταξίᾳ πρὸς τὸν ἄνδρα
διαφέρουσα. τῇ δὲ ἐπιμελείᾳ πρὸς τὸν οἶκον. τῇ δὲ συναλλαγῇ
περὶ τὰς χρωμένας. τῇ δὲ φιλοστοργίᾳ. περὶ τὰ τέκνα. οὐ ζηλο-
τυπητέον οὖν σοι πρὸς ἐκείνην. πρὸς γὰρ τὰς ἐναρέτους ἐκτείνειν
τὸν ζῆλον καλόν. ἑαυτὴν δὲ παρεκτέον ἐπιτηδείαν ταῖς διαλλα-
γαῖς. τὰ γὰρ καλὰ ἤθη καὶ παρ' ἐχθροῖς εὔνοιαν φέρει φίλη. καὶ
μόνης καλοκαγαθίας ἔργον ἐστὶν ἡ τιμή. ταύτῃ γὰρ δύναται τὸν ἀνδρὸς
ἐξουσίαν καθυπερέχειν γυναικὶ καὶ τιμᾶσθαι πλέον ἢ θεραπεύειν
τὸν ἐχθρόν. καταιδούμενος οὖν ὑπὸ σοῦ, μᾶλλον αἰσχυνθῇ. τάχιον δὲ
διαλλαγῆναι θελήσει. προσπαθέστερον δὲ φιλοστοργήσει συνεγνωκὼς
τὸ ἀδικῆσαι τε εἰς σέ, καταγνοὺς τε τὴν προσοχὴν ἐπὶ τοῦ βίου καὶ πεῖραν
τῆς στοργῆς λαμβάνων τῆς πρὸς αὐτόν. ὥσπερ γὰρ αἱ κακοπάθειαι τοῦ σώ-

ματος

ματος ἡδεῖαι τὰς ἀναπαύσεις ποιοῦσιν, οὕτως αἱ διαφοραὶ τῶν φίλων οἰκειοτέρας τὰς διαλλαγὰς φέρουσι. σὺ δὲ καὶ τὰ βουλεύματα τοῦ πάθους ἀντίθες. νοσοῦντος γὰρ ἐκείνου καὶ σὲ παρακαλεῖ τοῖς λυπηροῖς· καὶ ἁμαρτάνοντος περὶ τὸ εὔσχημον καὶ σὲ περὶ τὸ κόσμιον ἁμαρτάνειν· καταβλάπτοντος τὸν βίον καὶ σὲ καταβλάπτειν τὸ συμφέρον. ἀφ' ὧν ἐποιοῦ τὸν συντετάχθαι δόξεις πολεμοῦσα, κολαζομένη ἐκεῖνον καὶ σεαυτὴν κολάζειν. εἰ γὰρ ἀφεμένη χωρίσῃ, ἑτέρου δὲ πειραθήσῃ ἀνδρὸς τοῦ προτέρου ἀπηλλαγμένη· κἂν ἐκεῖνος ἁμαρτάνῃ τὰ ὅμοια, πάλιν ἄλλου· οὐ φορητὴ γὰρ νέαις χηρεία, ἢ μόνη μενεῖς ἀπ' ἀνδρὸς οἷον τὸ ἄζυξ; ἀλλὰ ἀμελήσεις τοῦ οἴκου καὶ καταφθερεῖς τὸν ἄνδρα. ἐπωδύνου ἄρα βίου συνδιαιρήσῃ τὴν βλάβην· ἀλλ' ἀμυνῇ τὴν ἑταίραν· περιστήσεταί σε φυλαττομένη· καὶ ἀμυνομένη μάχιμος ἐστιν οὐκ ἐρυθριῶσα γυνή. ἀλλὰ καλὸν ὁσημέραι μάχεσθαι πρὸς τὸν ἄνδρα; καὶ τί πλέον; αἱ γὰρ μάχαι καὶ λοιδορίαι τὴν μὲν ἀκολασίαν οὐ παύουσι, τὴν δὲ διαφορὰν τοῖς προκοπαῖς αὔξουσι. τί δὲ βουλεύσῃ τινὰ κατ' ἐκείνους μὴ φίλη; ζηλοτυπίας κρατεῖν ἡ τραγῳδία ἐδίδαξε δραμάτων ἔχουσα σύνταξιν ἐν οἷς περιημύνησε Μήδεια. ἀλλ' ὥσπερ τῆς νόσου τῶν ὀφθαλμῶν ἀπέχειν δεῖ τὰς χεῖρας, οὕτω καὶ σὺ τοῦ πάθους χώριζε τὴν προσποίησιν. διακαρτεροῦσα γὰρ, θᾶττον τὸ πάθος σβέσεις.

Θεανὼ Καλλιστοῖ περὶ θεραπαινῶν προστασίας ὑποθετική.

Αἰς νεωτέραις ὑμῖν ἡ μὲν ἐξουσία παρὰ τοῦ νόμου δέδοται τῶν οἰκετῶν ἄρχειν ἅμα τῷ γήμασθαι. ἡ δὲ διδασκαλία παρὰ τῶν πρεσβυτέρων ἀεὶ παρεῖναι ὀφείλει περὶ τῆς οἰκονομίας ἀεὶ παραινούντων. καλὸν γὰρ ἔχει πρότερον μαθεῖν ἃ μὴ γινώσκεις, καὶ τὴν συμβουλὴν οἰκειοτάτην τῶν πρεσβυτέρων ἡγεῖσθαι [illegible]

γὰρ παρθένοις προσφέρεσθαι δεῖ μετὰ τὸ γαμεῖν. ἀρχὴ δὲ ἴδιον οἴκου πρὸ
τῆ γυναικείῃ ἀρχὴ θεραπαινῶν. ἔστι δὲ ὦ φίλη μέγιστον ἐπὶ δουλείᾳ
εὔνοια. αὕτη γὰρ οὐ συναγοράζεται τοῖς σώμασιν ἡ κτῆσις, ἀλλ' ἐξ
ὑστέρου γεννῶσιν αὐτὴν οἱ συνετοὶ δεσπόται. δικαία δὲ χρῆσις αἰτία
τούτου, ἵνα μήτε διὰ τὸν κόπον κάμνωσι, μήτε ἀδυνατῶσι διὰ
τὴν ἔνδειαν. εἰσὶ γὰρ ἄνθρωποι τῇ φύσει. ἔνιαι δὲ κέρδος τὸ ἀ-
κερδέστατον ἡγοῦνται τὴν τῶν θεραπαινῶν κακουχίαν. βαρύνου-
σαι μὲν τοῖς ἔργοις. ὑποστελλόμεναι δὲ τῶν ἐπιτηδείων. εἶτα ὀβολι-
μαῖα κέρδη περιποιούμεναι, μεγάλαις ζημίαις τιμῶνται δυσνοίας
καὶ ἐπιβουλὰς κακίστας. σοὶ δὲ πρόχειρον ἔστω τὸ μέτρημα τῶν
σιτίων πρὸς τὸν ἀριθμὸν τῆς ἐργουργίας τοῖς ἐφημέροις πόνοις. ἐπὶ
πρὸς μὲν τὴν δίαιταν, οὕτως. πρὸς δὲ τὰς ἀταξίας, τὸ σοὶ πρέ-
πον, οὐ τὸ ἐκείναις συμφέρον ἐξυπηρετητέον. τιμᾶν μὲν γὰρ δεῖ
θεραπαίνας τὸ κατ' ἀξίαν. τὸ μὲν γὰρ ὠμὸν οὐκ οἴσει τὴν θυ-
μοῦ χάριν. τὸ δὲ μισοπόνηρον οὐχ ἧττον ὁ λογισμὸς βραβεύσει. ἐὰν δὲ
ἡ ὑπερβολὴ τῆς κακίας τῶν θεραπαινῶν ἀνίκητος ᾖ, ἐξοριστέα
μετὰ πράσεως. τὸ γὰρ ἀλλότριον τῆς χρείας, ἀλλοτριούσθω καὶ τῆς
κυρίας. ἔστω δέ σοι γνώμη τοι δὴ πρόεδρος. καθ' ἣν γνώσῃ τὸ μὲν ἀ-
ληθὲς τῆς ἁμαρτίας, πρὸς τὸ τῆς κατὰ γνώσεως δίκαιον. τὸ δὲ τῶν
ἡμαρτημένων μέγεθος, πρὸς τὸ κατ' ἀξίαν τῆς κολάσεως. δεσπο-
τικὴ δὲ καὶ ἡ συγγνώμη χάρις ἐφημαρτημένοις ζημίας ἀπαλλάττου-
σα. οὕτω δὲ τὸ πρέπον ἐπὶ τοῦ οἰκείου τρόπου διαφυλάξεις. εἰσὶ γὰρ
δὲ ὦ φίλη ὑπὸ ὠμότητος καὶ μαστίζουσι τὰ τῶν θεραπαινῶν σώματα θη-
ριούμεναι διὰ ζῆλον ἢ θυμόν. οἷον ὑπομνήματα γραφόμεναι τὴν ὑ-
περβολὴν τῆς πικρίας. αἱ μὲν γὰρ αὐτῶν κατεκλώθησαν χρόνῳ διαπονούμεναι
αἱ δὲ φυγῇ τὴν σωτηρίαν ἐπορίσαντο. τινὲς δὲ ἐπαύσαντο τοῦ ζῆν

χειρὶ θηριάτῳ μετὰ σιωπῆς. καὶ λοιπὸν ἡ τῆς δεσποίνης μόνωσις ὀδυρομένης τὴν οἰκείαν ἀβουλίαν, ἔρημοι μετανοίαν ἔχει. ἀλλ' ὦ φίλη, ἴσθι μιμουμένη τὰ ὄργανα, ἃ φωνεῖ μᾶλλον ἀνειμένα· ἐκρήγνυται δὲ μᾶλλον ἐπιτεινόμενα. καὶ γὰρ ἐπὶ τῶν θεραπαινίδων τοῦτο. ἡ μὲν ἄγαν ἄνεσις διαφωνίαν ἐμποιοῦσα τῆς πειθαρχίας, ἡ δὲ ἐπίτασις τῆς ἀνάγκης, διάλυσιν τῆς φύσεως. καὶ ἐπὶ τούτου δεῖ νοεῖν. μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.

Μέλισσα Κλαρέτᾳ χαίρειν.

ἀ Υτομάτως ἐμοὶ φαίνῃ πλέονα τῶν καλῶν ἔχειν. τὸ γὰρ ἐσπουδασμένως ἐθέλειν τὶ ἀκούσαι περὶ γυναικὸς εὐκοσμίας, καλὰν ἐλπίδα δίδωτι, ὅτι μέλλεις πολιοῦσθαι κατ' ἀρετάν. χρὴ ὦν τὰν σώφρονα καὶ ἐλευθέραν τῷ κατὰ νόμον ἀνδρὶ ποτῆμεν μεθ' ἁσυχίας κεκαλλωπισμέναν, ἀλλὰ μὴ πολυτελῶς. ἦμεν δὲ τᾷ ἐσθῆτι λευχείμονα καὶ καθάρειον καὶ ἀφελῆ, ἀλλὰ μὴ πολυτελῆ καὶ περισσάν. παραιτητέον γὰρ αὐτᾷ τὰν διαυγῆ καὶ διαπόρφυρον, καὶ τὰ χρυσόπαστα τῶν ἐνδυμάτων. ταῖς ἑταίραις γὰρ ταῦτα χρήσιμα ποτὶ τὰν τῶν πλεόνων θήραν. τᾶς δὲ ποθ' ἕνα τὸν ἴδιον εὐαρεστούσας γυναικὸς, κόσμος ὁ τρόπος πέλει καὶ οὐχ αἱ στολαί. εὔμορφον γὰρ τὰν ἐλευθέραν ἀρέσκειν τῷ αὐτᾶς ἀνδρὶ, ἀλλ' οὐ τοῖς πλησίον. ἔχοις δ' ἂν ἐπὶ τᾶς ὄψιος ἐρύθημα μὲν σαμεῖον αἰδοῦς ἀντὶ φύκεος, καλοκαγαθίαν δὲ καὶ κοσμιότητα καὶ σωφροσύναν ἀντὶ χρυσῶ καὶ σμαράγδω. οὐ γὰρ ἐς τὰν τᾶς ἐσθᾶτος πολυτέλειαν φιλοκαλεῖν δεῖ τὰν γλιχομέναν τᾶς σωφροσύνας, ἀλλ' ἐς τὰν οἰκονομίαν τῶ οἴκου. ἀρέσκειν δὲ τῷ αὐτᾶς ἀνδρὶ ἐπιτελέας ποιεῦσαν τὰς ἐκείνω θελήσιας. αἱ γὰρ τῶ ἀνδρὸς θελήσιες, νόμος ὀφείλει ἄγραφος εἶμεν κοσμίᾳ γυναικί, ποθ' ὃν

χρὴ εἶναι αὐτοῦ. νομίζειν ᾗ προῖκα τετιμηκέναι ἅμα αὐτὰ κάλλισταν καὶ μεγίσταν τὰν εὐταξίαν. πιστεύειν γὰρ χρὴ τὸ τᾶς ψυχᾶς κάλλος τε καὶ πλούτῳ μᾶλλον ἢ τῷ τᾶς ὄψιος καὶ τῶν χρημάτων. τὰ μὲν γὰρ φθόνος καὶ νοῦσος παραιρεῖται. τὰ δὲ, μέχρι θανάτω πάρεντι ἐντεταγμένα.

Μυῖα Φυλλίδι χαίρειν.

Ευομένα τοι ματρὶ παίδων, τάδε παραινέω. τιθὰν μὲν ἐκλέξασθαι, τὰν ἐπιτηδειοτάταν καὶ καθάριον. ἔτι δὲ καὶ αἰδήμονα καὶ μὴ ὕπνῳ προσοικειωμέναν, μηδὲ μὰν μέθᾳ. ἁ τοιάδε γὰρ ἂν κρίνοιτο κρατίστα ποττὸ ἐκτρέφειν ἐλευθέρως παῖδας. ἐάν γε δὴ γάλα τρόφιμον ἔχῃ καὶ μὴ τοῖς πρὸς ἄνδρα κοίταις εὐνικατοστέλλῃ. μεγάλα γὰρ μοῖρις ἐν τούτῳ δὲ καὶ πρώτα. καὶ προοικαταρκτικωτέρα ἐς ὅλον τὸν βίον τὰν τέλειαν τὰ τρεφοίσα ποττὼ καλοῦ τράφημεν. ποιήσει γὰρ πάντα καλὰ ἐν τῷ ποθήκοντι καιρῷ. ὀρέγοι τιτθίον τε καὶ μαζὸν καὶ τροφὰν διδόμεν, μὴ κατὰ τὸ ἐπελθὸν, ἀλλὰ μετά τινος προνοίας. οὕτω γὰρ ἐς ὑγίειαν ἀνάξει τὸ βρέφος. μηδ' ὅτε αὐτὰ θέλει καθεύδειν νικῆται, ἀλλ' ὁπόταν τὸ νεογνὸν ἀναπαύσιος ἔρον ἔχει. οὐ μικρὸν γὰρ ἄκος τῷ παιδὶ προσοισεῖ. ἔστω δὲ μὴ ὀργίλα τιθανὰ μήτε πρόγλωσσος μήτε ἐν ταῖς τῶν σιτίων λήψεσιν ἀδιάφορος, ἀλλὰ τεταγμένα καὶ σώφρων. δυνατῶν δὲ ὄντων μὴ βάρβαρος, ἀλλὰ ἑλληνίς. ἄριστον δ' ἐὰν καὶ τοῦ γάλακτος χρηστῶς πιμπλάμενον τὸ νεογνὸν, οὕτως εἰς ὕπνον τρέπηται. ἀδεῖα γὰρ νέοις ἄνεσις καὶ δίαιτα κατεργαστοῦ ἁ τοιάδε σιτασις. λουτροῖς δ' ἱκανὰ χρῆσθαι θερμοτέροις (?), ... εὐδέκα χαλεπέραν διδόμεν χρὴ, ἀπλουστάταν. οἶνῳ δὲ τὸ παράπαν ἀπέχεσθαι, τὰν δύναμιν ἰσχυρὰν ἔχειν ἢ κατὰ τὸ ἀραιότερον μετ' αὐτοῦ διδόμεν τὰ κράσει δείελον γαλακτῶδες. τὰ δὲ λουτρὰ

μὴ

μὴ ποιεῖν συνεχῆ· ἀπὸ γὰρ τῶν αὐχμηρῶν καὶ δυσκράτων χωρίοις, ἀμεί-
νων. κατ' αὐτὰ δὲ καὶ ἀὴρ ἐπιτήδειος θάλπους καὶ ῥίγους ἐχό-
μενος συμμετρίαν· καὶ οἴκησις δὲ μήτε ἄγαν περιπνεομένη μήτε
ἄγαν κατάστενος. οὐ μὴν ἀλλὰ καὶ ὕδωρ μήτε ἀπόσκληρον μήτε
πεῦ πορώγογον· καὶ στρώματα δὲ οὐ τραχέα, ἀλλὰ προσπίπτουσα
τῷ χρωτὶ ἁρμοδίως. ἐν πᾶσι δὲ τούτοις τὸ οἰκεῖον ἀφύσεις ἐπιτά-
δε, ἀλλ' οὐ τὸ πολυτελές. ταῦτα μὲν οὖν ἐπὶ τοῦ παρόντος οὐκ
ἀχρεῖον ὑπογράψαι τὰς ἐλπίδας εἰς τροφὰς ἢ κατὰ τὸν ὑφα-
γόμενον γινομένας. θεοῦ δὲ συλλαμβάνοντος ὑπὲρ
τῆς ἀγωγῆς τοῦ παιδὸς αὖθις, τὰς
ἐνδεχομένας καὶ ἀποτεοί
κείας κομιοῦμεν
ὑπομνή
σεις.

Τέλος.

# ΑΛΚΙΦΡΟΝΟΣ ΕΠΙΣΤΟΛΑΙ ΑΛΙΕΥΤΙΚΑΙ. ΚΑΙ ΕΤΑΙΡΙΚΑΙ ΕΥΔΙΟΣ ΦΙΛΟΣΚΑΦΩ.

Ρᾳστὴν ἡμῖν ἡ θάλασσα τήμερον εἶναι τὴν γαλήνην ἐστόρεσεν. ὡς γὰρ τρίτην ταύτην εἶχεν ὁ χειμὼν ἡμέραν, καὶ λάβρως κατὰ τοῦ πελάγους ἐπέπνεον ἐκ τῶν ἀκρωτηρίων οἱ βορεῖς, καὶ ἐπεφρίκει μὲν ὁ πόντος μελαινόμενος, τοῦ ὕδατος δὲ ἀφρὸς ἐξηνθήκει, πανταχοῦ τῆς θαλάσσης ἐπ' ἀλλήλοις ἐπικυλωμένων τῶν κυμάτων, τὰ μὲν γὰρ ταῖς πέτραις προσηράσσετο, τὰ δὲ εἴσω ἀνοιδοῦντα ἐρρήγνυντο, ἀεργία παντελὴς ἦν. καὶ τὰ ἐπὶ ταῖς ἠϊόσι καταλαβόντες καλύβια ὀλίγα ξυλισάμενοι κομμάτια, ὅσα οἱ ναυπηγοὶ πρῴην ἐκ τῶν δρυῶν ἃς διέτεμον, ἀπέλιπον, ἐκ τούτων πῦρ ἀνάψαντες τὸ πικρὸν τοῦ κρυμοῦ παρεμυθούμεθα. τετάρτη δὲ αὕτη ἐπιλαβοῦσα ἡμᾶς ἀλκυονὶς ὡς οἶμαι ἡμέρα, ἔστι γὰρ τοῦτο τῷ καθαρῷ τῆς αἰθρίας τεκμαίρεσθαι, πλοῦτον ἀθρόον ἀγαθῶν ἐδείξεν. ὡς γὰρ ὤφθη μὲν ὁ ἥλιος, πρώτη δὲ ἀκτὶς εἰς τὸ πέλαγος ἀπέστιλβε, τὸ πρῴην νεολκηθὲν σκαφίδιον, σπουδῇ κατεσύραμεν. εἶτ' ἐνθέμενοι τὰ δίκτυα ἔργου εἰχόμεθα. μικρὸν δὲ ἄπωθεν τῆς ἀκτῆς χαλάσαντες, φεῦ τῆς εὐοψίας ὅσον ἰχθύων ἐξειλκύσαμεν. μικροῦ καὶ τοὺς φελλοὺς ἐδέησε κατασῦραι ὕφαλον τὸ δίκτυον ἐξογκούμ. εὐθὺς ἦν ὀψῶναι πλησίον, καὶ τὰς ἔλας ἐπωμίους ἀειρόμενοι, καὶ τὰς ἑκατέρωθεν συνείδας ἐξαρτύσαντες, καὶ ὑπὲρ αὐτῶν καταβαλόντες ἀργύριον, ἄστυ δὲ ἐκ Φαλήρου ἀπήγοντο. πᾶσι δὲ τούτοις ἠρκέσαμεν ἡμεῖς. καὶ πρὸς τούτοις ἀπηνεγκάμεθα γαμετῇ καὶ παιδίοις ὄγκον οὐκ ὀλίγον ἔχειν τῶν λεπτοτέρων ἰχθύων. οὐκ εἰς μίαν ἀλλ' εἰ χειμὼν ἐπιλάβοιτο, καὶ εἰς πλείους ἡμέρας ἐμφορῆσαι.

## Γαλλιῶνος Κύρτωνι.

Ἄτην ἡμῖν πάντα ποιεῖ ταῦτα ὦ κύρτων. δι᾽ ἡμέρας μὲν
μ ὑπὸ τῆς εἵλης φλεγομένοις. νύκτωρ δὲ ὑπὸ λαμπά-
σι τὸν βυθὸν ἀποξύουσι. καὶ τὸ λεγόμενον δὴ τοῦτο εἰς
δαναΐδων τοὺς ἀμφορέας ἐκχέομεν πίθοις. οὕτως ἄπρακτα καὶ
ἀνήνυτα μοχθοῦμεν. ἡμῖν μὲν γὰρ οὐδὲ ἀκαλύφης ἔξεστιν ἢ πελωρί-
δος ἐμπλῆσαι τὴν γαστέρα. ὁ δεσπότης δὲ συλλέγει καὶ τοὺς ἰχθύ-
ας καὶ τὰ κέρματα. οὐκ ἀποχρῇ δὲ αὐτῷ τοσαῦτα ἔχειν παρ᾽ ἡ-
μῶν, ὁ δὲ διερευνᾶται καὶ τὸ σκαφίδιον συνεχῶς· καὶ πρώην ὅτ᾽ ἐκ
μουνυχίας ἔπεμψα μὲν αὐτῷ κομιοῦντα τὸ ὀψώνιον ἕρμωνα του-
τονὶ τὸν μειρακίσκον, σπόγγος ἡμῖν ἐπέπτατό τε καὶ τὰ ἐκ τῆς θα-
λάσσης ἐκεῖνα φύεται ἐπιεικῶς ἐν εὐρυνόμης εἰς λιμένι. ὥστε τὸ μὲν
ἐπὶ ταῦτα προσεκπίπτει καὶ ὁ ἕρμων. ἀφεὶς τὸ φορτίον αὐτοῖς ἰχθύ-
σιν, ἀφεὶς δὲ καὶ ἡμᾶς αὐτῷ τῷ σκαφιδίῳ ᾤχετο ἐπὶ λέσβου. κωπή-
ρης ῥοθίοις τισὶ βαλαντουργοῖς ἀναμιχθείς. καὶ ὁ μὲν δεσπότης
οἰκέτην. ἡμεῖς δὲ συνεργὸν ἀγαθὸν ἐπενθήσαμεν.

## Γλαῦκος γαλατίᾳ.

Ρησὸν ἡ γῆ καὶ ἡ βῶλος ἀκίνδυνον. οὐ μάτην τὴν ἀνη-
χ σιδώραν ταύτην ὀνομάζουσιν ἀθηναῖοι ἀνιεῖσαν δῶρα
δι᾽ ὧν ἔξεστι ζῆν καὶ σώζεσθαι. χαλεπὸν ἡ θάλαττα καὶ ἡ
ναυτιλία ῥιψοκίνδυνον. ὀρθῶς ἐγὼ τοῦτο κεῖνο πείρᾳ τῇ διδα-
σκαλίᾳ μαθών. ποτὲ γὰρ ὄψον ἀποδόσθαι βουληθεὶς ἤκουσα ἑ-
νὸς τῶν ἐν τῇ ποικίλῃ διατριβόντων ἀνυποδήτων καὶ ὑπερόχρων,
στιχίδιον ἀποφθεγγομένου τὴν ἀπόνοιαν τῶν πλεόντων ἐπιστρέφοντος, ἔ-
λεγε δὲ ἄρα τοῦτό τινος εἶναι σοφοῦ τὰ μετέωρα. ἦν δ᾽ ὅσον ἀπο-
μνημονεύσαντα οὐχ ὅλον εἰπεῖν ὧδε εἰρημένον. ὀλίγον δὲ διὰ ξύ-
λου καὶ διέρχεται. τί οὖν ὦ γύναι οὐ σωφρονοῦμεν καὶ ὀψέ ποτε κα-

ρῶ, φεύγομεν τὴν πρὸς τὸν θάνατον γειτνίασιν. ἐν ταῦτα ἐπὶ παι-
δίοις ζῶντες. οἷς ἔνεστι μηδὲν μέγα παρέχειν δυσχεραίνειν ἔχομεν,
τοῦ δὲ ἐξόμεθα καὶ χαιρησόμεθα, τὸ τὰς τρικυμίας καὶ τοὺς ἐκ βυθοῦ
κινδύνους ἀγνοῆσαι. γεωργίᾳ δὲ συντραφῆναι, καὶ τὸν ἀσφαλῆ
καὶ ἀδεᾶ βίον ἀσπάσασθαι. Κύμωθος Τριτωνίδι.

Σοὶ ἡ θάλαττα τῆς γῆς διαλλάττει, τοσοῦτον καὶ οἱ ταύ-
δ της ἡμεῖς ἐργάται τῶν κατὰ πόλεις ἢ κώμας οἰκούν-
των διαφέρομεν. οἱ μὲν γὰρ ἢ μένοντες εἴσω πυλῶν τὰ
δημοτικὰ διαπράττονται, ἢ γεωργίᾳ προσέχοντες τὴν ἐκ τῆς
βώλου πρὸς διατροφὴν ἀναμένουσιν ἐπικαρπίαν. ἡμῖν δὲ οἷς βί-
ος ἐν ὕδατι, θάνατος ἡ γῆ καθάπερ τοῖς ἰχθύσιν ἥκιστα δυναμένοις
ἀναπνεῖν τὸν ἀέρα. τί δὴ οὖν παθοῦσα ὦ γύναι τὴν ἀκτὴν ἀπολι-
ποῦσα καὶ τὰ νήματα τὰ λίνου, ἄστυδε θαμίζεις, ὠσχοφόρια καὶ
λήναια ταῖς πλουσίαις ἀθηναίων συνεορτάζουσα. οὐκ ἔστι τοῦτο
σωφρονεῖν οὐδὲ ἀγαθὰ διανοεῖσθαι. οὐχ οὕτω δέ σε ὁ πατὴρ ἐκ τῆς
αἰγίνης, οὗ τεχθῆναί σε καὶ τραφῆναι συνέβη, μνησθεὶς ὑπ' ἐμοὶ γά-
μῳ παρέδωκεν. εἰ τὴν πόλιν ἀσπάζῃ, χαῖρε· καὶ ἄπιθι εἰς τὸν ἄν-
δρα. εἰ τὰ ἐκ θαλάττης ἀγαπᾷς, ἐπάνιθι τὸ λῷον ἑλομένη. λή-
θη δέ σοι ἔστω μακρὰ τῶν κατ' ἄστυ τούτων ἀπατηλῶν θεαμάτων.

Ναυβάτης Ῥοθίῳ.

Ισ μόνος πλουτεῖν ὅτι τοὺς παρ' ἐμοὶ θητεύοντας δε-
ε λεάζων ἄγεις ὡς σεαυτὸν τελουσίοις μισθωμάτων εἰ-
κότως. σοὶ μὲν γὰρ ὁ βόλος ἤνεγκε πρώην χρυσοῦ
κόμματα δαρεικοῦ τῆς ἐπὶ σαλαμῖνι ναυμαχίας ἴσως λείψα-
να κατὰ δύσιν, οἶμαι νηὸς περσικῆς αὐτοῖς ἀνδράσι καὶ αὐτοῖς χρή-
μασιν, ὅτε ἐπὶ τῶν προγόνων τῶν ἡμετέρων θεμιστοκλῆς ὁ τοῦ νεοκλέους

ἤρατο

ἦρα γὰρ τὸ μέγα καὶ τὸ μικρὸν ζόφον. ἐγὼ δὲ ἀγαπῶ τὴν τῶν ἀναγ-
καίων εὐπορίαν, ἐκ τῆς καθημερινῆς ἐργασίας τῶν χειρῶν πο-
ριζόμενος. ἀλλ᾽ εἰ πλουτεῖς, σὺ δικαίως πλούτει. ἐπέσθω δέ σοι ὁ
πλοῦτος, μὴ κακίας ἀλλὰ καλοκαγαθίας ὑπηρέτης.

Πανόπη εὐθυβούλῳ.

Γαμετήν με ὦ εὔθυβουλε οὐκ ἀπερριμμένην γυναῖκα οὐδὲ
η μίαν τῶν ἀσήμων, ἀλλ᾽ ἐξ ἀγαθοῦ μὲν πατρὸς ἀγα-
θῆς δὲ μητρὸς γεγονυῖαν. σθενίου ὁ στειριεὺς ἦν μοι πα-
τὴρ, καὶ δημοφίλη μήτηρ, οἵ με ἐγγυητὴν ἐπίκληρον ἐπὶ παί-
δων ἀρότῳ γνησίων συνῆψάν σοι γάμῳ. σὺ δὲ ῥᾴδιος ὢν τὼ ὀ-
φθαλμὼ καὶ πρὸς πᾶσαν ἡδονὴν ἀφροδισίων κεχυμένος, ἀτιμά-
σας ἐμὲ καὶ τὰ κοινὰ παιδία γαλήνης καὶ θαλασσίωνος ἐρᾷς τῆς
ἑρμιονίτιδος μετοίκου, ἣν ἐπὶ κακῷ τῶν ἐρώντων ὁ πειραιεὺς ἐ-
δέξατο. κωμάζουσι γοῦν πρὸς αὐτὴν ἡ πρόσαλος νεολαία. καὶ
ἄλλος ἄλλο δῶρον ἀποφέρει. ἡ δὲ, εἰσδέχεται καὶ ἀναλοῖ χαρύβδε-
ως δίκην. σὺ δὲ ὑπερβαίνων τὰς ἁλιευτικὰς δωροφορίας, μαινί-
δας μὲν ἢ τρίγλας οὔτε φέρεις οὔτε θέλεις διδόναι. ἀλλ᾽ ὡς ἀφηλικέ-
στερος καὶ γυναικὶ πάλαι συνὼν καὶ παιδίων οὐ μάλα νηπίων πα-
τὴρ, παραγκωνίσασθαι τοὺς ἀντεραστὰς βουλόμενος κεκρυφά-
λους μιλησίους, καὶ σικελικὸν ἱμάτιον καὶ ἐπὶ τούτοις χρυσίον εἰσπέμ-
πεις. ἢ οὖν πέπαυσο τῆς ἀτασθαλίας καὶ τοῦ λάγνος εἶναι καὶ θηλυμανὴς
ἀπέχου, ἢ ἴσθι με παρὰ τὸν πατέρα οἰχησομένην. ὃς οὐδὲ ἐμὲ περιό-
ψεται. καὶ σὲ γράψεται παρὰ τοῖς δικασταῖς κακώσεως. Θάλασος πυτίω.

Πέμψάσοι ψῆτταν καὶ σανδάλιον καὶ κεστρέα καὶ κήρυκας
θ πέντε καὶ τριάκοντα. σὺ δέ μοι τῶν ἐρετμῶν δύο πέμψον
ἐπειδὴ τὰ μὰ κατέαγεν. ἀντίδοσις δὲ, ἡ παρὰ φίλων
εἰς φίλους. ὁ γὰρ προχείρως καὶ θαρσαλέως αἰτῶν, δῆλος

ἐστὶν ὡς ἅπαντα κοινὰ τὰ πρὸς τοὺς φίλους καὶ τοῦτο τῶν φίλων ἔχειν ἡγούμενος.

Εὐκόλυμβος Γλαύκῃ.

α I τὴν γνώμην ἀμφίβολοι, τὴν παρὰ τῶν συνουσιωτῶν κρίσιν ἐκδέχονται. κἀγὼ τὰ πολλὰ ταῖς ἐραῖς διαλαλήσασα οὐδὲ γὰρ οὐδὲν πρὸς σὲ ἐθάρρουν ὦ γύναι, νῦν διαγορεύω καὶ δέομαι τὸ λῷον εὑρημένην συμβουλεῦσαι. ἄκουε δὲ ὡς ἔχει καὶ πρὸς ὅ,τι σε δεῖ τὴν γνώμην ἐξενεγκεῖν. τὰ ἡμέτερα ὡς οἶσθα παντελῶς ἐστὶν ἄπορα καὶ ὁ βίος κομιδῇ στενός. τρέφει γὰρ οὐδὲν ἡ θάλασσα. ὁ λέμβος οὖν ὃν ὁρᾷς ὁ κωπήρης τοῖς πολλοῖς ἐρέταις κατηρτυμένος κορύκιον τὸ σκάφος. λῃσταὶ δὲ θαλάσσης τὸ ἐν αὐτῇ σύστημα. οὗτοί με κοινωνὸν ἐθέλουσι λαβεῖν τοῦ τολμήματος πόρους ἐκ πόρων δὴ μεγίστους ὑπισχνούμενοι. πρὸς μὲν οὖν τὸν χρυσὸν ὃν ἐπαγγέλλονται καὶ τὴν ἐσθῆτα κέχηνα. ἀνδροφόνος δὲ οὐχ ὑπομένω γενέσθαι, οὐδὲ μιαίνειν λίθῳ τὰς χεῖρας ἃς ἡ θάλαττα ἐκ παιδὸς εἰς δεῦρο καθαρὰς ἀδικημάτων ἐφύλαξε. μένειν δὲ πενίᾳ συζῶντα χαλεπὸν καὶ οὐ φορητόν. τούτων σὺ τὴν αἵρεσιν ταλάντευσον. ὅποι γὰρ ἂν ῥέψῃς ὦ γύναι, ἅπαξ ἐκεῖσε ἀκολουθήσω. ἀποκόπτειν γὰρ εἴωθε γνώμην ἡ τῶν φίλων συμβουλὴ ἀμφίβολον.

Αἰγιαλεὺς Στρουθίωνι.

β Ἄλλως μακαρίαν ὡς ἐναντίας ἡμῖν. καὶ κατὰ τὴν παροιμίαν ἐπὶ τὰ Μανδροβόλου χωρεῖ τὰ πράγματα. τὸ μὲν γὰρ ἐπὶ λεπτῶν κερμάτων ἀποδίδοσθαι ἐς ὠνεῖσθαι τὰ ἐπιτήδεια, λιμηρὰν φέρει τὴν παραμυθίαν. ὥρα οὖν γε συμπράττοντα ἡμῖν ὦ Στρουθίων τὴν ἀπορίαν ἐξ ὧν ἂν ἡ θάλαττα παρέξῃ παραμυθίαν ἐκδέχεσθαι. βούλομαι δὲ πρὸς ἕνα ἢ δεύ-

τερον

περὶ τουτουὶ τῶν ἁλιευοπλούτων διὰ σοῦ προξένου ἢ πρὸς Ἐρασικλέα τὸν Φειττίου ἢ πρὸς Φιλόστρατον τὸν χολαργέα οἰκείως ἔχειν ὡς αὐτὸς ἐπὶ τῶν φορνέων κομίζειν αὐτοῖς τοὺς ἰχθύας. πάντως δὲ πρὸς τῇ καταβολῇ τοῦ ἀργυρίου ἔσται παρ' αὐτῷ τις παραμυθία διονυσίων ἢ ἀπατουρίων τελουμένων. καὶ ἄλλως ἐκ τῆς πικρᾶς τῶν ἀγορανόμων ἐξελοῦνται ἡμᾶς χειρός. οἱ καθ' ἑκάστην ἐπὶ τῷ σφετέρῳ κέρδει κερδαίνειν, εἰς τοὺς ἀπράγμονας ἐμφοροῦσιν ὕβρεις. πολλοῦ δὲ δύνασθαι τοὺς προεστῶτας ἡμᾶς παρὰ τοῖς νέοις ὁ παλαιὸς οὐ λόγος, ἀλλ' ἔργον ἔδειξεν.

Κέφαλος ποντίῳ.

Ἡ μὲν θάλαττα ὡς ὁρᾷς φρίκη κατέχει. καὶ τὸν οὐρανὸν ὑποβέβηκεν ἀχλύς. πάντα πανταχόθεν συννέφελα. καὶ οἱ ἄνεμοι πρὸς ἀλλήλους ἀρασσόμενοι ὅσον οὔπω κυκήσειν τὸ πέλαγος ἐπαγγέλλονται. ἀλλὰ καὶ οἱ δελφῖνες ἀνασκιρτῶντες καὶ τῆς θαλάττης ἀνοιδουμένης λείως ἐφαλλόμενοι χειμῶνα καὶ τάραχον ἐπιόντα μηνύουσι. ταῦρον δὲ φασὶν ἐπὶ πολὺ κατ' οὐρανὸν οἱ τὰ μετέωρα δεινοὶ τὰ νῦν ἑστάναι. πολλάκις οὖν σώζονται ὑπὸ ἀσφαλείας οἱ προθυμούμενοι φυλάξασθαι τὸν κίνδυνον. εἰσὶ δ' οἱ προαδόντες ἑαυτοὺς ἅπαξ τῷ πελάγει ὑπὸ ἀμηχανίας τῇ τύχῃ τοὺς οἴακας ἐπιτρέψαντες φέρεσθαι. ὅθεν ἀκούομεν τοὺς μὲν κατὰ τὸ μαλέου ἀκρωτήριον. τοὺς δὲ κατὰ τὸν σικελικὸν πορθμὸν, ἄλλους δὲ εἰς τὸ λυκιακὸν πέλαγος ῥύμῃ φερομένους ἐποκέλλειν ἢ καταδύεσθαι. ἔστι δὲ οὐδὲν τοῦ τὸν πρὸς χειμῶνα ἢ κίνδυνον ὁ καφηρεὺς ἐπιφερέστερος. ἀναμείναντες οὖν ἀπολῆξαι τὸ κλυδώνιον καὶ καθαρὰν αἰθρίαν γενέσθαι, νοστήσομεν ἄχρι καὶ αὐτοῦ τοῦ καφηρέως τῶν ἀκτῶν. ἀνεῖχεν τι τῶν ἐκ ναυαγίας ἀποπλυνθὲν εὑρεθείη σῶμα, τοῦτο περιστείλαντες

σ

ταφῆναι λύψωμεν. οὐ γὰρ ἀμαθὴν τὸ εὖ ποιεῖν καὶ μὴ παραχρῆμα τῆς εὐεργεσίας ἡ ἀντίδοσις φαίνηται. τρέφει δὲ οὐδὲν ἧττον τοὺς αὐτοὺς πρὸς τοῖς ἐλπιζομένοις ἀγαθοῖς. καὶ διαχεῖ τὴν καρδίαν τὸ συνειδός. καὶ μάλιστα ὅταν εἰς τοὺς ὁμοφύλους οὐκ ἔχοντας τὴν εὐποιΐαν καταβάλλωνται.

Θυνναῖος Σκοπέλῳ.

Ἀνήκοας ἀκουσμάτων βαρυτάτων ὦ σκόπελε. σὸλ)
α ἀθηναῖοι διανοοῦνται πέμπειν εἰς τὴν ὑπερορίαν ναυμαχεῖν ἐθέλοντες. καὶ ἤδη μὲν ἡ πάραλος καὶ ἡ σαλαμινία αἱ μάλιστα ταχυναυτοῦσαι πρόδρομοι λύουσι τῶν κιόνων τὰ πρυμνήσια, τοὺς μαστῆρας οἳ μέλλουσιν ἐπαγγέλλειν παροῦ καὶ ὅτε δεῖ ἀπιέναι πολεμήσοντας ἐνθέμενοι. χρεία τοῖς λοιποῖς ναυσὶ τὸ στρατιωτικὸν τάγμα δεχομέναις ἐρετῶν πλειόνων καὶ οὐ χειρισταὶ ἐμπείρων ἀνέμοις τε κύμασιν ἀπομάχεσθαι. τί οὖν ὦ βέλτιστε δρῶμεν, φεύγομεν ἢ μένομεν. ἀνδρολογοῦσι δὲ ἐκ πειραιῶς τε φαληρόθεν καὶ σουνίου τε μέχρι τῶν ἐν τῷ γεραιστῷ προσοίκων ὁρίων τοὺς τῆς θαλάττης ἐργάτας. πῶς δὲ τε ἡμεῖς εἰ μὴ δὲ τὴν ἀγορὰν εἰδότες ὑπομένειν μὲν παρατάττεσθαι, καὶ ὁπλομάχοις ἀνδράσιν ὑπηρετεῖσθαι. δυοῖν δὲ ὄντοιν χαλεποῖν τοῦ τε φεύγειν ἐπὶ τέκνοις καὶ γυναιξὶ, τοῦ τε μένειν ξίφεσιν ὁμοῦ καὶ θαλάττῃ παραδιδόναι τὸ σῶμα, τοῦ μὲν μένειν ὄντος ἀλυσιτελοῦς, τὸ φεύγειν ἐφάνη λυσιτελέστερον.

Ναυσίβιος Πρυμναίῳ.

Γνόσσω ὅσον εἰσὶ τρυφερὰ καὶ ἁβρόβια τῶν ἀθήνησι πλουσίων τὰ μειράκια. ἔναγχος δὲ Πάμφιλος μετὰ τῶν
ῆ συνηλίκων τῶν μισθουμένου τὸ σκαφείδιον ὡς ἂν ἔχοι γαληνιῶντος τοῦ πελάγους περιπλεῖν ἅμα καὶ συμμετέχειν ἡμῖν

τῆς

τῆς ἄγρας τῶν ἰχθύων. ἔστιν ὧν ἡλίκα αὐτοῖς ἐκ τῆς καὶ θαλάττης ὁπο-
ρίζεται ξυμφήματα. οὐ γὰρ ἀνεχόμενος τῶν ξύλων τῆς ἁλιάδος ἔς
τε ταπήτων τινῶν ξενικῶν ἢ ἐφεστρίδων κατακλινείς, οὐ γὰρ οἷός τε
ἔφασκεν εἶναι κεῖσθαι ὡς οἱ λοιποὶ ἐπὶ τῶν καταστρωμάτων, τὴν σα-
νίδα οἶμαι νομίζων λίθου τραχυτέραν, ᾔτει παρ᾽ ἡμῶν σκιὰν αὐ-
τῷ μηχανήσασθαι, τὴν τοῦ ἱστίου ὀθόνην ὑπερπετάσαντας, ὡς οὐδα-
μῶς οἷός τε ὢν φέρειν τὰς ἡλιακὰς ἀκτῖνας. ἡμῖν δὲ οὐ μόνον τοῖς
ταύτην προῃρημένοις τὴν ἐργασίαν, ἀλλὰ καὶ πᾶσιν ἁπαξαπλῶς ὅ-
σοις μὴ περιουσία πλούτου πρόσεστι, σπουδάζεται, ἔστιν οὐ δυναμένοις
τῇ ἐλευθέρεσθαι. ἐν ἴσῳ γὰρ ἡ ῥυμὸς καὶ θάλαττα. φερομένων δὲ
ἅμα οὐ μόνος οὐδὲ μετὰ μόνων τῶν ἑταίρων ὁ Πάμφιλος, ἀλ-
λὰ καὶ γυναίων αὐτῷ περιττῶν τὴν ὥραν, πλῆθος συνείπετο μου-
σουργοὶ πᾶσαι. ἡ μὲν γὰρ ἐκαλεῖτο Κρουμάτιον καὶ ἦν αὐλητρίς.
ἡ δὲ, Ἐρατὼ, καὶ ψαλτήριον μετεχειρίζετο. ἄλλη δὲ Εὐεπίς. αὕτη
δὲ κύμβαλα ἐπεκρότει. ἐγένετο οὖν μοι μουσικῆς ἡ ἄκατος πλέα,
καὶ ἦν ᾠδικὸν τὸ πέλαγος καὶ πᾶν θυμηδίας ἀνάπλεων. πλὴν
ἐμέ γε ταῦτα οὐκ ἔτερπεν. οὐδὲ γὰρ οὐκ ὀλίγοι τῶν ὁμοβίων καὶ
μάλιστα ὁ πικρὸς Λαυκίας Τελχῖνος ἦν μοι βασκάνων βαρύτε-
ρος. ἐπεὶ δὲ τὸν μισθὸν πολὺν κατεβάλετο, τἀργύριόν με διέχει
καὶ νῦν ἐκείνου τοὺς ἐπιθαλαττίους ἀγαπῶ κώμους. καὶ τοιοῦτον
δεύτερον ἐπιστῆναί μοι ποθῶ δαπανηρὸν καὶ πολυτελῆ νεανίσκον.

Αὐχένιος Ἀρμενίῳ.

ε Ἴσθ᾽ ὅτι δύνασαι συμπρᾶξαι, καὶ δεῖ τὰ λέγειν πρός με οὐ πρὸς ἑ-
τέρους ἐκ τοῦ σαυτοῦ ποιῶν τὰ μέν. εἰ δὲ μηδὲν οἷός τε ὠφελεῖν,
ἴσθι μοι τανῦν Ἀρεοπαγίτου στεγανώτερος. ἐρῶ ὅπη περ ἐπιτάμασσι

δὲ ἡγήσομαι, ἔρως με οὐκ ἐᾷ παρεμπεσὼν ὑπὸ τοῦ λογισμοῦ κυβερνᾶσθαι, ἀλλὰ τὸ νῆφον ἐν ἐμοὶ, συνεχῶς ὑπὸ τοῦ πάθους βυθίζεται. πόθεν γάρ ποτε εἰς ἁλιέα δύστηνον ἀγαπητῶς τὴν ἀναγκαίαν ἐκπορίζοντα διατροφὴν ἔρως ἐνέσκηψε. καὶ ἐνταυθοῖ οὐκ ἀνίησιν, ἀλλ' ὥσπερ τοῖς πλουσίοις καὶ ὡραικοῖς νεανίσκοις φλέγομαι. καὶ ὁ ποτὲ γελῶν τοὺς ἐκ τρυφῆς πόθῳ δουλεύοντας, ὅλος εἰμὶ τοῦ πάθους, γαμησείω νῦν, καὶ τὸν ὑμέναιον ἐκφαντάζομαι τὴν παῖδα τῆς Τερψιχόρης. ἔστι δὲ ἡ παῖς ἧς ἐρῶ, τῶν μετοίκων θυγάτριον τῶν ἐξ Ἑρμιόνης οὐκ οἶδ' ὅπως εἰς Πειραιᾶ φθαρέντων. ἀλλ' ἄλλῳ μὲν οὖν δύναμαι προῖκα οὐκ ἔχω. ἐμαυτὸν δὲ δείξας οἷός εἰμι θαλαττουργὸς, εἰ μὴ μαίνοιτο ὁ ταύτης πατὴρ, οἶμαι προσδέξειν ἐπιτήδειον νυμφίον.

Εὐκτήμων Ἁλικτύπῳ.

Ῥόμβον ἰδὼν ἐπὶ τῆς ἠϊόνος τῆς ἐν Σουνίῳ παλαιόν τε
ἢ περιχωμένον δίκτυον, ὅτου εἴη. καὶ τίνα πρότερον οὐκ
ἐξογκούμενον ἀποχωσθὲν, ἤδη δὲ καὶ ὑπὸ χρόνου παλαιότητος διερρωγὸς ἀπέκειτο. οἱ δὲ, ἔφασαν σὸν κτῆμα γεγενῆσθαι πρὸ τούτων τεττάρων ἐτῶν. εὐθὺ φάλῳ προσομιλῆσαν πέτρᾳ, κατὰ μέσον ἀποχωσθῆναι τῶν πλεγμάτων. σοῦ δὲ ἐξ ἐκείνου μήτε ἀνασπᾶσθαι μήτε ἀνελέσθαι βουληθέντος μέχρι, μηδενὸς τῶν περιοίκων τούτων ὡς ἀλλοτρίου θιγεῖν ἐπιχειρήσαντος. ἐγένετο οὖν οὐκ ἐνοίκων μόνον, ἀλλὰ καὶ σοῦ τοῦ κεκτημένου λοιπὸν ἀλλότριον. αὐτὸ οὖν σε τὸ τῇ φθορᾷ τῷ χρόνῳ μὴ σόν. σὺ δὲ ὁ παντελῶς ἀπολέσας προσεύξμας, ἔκιστε ζημιούμενος, ἕτοιμος ἔσο πρὸς τὴν δόσιν.

Ἁλίκτυπος Εὐκτήμονι.

Δ Υσμενὴς καὶ βάσκανος ὁ τῶν γειτόνων ὀφθαλμός. φησὶν ἡ παροιμία. τίς γάρ σοι τῶν ἐμῶν φροντίς. τί δὲ τὸ

παρ' ἐμοῦ

τρεμοῦ ῥαθυμίας ἠξιωμένον, κτῆμα σὸν εἶναι νομίζειν. εἶργε τὰς χεῖρας, μᾶλλον δὲ τὰς ἀπλήστους ἐπιθυμίας. μὴ δέ σε ἡ τῶν ἀλλοτρίων ὄρεξις ἀδίκως αἰτεῖν χρείας εἰς βιαζέσθω.

Ἐγκύμων Ἀλικτύπῳ.

ὐκ ᾔτησά σε ἃ ἔχεις, ἀλλ' ἃ μὴ ἔχεις. ἐπεὶ δὲ οὐ βούλει ἃ μὴ ἔχεις ἕτερον ἔχειν, ἔχε ἃ μὴ ἔχεις.

Εὐσαγηνος Λιμεράρχῳ.

ὐκ ἐς κόρακας φθαρήσεται ὁ σκοπιοῦργος ὁ λέσβιος. φρίκην σκιφὰν κατὰ μέρος τὴν θάλατταν ἀνεβόησεν ὡς πλήθους ὅλου προσιόντος θύννων ἢ πηλαμίδων. καὶ ἡμεῖς πε-ριθέντες τῇ σαγήνῃ μονονουχὶ τὸν κόλπον ὅλον περιελαβόμεθα. εἶτα ἀνιμώμεθα καὶ τὸ βάρος μεῖζον ἦν ἢ κατὰ φορτίον ἰχθύων. ἐλπίσι οὖν καὶ τῶν πλησίον τινὰς ἐκαλοῦμεν μερεῖς τε ἀποφαίνειν ἐπαγγελλόμενοι εἰ συλλαμβάνοιντο ἡμῖν καὶ συμπονήσειεν. τέλος μόγις πολλῷ δείλης ὀψίας ὑπερμεγέθη κάμηλον ἐξειλκύσαμεν μυδῶσαν ἤδη καὶ σκώληξιν ἐπιβρύουσαν. τοιαῦτα θηράσας, οὐχ ἵνα ἐπιγελάσῃς ἐδήλωσα, ἀλλ' ἵνα μάθῃς οἵοις ἢ πόσοις μηχανήμασιν ἡ τύχη με ἀτυχήματι καταγωνίζεται.

Εὔπλοος Θαλασσέρωτι.

Γὸ μαζᾶς ἢ μέμηνας; ἀκούω γάρ σε λοιδόρου γυναικὸς ἐρᾶν. ὁ ὡς ἐκείνης φθειρόμενον, πᾶσαν τὴν ἐφήμερον ἄγραν κατατίθης. ἀπήγγειλε γάρ μοι τοῦτο γειτόνων ὁ βέλτιστος σωσίας. ἔστι δὲ τῶν ἐπιεικῶς τὴν ἀλήθειαν τιμώντων, καὶ οὐκ ἄν ποτε ἐκεῖνος εἰς ψευδηγορίαν ὠλίσθησεν. οὗτος ἐκεῖνος σωσίας ὁ τὸν χρηστὸν καὶ ἡδὺν γάρον ἕψων ἐκ τῶν λεπτοτέρων ἰχθύων, οὓς ἐγκολπίζεται τῇ σαγήνῃ. πόθεν οὖν εἰπέ μοι μουσικῆς σοι

διάτονον καὶ χρωματικὸν καὶ ἐναρμόνιον μέλος ἐστὶν ὡς αὐτὸς ἔφασκεν ἀπαγγέλλων. ἐμοῦ γὰρ τῇ ὥρᾳ τῆς παιδίσκης ἠράσθης καὶ τοῖς κρούμασι πέπτωκας εἰς ταῦτα δαπανώμενος μή σε ἀντὶ τῆς θαλάττης ἡ γῆ ναυηγὸν ἀποφήνῃ ψιλώσασα τῶν χρημάτων, καὶ γένηταί σοι τὸ τῆς ψαλτρίας καταγώγιον ὁ Καλυδώνιος κόλπος ἢ τὸ Τυρρηνικὸν πέλαγος οὐκ ἔχοντί σοι κρατεῖν ἐπὶ Μαλέαις, ὁ δεύτερον ἐφορμᾷ.

Θαλασσέρως Εὐπλόῳ.

Ἢν ἄλλως κινεῖς τὴν πρός με νουθεσίαν ὦ Εὔπλοε. ἐγὼ γὰρ οὐκ ἂν ἀποσταίην τῆς αὐτοῦ θεοῦ μυσταγωγοῦντι πυρφόρῳ καὶ τοξοφόρῳ πειθόμενος, καὶ ἄλλως ἡμῖν τὸ ἐρᾶν συγγενές. τῆς θαλαττίας θεοῦ τεκούσης τοῦτο τὸ παιδίον ἡμέτερος οὖν πρὸς μητρὸς ὁ ἔρως. καὶ ὑπὸ τούτου βληθεὶς τὴν καρδίαν, ἔχω πρὸς θαλάττῃ τὴν κόρην παντοίως νομίζων ἢ Γαλάτειαν ταῖς καλλιστευούσαις τῶν νηρηίδων συνεῖναι.

Θερμολέπυρος Ὠκίμωνι.

Χέτλια πεπόνθαμεν. τοῖς γὰρ ἄλλοις οὖθαρ καὶ μῆτραι καὶ ἡ πρεσβύτου προσεοικὸς διὰ τὴν ἐκ τῆς πιότητος λεπτότητα παρέσχε. ἡμῖν δὲ ἔτνος ἦν τὸ βρῶμα ἃ οἱ μὲν χαλυβώνιον ἔπινον. ἐκ τροπίας δὲ ἡμεῖς καὶ ὀξίνην ἄλλων. μοιραῖοι θεοὶ καὶ μοιραγέται δαίμονες. δοίητε τὴν τροπὴν τῆς ἀδίκου ταύτης τύχης, καὶ μὴ τοὺς μὲν, διηνεκεῖ φυλάττετε εὐτυχίᾳ. τοὺς δὲ, τῷ λιμῷ συνοικίζετε. ἡ γὰρ φορὰ τῆς εἱμαρμένης τὰ τοιαῦτα κατηνάγκασεν. ἄδικα πάσχομεν πρὸς αὐτῆς οἱ λεπτοὶ καὶ στενῇ κεχρημένοι τύχῃ.

Καπνοσφράντης ἰσχολίμῳ.

Νεμεσαίους ἐλπίδας ἔχων ἐπὶ τῷ μειρακίῳ κλυκεῖ τῷ φωμίλῳ ὡς αὐτὸν ἢ τεθνάναι ἢ αὐτῷ τὸν πατέρα χύσιν ἐργάσασθαι τῆς οὐσίας πολλῶ. καὶ ἀδηφαγοῦντα ἐκ ταῦθα θοῦντα μετά τε ἡμῶν μετά τε τῶν ἑταιρῶν ὅσαι κατὰ τὴν ὥραν πρωτεύουσιν ἐξαντλοῦντα ἢ τὸ πᾶν ἢ τὸ πολὺ τῆς οὐσίας. ὁ δὲ, ἐπειδὴ κεῖνον αὐτῷ ὁ γεννήσας ἐγένετο, σιτεῖται μὲν ὁ τῆς ἡμέρας ἅπαξ, καὶ τοῦτο τῆς ὥρας ἡλίου λοιπὸν ἀμφὶ δύσιν ἔχοντος. σιτεῖται δὲ οὐδὲν τῶν πολυτελῶν, ἀλλ᾽ ἄρτον τὸν ἐξ ἀγορᾶς καὶ ὄψον εἴποτε εὐημερίας ἡμέραν ἐπιτελοίη δορυπετεῖς ἢ φαυλίας. διαμαρτὼν οὖν τῆς θαυμαστῆς ταύτης ἐλπίδος οὐκ οἶδ᾽ ὅτι καὶ δράσαιμι. εἰ γὰρ ὁ τρέφων δεῖται τοῦ θρέψαντος, τί ἂν ὁ τρέφεσθαι ὀφείλων λιμῷ τι οἴει ἢ συνεῖναι διπλοῦ τὸ βάρος.

Ἔρρωσο.

Εὔβουλος γεμέλλῳ.

Ἀρέσκετο μὲν ἡμῖν ὁ γέλλων ὅσου σικελιώτου πλακοῦς ἐπώνυμος. ἐγὼ δὲ καὶ τῇ θέᾳ μόνον πρὸς τὰς καταπόσεις εὐτρεπιζόμενος ηὐφραινόμην. μέλλησιν δὲ ἦν πολλὴν περιστεφόντων πραγμάτων τὰ πέμματα. ἦν ἡ ὁ παρ᾽ αὐτὸς τῆς πιστάκης καὶ βάλανοι φοινίκων καὶ κάρυα τῶν ἐλύτρων ἐξῃρημένα. ἐγὼ δὲ πρὸς ταῦτα ἕκαστα ἐχθρὰ βλέπων ἀνέμενον ἐπαφήσειν ἐμαυτὸν ἐγχαιὼν τῷ πλακοῦντι. οἱ δὲ καὶ τὸ εἰσαγεῖν ἐπιμένειν ἐξέτειναν. ἡ κύλιξ κοσ συνεχὲς περισοβουμένης διατριβὰς ἦ μελισμὸς ἐνεποίουν. τέλος ὥσπερ ἐκ συνθήματος τὴν ἐμὴν ἀναρτῶντες ἐπιθυμίαν, ὁ μέν τις κάρφος λαβὼν ἐξεκάθαιρε τὰ ἐνιζάνοντα τῶν βρωμάτων τοῖς ὀδοῦσιν ἰνώδη. ὑπτίως

(ἑαυτὸν οἷος ἦν

ὕπνῳ κατέχεσθαι μᾶλλον ἢ τῆς τραπέζης φροντίζειν. εἶτα ἄλλος ἄλλῳ διελέγετο καὶ πάντα μᾶλλον ἐπράττετο, ἢ ὁ ἡδὺς ἐκεῖνος καὶ ποθητὸς ἡμῖν πλακοῦς εἰς ἀπόλαυσιν ἤρχετο. τέλος δ' ὡς εἰκὸς οἱ θεοὶ κατοικτείραντες τὸ κατάξηρον τῆς ἐμῆς ἐπιθυμίας, μόλις ποτὲ ἱμείροντά με τοῦ πλακοῦντος ἀπολαύσασθαι παρεσκεύασαν. ταῦτά σοι γράφω οὐ τοσοῦτον ἐπὶ τοῖς ἡδέσιν ἡσθεὶς, ὅσον ἐπὶ τῇ παρολκῇ τῆς βραδυτῆτος ἐκπλαγείς.

### Πλατύλαιμος ἐρεβινθολέοντι.

Υπώποτε ἐγὼ κατὰ τὴν ἀττικὴν ὑπέμεινα τοιοῦτον χειμῶνα. οὐ γὰρ μόνον ἐκ παραλλήλων φυσῶντες μᾶλλον δὲ φύρδην φερόμενοι κατέκτυπον ἡμῶν οἱ ἄνεμοι, ἀλλ' ἤδη καὶ χιὼν πυκνὴ καὶ ἐπάλληλος φερομένη, πρῶτον μὲν τοὔδαφος ἐκάλυπτεν. ἔπειτα οὐκ ἐπιπολῆς, ἀλλ' εἰς ὕψος ἤρετο τῆς νιφάδος χῶμα πάμπολυ, ὡς ἀγαπητὸν εἶναι τὸ θύρειον ἀνοίξαντα τοῦ οἰκίσκου τὸν στενωπὸν ἰδεῖν. ἐμοὶ γὰρ οὔτε ξύλον οὔτε ἄσβολος παρῆν. πῶς γὰρ ἢ πόθεν. ὁ κρυμὸς δὲ εἰσεδύετο μέχρι μυελῶν αὐτῶν καὶ ὀστέων. ἐβουλευσάμην οὖν ὀδυσσείως βούλευμα δραμεῖν εἰς τοὺς θόλους ἢ τὰς καμίνους τῶν βαλανείων. ἀλλ' οὐδὲ ἐκεῖσε συνεχώρουν οἱ τῶν ὁμοτέχνων περὶ ταῦτα κυλινδούμενοι. καὶ γὰρ αὐτοὺς ἡ παραπλησία θεὸς ἠνώχλει πενία. ὡς οὖν ᾐσθόμην οὐκ εἶναί μοι εἰς ταῦτα εἰσιτητὸν, δραμὼν ἐπὶ τὸ θρασύλλου βαλανεῖον ἰδιωτικῆς οἰκίας, εὗρον τοῦτο κενόν. καὶ καταβαλὼν ὀβολοὺς δύο καὶ τὸν βαλανέα τούτοις ἵλεων καταστήσας, ἐθερόμην ἄχρις οὗ τὸν νιφετὸν μετὰ πηγυλίδος διεδέξατο αὐχμὸς τοῦ κρύους τοῦ μεταξὺ διαρροῦ παγέντος πρὸς ἀλλήλους ἐδέδεντο οἱ λίθοι. μετὰ δὲ τὸ ἀποβράσσαι τὸ δριμὺ, προσηνὴς ὁ ἥλιος ἐλευθέραν μοι τὴν πρόοδον καὶ περίπατον αἰθήμερος ἀπέφηνεν.

Ἀμνίων Φιλομόσχῳ.

Πέφρεν ἡμῶν ἡ χάλαζα βρέως ἐμπεσοῦσα τὰ λήϊα.
ά καὶ λιμοῦ φάρμακον οὐδέν· ὠνεῖσθαι ἡμῖν ἐπακτοὺς πυροὺς οὐχ οἷόν τε διὰ σπάνιν κερμάτων. ἔστι δέ σοι ὡς ἀκούω τῆς περυσινῆς εὐετηρίας λείψανα. δάνεισον οὖν μοι μεδίμνους εἴκοσιν ὡς ἂν ἔχοιμι σώζεσθαι αὐτός τε καὶ ἡ γυνὴ καὶ τὰ παιδία. κἂν πότε δὲ εὐφορίας γενομένης, ἐκτισόμεθα αὐτὸ τὸ μέτρον καὶ λώϊον ἐάν τις εὐθηνία γένηται. μὴ δὲ περιίδῃς ἀγαθοὺς γείτονας εἰς στενὸν τοῦ καιροῦ φερομένους.

Εὔσταλος Ἐλατίωνι.

Ὑδένμε τῆς γῆς ἀμειβομένης τῶν πόνων ἄξιον, ἔγνωκα
ὀ ἐμαυτὸν ἐπιδοῦναι θαλάττῃ καὶ κύμασι. ζῆν μὲν γὰρ καὶ τεθνάναι μεμοίραται ἡμῖν. καὶ οὐκ ἔστι τὸ χρεὼν φυγεῖν κἂν ἐν οἰκίσκῳ τις καθείρξας αὐτὸν τηρῇ. σαφὴς γὰρ ἡ ἡμέρα ἐκείνη καὶ τὸ πεπρωμένον ἄφυκτον. ὥστε τὸ ζῆν οὐ χωρίῳ τούτων ταλαντεύεται, ἀλλ' ὑπὸ τῇ τύχῃ βραβεύεται. ἤδη γάρ τινες μὲν ἐπὶ γῆς ὠκύμοροι, ἐπὶ θαλάττης δὲ μακρόβιοι κατεβίωσαν. ὥστε εἰδὼς ταῦθ' οὕτως ἔχειν, ἐπὶ ναυτιλίαν βαδιοῦμαι καὶ ἀνέμοις ὁμιλήσω καὶ κύμασι. κρεῖττον γὰρ ἐπανιέναι μὲν ἐκ Βοσπόρου καὶ Προποντίδος νεόπλουτον, ἢ καθήμενον ἐπὶ τοῖς τῆς ἀττικῆς ἐσχατιαῖς λιμῶδες καὶ αὐχμηρὸν ἐρυγγάνειν.

Ἀπλαρχίδης Πυθολάῳ.

Ἐγα ὦ φίλε καλοὶ οἱ κατὰ τὴν πόλιν τοκογλύφοι·
μ ἐγὼ γὰρ οὐκ οἶδα τί παθών, δέον παρὰ σὲ ἢ παρά τινα ἄλλον τῶν κατ' ἀγρὸν γειτόνων ἐλθεῖν, ἐπεὶ κατέστην ἐν χρείᾳ χρημάτων βουλόμενος ἐπὶ Κολωνῷ πρίασθαι χωρίον, ἐξηγήσαντός με τινος τῶν ἀστικῶν ἐπὶ τὰς Μαρτίου θύρας ἀφι-

κόμην. εἶτα καταλαμβάνω πρεσβύτην ὀφθῆναι ῥικνὸν συνεσπακότα τὰς ὀφρῦς χάρτην δὲ ἀρχαῖόν τινα, σαπρὸν δὲ τῷ χρόνῳ ὑπὸ κόρεων καὶ σητῶν ἡμίβρωτον διὰ χειρὸς ἔχοντα. εὐθὺς μὲν οὖν μόλις με προσεῖπε ζημίαν, ἡγούμενος τὴν προσηγορίαν. εἶτα τοῦ προξένου φήσαντος ὡς δεοίμην χρημάτων, πόσων ἤρετο ταλάντων. ἐμοῦ δὲ θαυμάσαντος τὴν ὑπερβολήν, διέπτυεν εὐθέως. καὶ δῆλος ἦν δυσχεραίνων. ὅμως ἐδίδου καὶ ἀπῄτει γραμματεῖον. καὶ ἐπὶ τῷ ἀρχαίῳ τόκον βαρὺν καὶ τὴν οὐσίαν ὑποθέσει μηνός. εἰσέτι μοι μέγα τι κακόν εἰσιν οἱ περὶ τὰς ψήφους καὶ τῶν δακτύλων τὰς κάμψεις ἐλινδούμενοι. μή μοι γένοιτο ἀγροίκων ἔφοροι δαίμονες, μὴ λύκον ἔτι μὴ δανειστὴν ἰδεῖν.

Ἀνίκητος Φοιβιανῇ.

Φ Εὖγέ με ὦ Φοιβιανὴ φλέγεις. καὶ ταῦτα ἀρτίως ὅλον τὸν ἀγρὸν ἀπενηνεγμένη. τί γὰρ οὐ τῶν ἐμῶν λαβοῦσα ἔχεις. οὐ σῦκα, οὐ τυρὸν ἐκ ταλάρων, οὐκ ἀλεκτορίδων ζεῦγος; οὐ τὰ λοιπὰ τρυφήματα πάντα ἐστί σοι ἐξ ἐμοῦ; οὕτως ὅλον με αὐτίκα κατὰ τὴν παροιμίαν ἀνατρέψασα δουλεύειν ἠνάγκασας. σὺ δὲ οὐδεμίαν ὥραν ἔχεις ἐμοῦ διακαῶς φλεγομένου. ἀλλὰ χαῖρε καὶ ἄπιθι. ἐγὼ δὲ οἴσω βαρέως μὲν, οἴσω δὲ ὅμως τὴν ἀτιμίαν.

Φοιβιανὴ Ἀνικήτῳ.

ω Δίνουσάν με ἀρτίως ἥκειν ὡς ἑαυτὴν ἡ τοῦ γείτονος μετεπέμψατο γυνή. καὶ δῆτα ἧκον ἀραμένη τὰ πρὸς τὴν τέχνην. σὺ δὲ ἐξαπιναίως ἀναστὰς ἐπειρῶ τὴν δέρην ἀνακλάσας κύσαι. οὐ παύσῃ Τρίκουρον καὶ Τάλαντον γερόντιον πειρῶν τὰς ἀφηλικίας αὐθούσας ἡμᾶς ὥστις ἄρτι μειράζειν ἀρχόμενος.

μενος· οὐχὶ τῶν κατὰ γῆν πόνων ἀφεῖσαι ἀστρος τῶν αἰθρίων πορευσόμενος· οὐχὶ τοῦ πλανείου καὶ τῆς ἐσχάρας ὡς ἀδικώτατος ὢν ἐξίωσαι; πῶς οὖν τὸ κατ' ὀφρὺν βλέπεις βλέμμα καὶ ἀναπνεῖς· πίπουσα κέκροφ' ἄθλιε καὶ γέρων κατὰ σαυτὸν ὦ πρέσβυ.

## Γλυκέρα Βακχίδι.

Μένανδρος ἡμῖν ἐπὶ τὴν τῶν ἰσθμίων θέαν εἰς τὴν Κόρινθον ἐλθεῖν βεβούληται. ἐμοὶ μὲν οὐ κατὰ νοῦν. οἶδας γὰρ οἷόν ἐστιν ἐραστοῦ τοιούτου καὶ βραχὺν ὑστερῆσαι χρόνον. ἀποτρέπειν δὲ οὐκ ἐνῆν μὴ πολλάκις ἀποδημεῖν εἰωθότα. οὔτε ὅπως αὐτὸν παρεγγυήσω, μέλλοντα ἐπιδημήσειν ἔχω. οὔτε ὅπως μὴ βουλόμενον αὐτὸν σπουδασθῆναι ἀπὸ σοῦ, κἀμοί τινα φέρει φιλοτιμίαν, τοῦτο λογίζομαι. οἶδα γὰρ τὴν οὖσαν ἡμῖν ἑταιρείαν πρὸς ἀλλήλας. δέδοικα δὲ ὦ φιλτάτη, οὐ σὲ τοσοῦτον, χρηστοτέρῳ γὰρ ἤθει κέχρησαι τοῦ βίου, ὅσον αὐτὸν ἐκεῖνον. ἐρωτικὸς γάρ ἐστι δαιμονίως, καὶ Βακχίδος οὐδ' ἂν τῶν σκυθρωποτάτων τις ἀπόσχοιτο. τὸ μὲν γὰρ δοκεῖν αὐτὸν οὐκ ἔλαττον τοῦ σοὶ ἐντυχεῖν ἢ τῶν ἰσθμίων ἕνεκεν τὴν ἀποδημίαν πεποιῆσθαι, οὐ πάνυ πείθομαι. ἴσως αἰτιάσῃ με τῆς ὑποψίας. συγγίνωσκε δὲ ταῖς ἑταιρικαῖς ὦ φιλτάτη ζηλοτυπίαις. ἐγὼ δ' οὐ παρὰ μικρὸν ἡγοῦμαι Μενάνδρου διαμαρτεῖν ἐραστοῦ. ἄλλως τε κἄν μοι κνισμός τις πρὸς αὐτὸν ἢ διαφορὰ γένηται, δεήσει με ἐπὶ τῆς σκηνῆς ὑπὸ Χρέμητός τινος ἢ Διφίλου πικρῶς λοιδορεῖσθαι. ἐὰν δὲ ἐπανέλθῃ μοι οἷος ᾤχετο, πολλήν ἔσομαί σοι χάριν.

Ἔρρωσο.

## Βακχὶς Ὑπερείδῃ.

Ἅπασαι ἴσμεν αἱ ἑταῖραι χάριν· ἑκάστη γ᾽ ἡμῶν οὐχ
π ἧττον ἢ Φρύνη. ὁ μὲν γὰρ ἀγὼν μόνος Φρύνης. ὃν ὁ παμ-
πόνηρος Εὐθείας ἐπανείλετο· ὁ δὲ κίνδυνος ἁπασῶν. εἰ
γὰρ αἰτοῦσαι παρὰ τῶν ἐραστῶν ἀργύριον, οὐ τυγχάνομεν ἢ τοῖς
διδοῦσιν ἐντυγχάνουσαι ἀσεβείας κριθησόμεθα, πεπαῦσθαι κρεῖτ-
τον ἡμῖν τοῦ βίου καὶ μηκέτι ἔχειν πράγματα μήτε τοῖς ὁμιλοῦ-
σι παρέχειν. νῦν δ᾽ οὐκ ἔτι τὸ ἑταιρεῖν αἰτιασόμεθα ὅτι πονηρὸς Εὐ-
θείας ἐραστὴς εὑρέθη. ἀλλ᾽ ὅτι ἐπιεικὴς Ὑπερείδης ζηλώσομεν. πολ-
λὰ τοίνυν ἀγαθὰ γένοιτό σοι τῆς φιλανθρωπίας. καὶ γὰρ ἑταίραν
χρηστὴν σεαυτῷ περιεσώσω. καὶ ἡμᾶς ἀμειψομένας σε ἀντιλήψης
παρεσκεύασας. εἰ δὲ δὴ καὶ τὸν λόγον γράψαις τὸν ὑπὲρ τῆς Φρύ-
νης, τότε ἂν ὡς ἀληθῶς χρυσοῦν αἱ ἑταῖραί σε στήσαιμεν ὅπη ποτὲ
βελφοῖ ἑλλάδος.

## Βακχὶς Φρύνῃ.

Υ τοσοῦτόν σοι τοῦ κινδύνου συνηχθέσθην φιλτάτη ὅσον
ο ὅτι πονηροῦ μὲν ἀπηλλάγης ἐραστοῦ, χρηστὸν δὲ εὗρες
Ὑπερείδην, συνήσθην. τὴν γὰρ δίκην σοι καὶ πρὸς τὴν εὐ-
τυχίαν γεγονέναι νομίζω. διαβόητον γάρ σε οὐκ ἐν ταῖς Ἀθήναις μό-
νον, ἀλλὰ καὶ ἐν τῇ Ἑλλάδι ἁπάσῃ ὁ ἀγὼν ἐκεῖνος πεποίηκεν. Εὐθείας
μὲν γὰρ ἱκανὴν τιμωρίαν δώσει τῆς σῆς ὁμιλίας στερούμενος. ὑπὸ
γὰρ ὀργῆς μοι δοκεῖ κινηθεὶς διὰ τὴν ἔμφυτον ἀμαθίαν ὑπερά-
ραι τὸ μέτρον τῆς ἐρωτικῆς ζηλοτυπίας. καὶ νῦν ἐκεῖνον ἐρῶντα
μᾶλλον εὖ ἴσθι ἢ Ὑπερείδην. ὁ μὲν γὰρ διὰ τὴν τῆς συνηγορίας χά-
ριν δῆλός ἐστι σπουδάζεσθαι βουλόμενος καὶ ἐρώμενον ἑαυτὸν ποιῶν.
ὁ δ᾽ ἐπὶ τῷ ἀποτεύγματι τῆς δίκης παρώξυνται. προσδέχου δὴ πάλιν

διαὐτοῦ

δι' αὐτοῦ δεήσεις καὶ λιτανείας καὶ πολὺ χρυσίον. μὴ δὴ καταδικαστή-
σῃς ἐμοῦ ὦ φιλτάτη τῶν ἑταιρῶν. μὴ δὲ Ὑπερείδην κακῶς δόξαι
βεβουλεῦσθαι ποιήσῃς, τὰς δυστυχεῖς ἱκεσίας προσιεμένη. μηδὲ τοῖς
λέγουσιν ὅτι εἰ μὴ τὸν χιτωνίσκον περιρρηξαμένη τὰ μαστάρια τοῖς
δικασταῖς ἀπέδειξας, οὐδὲν ῥήτωρ ὠφέλει, πείθου. καὶ γὰρ αὐτὸ τοῦ-
το ἵνα ἐν καιρῷ γένηταί σοι ἡ ἐκείνου παρέσχε συνηγορία.

Βακχὶς Μυρρίνῃ.

Η δὲ κρείττονος ἔχει σοὶ τυχεῖν ἐραστοῦ δέσποινα ἀφρο-
μ δίτη, ἀλλὰ τούτῳ σοι ὃν νῦν περιέπεις συγκαταβιῴη. τά-
λαινα γυνὴ τῆς ἀνοίας. ἥτις γὰρ τοιούτῳ κάλλει πεπί-
στευκας. Φρύνην δὲ στέρξει δηλονότι Μυρρίνην, ὑπερεῖδον. αἰ ἔοικε
κυῖσαι τὴν ὑπερείδην βεβλῆσθαι ὡς ἔλαττον σοι νῦν προσέχοντα. κα-
κεῖνος ἑταίραν ἔχει ἀξίαν ἑαυτοῦ, καὶ σὺ ἐραστὴν σοὶ πρέποντα.
αἴτησον τι παρ' αὐτοῦ καὶ ὄψει σεαυτὴν ἢ τὰ νεώρια ἐμπεπρηκυῖαν
ἢ τοὺς νόμους καταλύουσαν. ἴσθι γοῦν ὅτι παρὰ πάσαις ἡμῖν ταῖς
τὴν φιλανθρωποτέραν ἀφροδίτην προτιμώσαις μεμίσησαι.

Θαῒς Θετταλῇ.

Υκ ἄν ποτε ᾠήθην ἐκ τοσαύτης συνηθείας ἔσεσθαί μοι τι-
ὀ να πρὸς Εὐξίππην διαφοράν. ἦ τὰ μὲν ἄλλα ἐν οἷς αὐ-
τῇ χρησίμη γέγονα ὑπὸ τὸν ἀπὸ τῆς σάμου κατάπλουν,
οὐκ ὀνειδίζω. ἀλλὰ Παμφίλου, γινώσκεις τοῦτο καὶ σὺ ὅσον ἡμῖν
διδόντος ἀργύριον ὅτι ταύτῃ ποτὲ ἐντυγχάνειν ἐδόκει τὸ μειρά-
κιον οὐ προσῆκα. ἀλλὰ καλῶς ἡμᾶς ἀντὶ τούτων ἠμείψατο τῇ
κάκιστα ἀπολουμένῃ μεγάρᾳ χαρίζεσθαι θέλουσα. πρὸς ἐκείνην
ἦν τις παλαιά μοι διὰ στρατιώτην ὑπόνοια. ἀλλὰ ταύτην μὲν οὐδὲν ᾤ-
μην ποιεῖν παράλογον κακῶς λέγουσάν με. ἀλλ' ὡς δὴν κατὰ πίστιν παν-
νυχίδα πᾶσαι ὡς περὶ τὴν εἰκὸς περὶ ἡμῖν. ἐθαύμαζον δὲ τῆς Εὐξίππης.

τὸ μὲν γὰρ πρῶτον ἐκιχλίζουσα μετ' ἐκείνης καὶ μωκωμένη, τὴν δυσμένειαν ἐνεδείκνυτο. εἶτα φανερῶς τὰ ἱμάτια ᾖδεν εἰς τὸν ἐκ ἐθῆμιν προσέχοντα ἐραστήν. κἀγὼ τούτοις μὲν ἧττον ἤλγουν. ἀπηναισχύντησε δὲ εἰς τὸ φῦκός με, καὶ τὸν παιδέρωτα ἔσκωπτεν. ἐδόκει δέ μοι πάνυ καλῶς πράττειν ὡς μὴ δὲ κάτοπτρον κεκτῆσθαι. εἰ γὰρ οἶδεν ἑαυτὴν χρῶμα σανδαράχης ἔχουσαν, οὐκ ἂν ἡμᾶς εἰς ἀμορφίαν ἐβλασφήμει. ἐμοὶ μὲν οὖν βραχὺ μέλει περὶ τούτων. ἀρέσκειν γὰρ τοῖς ἐρασταῖς, οὐχὶ μεγάρᾳ καὶ βακχίδι βούλομαι ταῖς πιθήκοις. δεδήλωκα δέ σοι ἵνα μή με τι μέμψῃ. ἀμυνοῦμαι γὰρ αὐτὰς οὐκ ἐν σκώμμασιν οὐδ' ἐν βλασφημίαις, ἀλλ' ἐν οἷς μάλιστα ἀνιάσονται. προσκυνῶ δὲ τὴν νέμεσιν.

Θαῒς εὐθυδήμῳ.

Ξ οὗ φιλοσοφεῖν ἐπενόησας σεμνός τις ἐγένου καὶ τὰς ὀ-
ε φρῦς ὑπὲρ τοὺς κροτάφους ἐπῆρας. εἶτα σχῆμα ἔχων καὶ βυβλίδιον μετὰ χεῖρας εἰς τὴν ἀκαδημίαν σοβεῖς. τὴν δὲ ἡμετέραν οἰκίαν ὡς οὐδὲ ἰδὼν πρότερον παρέρχῃ. ἐμάνης εὐθύδημε, οὐκ οἶσθα οἷός ἐστιν ὁ σοφιστὴς οὗτος ὁ ἐσκυθρωπακὼς καὶ τοὺς θαυμαστοὺς τούτους διεξιὼν πρὸς ὑμᾶς λόγους. ἀλλ' ἐμοὶ μὲν πράγματα, πόσος ἐστὶν οἴει χρόνος, ἐξ οὗ παρέχει βουλόμενος ἐντυχεῖν. προσφθείρεται δὲ ἑρπυλλίδι τῇ μεγάρας ἅβρᾳ. τότε μὲν οὖν αὐτὸν οὐ προσιέμην. σὲ γὰρ περιβάλλουσα κοιμᾶσθαι μᾶλλον ἐβουλόμην, ἢ τὸ παρὰ πάντων σοφιστῶν χρυσίον. ἐπεὶ δέ σε ἀποτρέπειν ἔοικε τῆς μεθ' ἡμῶν συνηθείας, ὑποδέξομαι αὐτόν. κἂν εἰ βούλῃ τὸν διδάσκαλον τουτονὶ τὸν μισογύναιον ἐπιδείξω σοι νυκτὸς οὐκ ἀρμούμενον ταῖς συνήθεσιν ἡδοναῖς. λῆρος ταῦτα ἐστὶ καὶ τῦφος καὶ ἐργολάβεια μειρακίων ὦ ἀνόητε. οἴει δὲ διαφ-

ρειν ἑταίρας σοφιστήν; τοσοῦτον ἴσως ὅσον οὐ διὰ τὴν αὐτὴν ἑκάτεροι πείθειν. ἐπεὶ σχεδὸν γε ἀμφοτέροις τέλος πρόσκειται τὸ λαβεῖν. πόσω δὲ ἀμείνους ἡμεῖς καὶ εὐσεβέστεραι. οὐ λέγομεν θεοὺς οὐκ εἶναι. ἀλλὰ πιστεύομεν ὀμνύουσι τοῖς ἐρασταῖς ὅτι φιλοῦσιν ἡμᾶς. οὐδὲ ἀξιοῦμεν ἀδελφαῖς καὶ μητράσι μίσγεσθαι τοὺς ἄνδρας, ἀλλ' οὐδὲ γυναιξὶν ἀλλοτρίαις, εἰ μὴ ὅτι τὰς νεφέλας ὁπόθεν εἰσί, καὶ τὰς ἀτόμους ὁποῖαι, ἀγνοοῦμεν. διὰ τοῦτο ἥττους δοκοῦμέν σοι τῶν σοφιστῶν. καὶ αὐτὴ παρὰ τούτοις ἐσχόλακα καὶ πολλοῖς διείλεγμαι. ὁ δὲ εἰς ἑταίρας ὁμιλῶν τυραννίδας ὀνειροπολεῖ καὶ στασιάζει τὰ κοινά. ἀλλὰ σπάσας τὸν ἑωθινὸν καὶ μεθυσθεὶς εἰς ὥραν τρίτην ἢ τετάρτην ἠρεμεῖ. παιδεύομεν δὲ οὐ χεῖρον ἡμεῖς τοὺς νέους. ἐπεὶ σύγκρινον εἰ βούλει Ἀσπασίαν τὴν ἑταίραν καὶ Σωκράτην τὸν σοφιστήν, καὶ πότερος ἄμεινον αὐτῶν ἐπαίδευσεν ἄνδρας λόγισαι. τῆς μὲν γὰρ ὄψει μαθητὴν Περικλέα. τοῦ δὲ, Κριτίαν. κατάβαλε τὴν μωρίαν ταύτην καὶ ἀηδίαν. ὁ ἐμὸς ἔρως εὐθύδημε οὐ πρέπει σκυθρωποῖς εἶναι τοιούτοις ὄμμασι. καὶ πρὸς τὴν ἐρωμένην ἧκε τὴν ἑαυτοῦ οἷος ἐπανελθὼν ἀπὸ λυκίου πολλάκις τὸν ἱδρῶτα ἀποψώμενος. ἵνα μικρὰ κραιπαλήσαντες ἐπιδειξώμεθα ἀλλήλοις τὸ καλὸν τέλος τῆς ἡδονῆς. καί σοι νῦν μάλιστά γε φανοῦμαι σοφή. οὐ μακρὸν δίδωσιν ὁ δαίμων χρόνον τοῦ ζῆν. μὴ λάθῃς τοῦτον εἰς αἰνίγματα καὶ λήρους ἀναλώσας. Ἔρρωσο.

Σιμαλίων πετάλῃ.

Ι μὲν ἡδονήν σοί τινα φέρειν ἢ φιλοτιμίαν πρός τινας τῶν διαλεγομένων οἶδ', τὸ πολλάκις ἡμᾶς ἐπὶ τὰς θύρας φοιτᾶν καὶ τοῖς πεμπομένοις πρὸς τὰς εὐτυχεστέρας ἡμῶν θεραπαινιδίοις ἀποδύρεσθαι, οὐκ ἀλόγως ἡμῖν ἐντρυφᾷς

ἴσθι μέντοι, καίτοι πικρὸν οἶδα πρᾶγμα ἀσύμφορον ἐμαυτῷ, οὔ-
πω με διακείμενον ὡς ὀλίγοι τῶν ἐντυγχανόντων σοι νῦν ἀμελη-
θέντες ἂν διατεθεῖεν. καίτοι γε ᾤμην τὸ μὲν ἄκρατον ἔσεσθαί μοι κατη-
γόρημα ὃν παρ᾽ Εὐφρονίῳ τρίτην ἑσπέραν πολλὴν ἐνεφορησάμην
ὡς δὴ τὰς παρὰ τὴν νύκτα φροντίδας διωσόμενος. τὸ δὲ ἄρα ἐ-
ναντίως ἔσχεν· ἀνερρίπισε γάρ μου τὴν ἐπιθυμίαν, ὥστε κλαίον-
τά με καὶ βρυχώμενον, ἐλεεῖσθαι μὲν παρὰ τοῖς ἐπιεικεστέροις, γέ-
λωτα δὲ τοῖς ἄλλοις παρέχειν. μικρὰ δὲ ἐπεστί μοι παραψυχὴ καὶ
μαραινόμενον ἤδη παραμύθιον, ὅ μοι ὑπὸ τὴν λύπην ἐν τῷ συμ-
ποσίῳ μέμψιν προσέρριψας ἀπὸ αὐτῶν περισπάσασα τῶν πλο-
κάμων. ὡς δὴ πᾶσι τοῖς ὑφ᾽ ἡμῶν πεμφθεῖσιν ἀχθομένη. εἰ δή σοι
ταῦτα ἡδονὴν φέρει, ἀπόλαυε τῆς ἡμετέρας μερίμνης. κἂν ἦ σοι φί-
λον, διηγοῦ τοῖς νῦν μὲν μακαριωτέροις ἡμῶν, τάχα δὲ μακρὰν ἢ ὡς
πρὸς ἡμεῖς ἕξουσιν ἀνιασομένοις. εὔχου μέντοι μηδέν σοι νεμεσῆσαι
ταύτης τῆς ὑπεροψίας τὴν Ἀφροδίτην. ἕτερος ἂν λοιδορούμενος ἔγρα-
φε καὶ ἀπειλῶν· ἀλλ᾽ ἐγὼ δεόμενος καὶ ἀντιβολῶν. ἐρῶ γάρ, ὦ Πε-
τάλη, κακῶς. φοβοῦμαι δὲ μὴ κάκιον ἔχων μιμήσωμαί τινα τῶν
περὶ τὰς ἐρωτικὰς μέμψεις ἀτυχεστέρων.

Πετάλη Σιμαλίωνι.

Βουλόμην μὲν ὑπὸ δακρύων ἑταίρας τρέφεσθαι οἰ-
κίαν. λαμπρῶς γὰρ ἂν ἔπραττον ἀφθόνων τούτων ἀπ-
λαύουσα παρὰ σοῦ. νῦν δὲ δεῖ χρυσίου ἡμῖν, ἱματίων, κό-
σμου, θεραπαινιδίων. ἡ τοῦ βίου διοίκησις ἅπασα ἐντεῦθεν. οὐκ ἔστιν
ἐν Μυρρινοῦντι πατρῷον ἐμοὶ κτημάτιον, οὐδ᾽ ἐν τοῖς ἀργυρείοις ἐ-
μοὶ μέταλλον, ἀλλὰ μισθωμάτια καὶ αἱ δυστυχεῖς αὗται καὶ
κατεστεναγμέναι τῶν ἀνοήτων ἐραστῶν χάριτες. σοὶ δὲ ἐνιαυτὸν ἐν-
τυγχάνουσα

τυγχάνουσα ἀδημονῶ· καὶ αὐχμηρὰν μὲν ἔχω τὴν κεφαλὴν μη-
δ' ἰδοῦσα τὸν χρόνον τοῦτον μύρον· τὰ δὲ ἀρχαῖα καὶ τρίχινα προ-
βαλλομένη ῥακτινίδια αἰσχύνομαι τὰς φίλας. οὕτως ἀγα-
θόν τί μοι γένοιτο. εἶτα οἴει μέσοι παρακαθημένην ποθὲν ζήσειν;
ἀλλὰ δακρύεις; πεπαύσῃ μετὰ μικρόν. ἐγὼ δ' ἂν μή τις ὁ διδοὺς
ᾖ, πεινήσω τὸ καλόν. θαυμάζω δέ σου καὶ τὰ δάκρυα ὡς ἔστιν ἀπί-
θανα. δέσποινα ἀφροδίτη. φιλεῖς ἄνθρωπε φὴς, καὶ βούλει σοι τὴν
ἐρωμένην διαλέγεσθαι· ζῆν γὰρ χωρὶς ἐκείνης μὴ δύνασθαι. τί οὖν
οὐ ποτήρια ἔστιν ἐπὶ τῆς οἰκίας ὑμῖν, μὴ χρυσία τῆς μητρὸς, μὴ
δάνεια τοῦ πατρὸς κομιούμενος· μακαρία Φιλώτης, τοῖς δ' ἡμε-
νεστέροις ὄμμασιν εἶδον ἐκείνην αἱ χάριτες, οἷον ἐραστὴν ἔχει μενε-
κλείδην, ὃς καθ' ἡμέραν δίδωσί τι. ἄμεινον γὰρ ἢ κλάειν. ἐγὼ δὲ ἡ τα-
λαινα θρηνῳδὸν οὐκ ἐραστὴν ἔχω. στεφάνιά μοι καὶ ῥόδα ὥσπερ ἀώρῳ
τάφῳ πέμπει. καὶ κλάειν δι' ὅλης φησὶ τῆς νυκτός. ἐὰν φέρῃς τί ἥ-
κε μὴ κλαίων, εἰ δὲ μή, σεαυτὸν οὐχ ἡμᾶς ἀνιάσεις.

## Μυῤῥίνη Νικίππῃ.

ὁ Υ προσέχει μοι τὸν νοῦν ὁ δίφιλος, ἀλλὰ ἅπας ἐπὶ τὴν
ἀκάθαρτον θετταλὴν νένευκε, καὶ μέχρι μὲν τῶν ἀδωνί-
ων καὶ ἐπὶ κῶμον ποτὲ πρὸς ἡμᾶς καὶ κοιμησόμενος ἐφοίτα· ἤδη μέν-
τοι ὡς αἰτίας ἀκκιζόμενος καὶ ἐρώμενον ἑαυτὸν ποιῶν καὶ τά γε πολλά
σὺν ὑπὸ τοῦ ἕλικος ὁ πότε μεθυσθεὶς ὁδηγούμενος· ἐκεῖνος γὰρ τῆς ἐρ-
πυλλίδος ἐρῶν τὴν παρ' ἡμῖν ᾔτει σχολήν. νῦν μέντοι δῆλός ἐστι
μηδ' ὅλως ἡμῖν ἐντευξόμενος. τέτταρας γὰρ ἤδη ταύτας ἡμέρας ἐν
τῷ λυσίδος κήπῳ μετὰ θετταλῆς καὶ τοῦ κάκιστ' ἀπολουμένου στρογ-
γυλίωνος, ὃς ταύτην αὐτῷ προὐμνηστεύσατο τὴν ἐρωμένην ἐμοί
τι προσκρούσας, κραιπάλα. γραμματίδια μὲν οὖν καὶ θεραπαι-

νίδων διαφερόμεθα καὶ ὅσα τοιαῦτα μάτην διήγυσαι καὶ οὐδὲν ἐξ αὐτῶν ὄφελος. δέδοικα δέ μοι μᾶλλον ὑπὸ τούτων τετύφωται καὶ ὑπερεντρυφᾷ ἡμῖν. λοιπὸν οὖν ἀποκλείειν κἂν ἔλθῃ ποτὲ πρὸς ἡμᾶς κοιμηθησόμενος εἰ δὴ κνίσαι ποτὲ ἐκείνην βουληθείη διασώσασθαι. εἴωθε γὰρ ἡ βαρύτης τῶν ἀμελειῶν καταβάλλεσθαι. ἐὰν δὲ μηδ' οὕτως ἀνύσωμεν, θερμοτέρου τινὸς ἡμῖν ὥσπερ τοῖς σφόδρα κάμνουσι φαρμάκου δεῖ. δέδοικα γὰρ οὐ τοῦτο μόνον εἰ τῶν παρ' αὐτοῦ μισθωμάτων στερησόμεθα, ἀλλ' εἰ θεττάλῃ γέλωτα παρέξομεν. ἔστι σοι πειραθὲν ὡς φὴς πολλάκις ἐφηλικίας φίλτρον, τοιούτου πρὸς βοηθήματος δεόμεθα, ὃ τὸν πολὺν αὐτοῦ τῦφον ἀλλοιώσῃ καὶ τὴν κραιπάλην ἐκκορήσειεν. ἐπικηρυκευσόμεθα δὴ αὐτῷ καὶ δακρυσόμεθα πιθανῶς ἢ τὴν νέμεσιν δεῖν αὐτὸν ἐρεῖν εἰ οὕτως ἐμὲ περιόψεται ἐρῶσαν αὐτοῦ, καὶ τοιαῦτα ἄλλα ἐροῦμεν καὶ πλασόμεθα. ἥξει γὰρ ὡς ἐλεῶν δήπου με καομένην ἐπ' αὐτῷ. μεμνῆσθαι γὰρ τοῦ παρελθόντος χρόνου καὶ τῆς συνηθείας ἔχειν καλῶς ἐρεῖ, φυσῶν ἑαυτὸν ὁ λάσταυρος. συλλήψεται δ' ἡμῖν καὶ ὁ ἕλιξ. ἐπ' ἐκεῖνον γὰρ ἡ ἑρπυλλὶς ἀποδύσεται. ἀλλ' ἀμφιβάλλειν εἴωθε τὰ φίλτρα καὶ ἀποσκήπτειν εἰς ὄλεθρον. βραχύ μοι μέλει. δεῖ γὰρ αὐτὸν ἢ ἐμοὶ ζῆν ἢ τεθνάναι θεττάλῃ.

Μενεκλείδης Εὐθυκλεῖ.

Οἴχεται βακχὶς ἡ καλή, εὐθύκλεις φίλτατε οἴχεται. πολλά τέ μοι καταλιποῦσα δάκρυα καὶ ἔρωτος ὅσον ἥδιστον τὸ τέλος οὐ πονηροῦ μὲν μνήμην. οὐ γὰρ ἐκλήσομαί ποτε βακχίδος.

χάδος. οὐ χρυσὸς ἔσται χρόνος. ὅσην συμπάθειαν ἐνεδείξατο. ἀπολογίαν ἐκείνην καλῶν οὐκ ἄν τις ἁμαρτάνοι τοῦ τῶν ἑταιρῶν βίου. καὶ εἰ συνελθοῦσαι ἅπασαι πανταχόθεν εἰκόνα τινὰ αὐτῆς ἐν ἀφροδίτης ἢ χαρίτων θεῖεν, δεξιὸν αὐταί μοι ποιῆσαι δοκοῦσι. τὸ γὰρ θρυλλούμενον ὑπὸ πάντων, ὡς πονηραί, ὡς ἄπιστοι, ὡς πρὸς τὸ λυσιτελὲς βλέπουσαι μόνον, ὡς ἀεὶ τοῦ διδόντος, ὡς τίνος γὰρ οὐκ αἴτιαι κακοῦ τοῖς ἐντυγχάνουσι, διαβολὴν ἐπέδειξεν ἀφ' ἑαυτῆς ἄδικον. οὕτω πρὸς τὴν κοινὴν βλασφημίαν τῷ ἤθει παρετάξατο. οἶσθα τὸν μῆδον ἐκεῖνον τὸν ἀπὸ τῆς συρίας δεῦρο καταίραντα μεθ' ὅσης θεραπείας καὶ παρασκευῆς ἐσόβει. εὐνούχους ὑπισχνούμενος καὶ θεραπαίνας καὶ κόσμον τινὰ βαρβαρικόν. ὅμως ἥκοντα αὐτὸν οὐ προσίετο. ἀλλ' ὑπὸ τοὐμὸν ἡδέως κοιμωμένη χλανίσκιον τὸ λιτὸν τοῦτο καὶ δημοτικόν. καὶ τοῖς παρ' ἡμῶν ὀλίγως αὐτῇ πεμπομένοις ἐπανέχουσα, τὰς σατραπικὰς ἐκείνας καὶ πολυχρύσους δωρεὰς διωθεῖτο. τί δὲ τὸν αἰγύπτιον ἔμπορον ὡς ἀπεσκοράκισεν ὅσον ἀργυρίου προτείνοντα. οὐδὲν ἐκείνης ἄμεινον οἶδα ὅτι γένοιτ' ἄν. ὡς χρηστὸν ἦθος οὐκ εἰς εὐδαίμονα βίου προαίρεσιν δαίμων τις ὑπήνεγκεν. εἶτ' οἴχεται ἡμᾶς ἀπολιποῦσα καὶ κείσεται λοιπὸν μόνη ἡ βακχὶς ὡς ἄδικοι ὦ φίλαι μοῖραι. ἔδει γὰρ αὐτῇ συγκατακεῖσθαί με καὶ νῦν ὡς τότε. ἀλλ' ἐγὼ μὲν περίειμι καὶ τροφῆς ψαύω, καὶ διαλέξομαι τοῖς ἑταίροις. ἡ δὲ οὐκ ἔτι με φαιδροῖς τοῖς ὄμμασιν ὄψεται μειδιῶσα. οὐδ' ἵλεως ἐν εὐμενὴς διανυκτερεύσει τοῖς ἡδίστοις ἐκείνοις κολάσμασιν. ἀρτίως μὲν οἷον ἐφθέγγετο, οἷον ἔβλεπεν. ὅσαι ταῖς ὁμιλίαις αὐτῆς σειρῆνες ἐνίδρυντο. ὡς δ' ἡδύ τι καὶ ἀκήρατον ἀπὸ τῶν φιλημάτων νέκταρ

(ἔσταζεν

ἐπ᾽ἄκροις μοι δοκεῖ τοῖς χείλεσιν αὐτῆς ἐνιδρῦσθαι ἡ πειθώ. ἅ που
καὶ ἐκείνη γε τὸν κεστὸν ὑπεζώσατο. ὅλαις ταῖς χάρισι τὴν ἀφροδίτην
δεξιωσαμένη. ἔρρει τὰ παρὰ τοῖς πότοις μινυρίσματα. καὶ ἡ χρυσοῖς
ἐλεφαντίνοις δακτύλοις κρουομένη λύρα ἔρρει. κεῖται δὲ ἡ πά-
σαις μέλουσα χάρισι κωφὴ λίθος. καὶ σποδιά. καὶ μεγάρα μὲν ἡ
ἀπότομος ζῇ οὕτω θεαγένη συλήσασα ἀνηλεῶς, ὡς ἐκ πάνυ λαμ-
πρᾶς οὐσίας τὸν ἄθλιον χλαμύδιον ἁρπάσαντα καὶ πέλτην οἴχεσθαι
στρατευσόμενον. βακχὶς δὲ ἡ τὸν ἐραστὴν φιλοῦσα ἀπέθανε. ῥᾴων
γέγονα πρὸς σὲ ἀποδυράμενος εὐθύκλεις φίλτατε. ἡδὺ γάρ μοι
τι δοκεῖ περὶ ἐκείνης καὶ λαλεῖν καὶ γράφειν. οὐδὲν γὰρ ἢ τὸ μεμνῆ-
σθαι καταλέλειπται. Ἔρρωσο.

## Μεγάρα βακχίδι.

σι Σοὶ μόνῃ ἐραστὴς γέγονεν ὃν φιλεῖς οὕτως ὥστε τὸ μηδὲ ἀ-
κριβῶς αὐτοῦ διαζευχθῆναι δύνασθαι. τῆς ἀηδίας δέσποινα
ἀφροδίτη κληθεῖσα ὑπὸ γλυκέρας εἰς τοσοῦτον χρόνον. ἀπὸ τῶν διο-
νυσίων γὰρ ἡμῖν ἀπήγγελεν, οὐχ ἧκες εἰ μὴ δι᾽ ἐκείνην. οὐδὲ τὰς
φίλας ἰδεῖν γυναῖκας ἀνασχομένη. σώφρων γέγονας σὺ καὶ φιλεῖς
τὸν ἐραστήν. μακαρία τῆς εὐφημίας. ἡμεῖς δὲ αἱ πόρναι καὶ ἀκόλα-
στοι. ὑπῆρξε καὶ φιλωνὶ συνήθη βακχὶ εἶναι. ὀργίζομαι γὰρ νὴ τὴν με-
γάλην θεόν. πᾶσαι γὰρ ἦμεν θεττάλη. μυρρίνη. χρυσίον. εὐξίππη.
ὅπου γε φιλουμένη καίτοι γεγαμημένη προσφάτως καὶ ζηλοτυπου-
μένη τὸν καλὸν ἀποκοιμίσασα τὸν ἄνδρα, ὀψὲ μὲν, ὅμως δὲ παρῆν.
σὺ δὲ ἡμῖν μόνη τὸν ἄδωνιν περιέψυχες, μή που καταλειφθέντα αὐ-
τὸν ὑπὸ σοῦ τῆς ἀφροδίτης, ἡ περσεφόνη παραλάβῃ. οἷον ἡμῶν
ἐγένετο συμπόσιον, τί γὰρ οὐχ ἅψομαί σου τῆς καρδίας, ὅσων
χαρίτων πλῆρες. ᾠδαί. σκώμματα. πότος εἰς ἀλεκτρυόνων ᾠ-
δάς.

ᾠδάς· μύρα· στέφανοι· τραγήματα· ὑποσκηνίοις ποσὶ δάφναις ἦν ἡ κα-
τάκλισις. ἓν μόνον ἡμῖν ἔλειπε, σύ· τὰ δ' ἄλλα, οὐ. πολλάκις ἐκραι-
παλήσαμεν. οὕτω δὲ ἡδέως, ὀλιγάκις. τὸ γοῦν πλείστην ἡμῖν πα-
ρασχοῦσαν τέρψιν, δεινή τις φιλονεικία κατέσχε Θρυαλλίδα καὶ
μυῤῥίνην ὑπὲρ τῆς πυγῆς. ποτέρα κρείττω καὶ ἁπαλωτέραν ἐπι-
δείξει. καὶ πρώτη μυῤῥίνη τὸ ζώνιον λύσασα, βόμβυξ δ' ἦν τὸ χι-
τώνιον δι' αὐτοῦ τρέμουσαν οἷόν τι μελίπηκτον γάλα τὴν ὀσφὺν
ἀνεσάλευσεν ὑποβλέπουσα εἰς τοὐπίσω πρὸς τὰ κινήματα τῆς
πυγῆς. ἠρέμα δ' οἷον ἐνεργοῦσά τι ἐρωτικὸν ὑπεστέναξεν. ὥστε ἐμὲ
νὴ τὴν ἀφροδίτην καταπλαγῆναι. οὐ μὴν ἀπεῖπέ γε ἡ θρυαλλίς,
ἀλλὰ τῇ ἀκολασίᾳ παρευδοκίμησεν αὐτήν. οὐ γὰρ διὰ παραπε-
τασμάτων ἐγώ φησιν ἀγωνίσομαι. οὐδὲ ἀκιζομένη, ἀλλ' οἷον ἐν γυ-
μνικῷ. καὶ γὰρ οὐ φιλεῖ προφάσεις ἀγών. ἀπεδύσατο τὸ χιτώνι-
ον. καὶ μικρὸν ὑποσιμώσασα τὴν ὀσφὺν, ἰδοὺ σκόπει τὸ χρῶμα
φησὶν ὡς ἀκριβὲς μυῤῥίνη. ὡς ἀκήρατον. ὡς καθαρόν. τὰ παρ-
φυρᾶ τῶν ἰσχίων ταυτί. τὴν ἐπὶ τοὺς μηροὺς ἔγκλισιν. τὸ μήτε ὑπέ-
ρογκον αὐτῶν μήτε ἄσαρκον. τοὺς γελασίνους ἐπ' ἄκρων. ἀλλ' οὐ τρέμει
νὴ δία. ἀλλ' ὑπομειδιῶσα ὥσπερ ἡ μυῤῥίνη. καὶ τοσοῦτον παλμὸν ἐξειργά-
σατο τῆς πυγῆς καὶ ἅπασαν αὐτὴν ὑπὲρ τὴν ὀσφὺν τῇ δὲ καὶ τῇ δὲ
ὥσπερ ῥέουσαν περιεδίνησεν, ὥστε ἀνακροτῆσαι πάσας, καὶ νίκην
ἀποφήνασθαι τῆς θρυαλλίδος. ἐγένοντο δὲ καὶ περὶ ἄλλων συγ-
κρίσεις καὶ περὶ μαστείων ἀγῶνες. τῆς μὲν γὰρ φιλουμένης γα-
στρὶ ἀντεξετασθῆναι οὐδεμία ἐθάῤῥησεν. ἄτοκος γὰρ ἦν καὶ
σφριγῶσα. καταπαννυχίσασαι δὲ καὶ τοὺς ἐραστὰς κακῶς

εὐποροῦσαι καὶ ἄλλων ἐπιτυχεῖν δυνάμεναι, ἀεὶ γὰρ ἡδίων ἡ πρόσφατος ἀφροδίτη, ᾠχόμεθα ἔξοινοι. πολλὰ δὲ κατὰ τὴν ὁδὸν κραιπαλήσασαι, ἐπεκωμάσαμεν δεξιὰ μάλα κατὰ τὸν χρυσοῦν στενωπόν. ὡς ἐπὶ τὴν ἄστυ κατιόντι πλησίον τῆς μενέφρονος οἰκίας. ἐρᾷ γὰρ αὐτοῦ θαῒς κακῶς. καὶ νὴ δία εἰκότως. ἔναγχος γὰρ πλούσιον κεκληρονόμηκε πατέρα τὸ μειράκιον. νῦν μὲν οὖν συγγνώμην ἔχομεν αὐτῇ τῆς ὑπεροψίας. τοῖς ἀλώοις δὲ ἐν κολλυτῷ ἑστιώμεθα παρὰ τῷ θεττάλης ἐραστῇ. τὸν γὰρ τῆς ἀφροδίτης ἐρώμενον, ἡ θεττάλη στέλλει. ὅπως δ᾽ ἥξεις φέρουσα κήπιον καὶ κοράλλιον καὶ τὸν ἄδωνιν ὃν νῦν περιψύχεις. μετὰ γὰρ τῶν ἐραστῶν κραιπαλήσομεν.

Ἔρρωσο.

Φιλουμένη κρίτωνι.

τ Τί πολλὰ γράφων ἀνιᾷς σεαυτόν. πεντήκοντά σοι χρυσῶν δεῖ καὶ γραμμάτων οὐδέν. εἰ μὲν οὖν φιλεῖς, δός. εἰ δὲ φιλαργυρεῖς, μὴ ἐνόχλει.

Ἔρρωσο.

## ΑΡΧΗ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΜΗΜΑΤΟΣ.

Λάμια Δημητρίῳ.

σ Υ ταύτης τῆς παρρησίας αἴτιος ὢν βασιλεύς, ὅτι ἐπιτρέψας καὶ ἑταίρᾳ γράφειν σοι. καὶ οὐχ ἡγησάμενος δεινὸν ἐντυχεῖν τοῖς ἐμοῖς γράμμασιν ὅλαις ἐντυγχάνων. ἐγὼ δέσποτα δημήτριε ὅταν μὲν ἔξωθεν θεάσωμαι

σώματι καὶ ἀκούσω μετὰ τῶν δορυφόρων καὶ τῶν στρατοπέ-
δων καὶ τῶν πρέσβεων καὶ τῶν διαδημάτων, νὴ τὴν ἀφροδί-
την πέφρικα καὶ δέδοικα καὶ ταράττομαι καὶ ἀποστρέφομαι ὥσ
περ ἥλιον μὴ ἐπικαῶ τὰ ὄμματα. καὶ τότε μοι ὄντως ὁ πολιορκη
τὴς εἶναι δοκεῖς δημήτριος. οἷον δὲ καὶ βλέπεις τότε ὡς μικρὸν καὶ
πολεμικόν. καὶ ἀπιστῶ ἐμαυτῇ καὶ λέγω· λάμια, σὺ μετὰ τούτου κα
θεύδεις; σὺ διὰ νυκτὸς ὅλης αὐτὸν καταυλεῖς; σοὶ νῦν οὗτος ἐπέσταλ
κε; σοὶ γνάθαιναν τὴν ἑταίραν συγκρίνει; καὶ ἠλογημένη σιωπῶ καὶ
εὐχομένη θεάσασθαι παρ' ἐμαυτῇ. καὶ ὅταν ἔλθῃς προσκυνῶ σε.
καὶ ὅταν περιπλακεὶς μέγα φιλήσῃς, πάλιν πρὸς ἐμαυτὴν τἀναν
τία λέγω. οὗτος ἐστὶν ὁ πολιορκητής; οὗτος ἐστὶν ὁ ἐν τοῖς στρατοπέδοις;
τοῦτον φοβεῖται μακεδονία; τοῦτον ἡ ἑλλάς; τοῦτον ἡ θρᾴκη; μὰ τὴν
ἀφροδίτην σήμερον αὐτὸν τοῖς αὐλοῖς ἐκπολιορκήσω καὶ ὄψομαι
τί με διαθήσει. μένοις ἐς τρίτην παρ' ἐμοί· γὰρ δειπνήσεις δέομαι.
τὰ ἀφροδίσια ποιῶ ταῦτα κατ' ἔτος. καὶ ἀγῶνα ἔχω εἰ τὰ πρότερα
τοῖς ὑστέροις νικᾷ. ὑποδέξομαι δή σε ἐπαφροδίτως καὶ ὡς ἔνι μά
λιστα πιθανῶς, ἄν μοι περιουσιῶσαι γένηται ὑπὸ σοῦ, μηδὲν αὐθ
ἕξον τῶν σῶν ἀγαθῶν ἐξ ἐκείνης τῆς ἱερᾶς νυκτὸς ἔτι πεποιηκυῖα
καίτοι σοῦ γε ἐπιτρέποντος ὅπως ἂν βούλωμαι χρῆσθαι τῷ ἐμῷ
σώματι. ἀλλὰ κέχρημαι καλῶς καὶ ἀμίκτως πρὸς ἑτέρους. οὐ
ποιήσω τὸ ἑταιρικόν. οὐδὲ ψεύσομαι δέσποτα ὡς ἄλλαι ποιοῦσιν.
ἐμοὶ γὰρ ἐξ ἐκείνου μὰ τὴν ἄρτεμιν οὐδὲ προσέβλεψαν ἔτι πολλοί.
οὐδ' ἐπείρασαν αἰδούμενοί σου τὰς πολιορκίας. ὀξύς ἐστιν ἔρως
ὦ βασιλεῦ καὶ ἐλθεῖν καὶ ἀναπτῆναι. ἐλπίσας τε ἐρᾶται καὶ ἀπελπίσας

τα γὰρ τῇ φορρύειν εἴωθεν ἀποσυνωθείς· διὸ καὶ μέγα τῶν ἑταιρου-
σῶν ἐστὶ σόφισμα, ἀεὶ τὸ παρὸν τῆς ἀπολαύσεως ὑπερτιθεμένας
ταῖς ἐλπίσι διακρατεῖν τοὺς ἐραστάς· πρὸς ὑμᾶς δὲ οὐδὲ ὑπερτί-
θεσθαι ἔξεστιν. ὥστε φόβον εἶναι κόρον. λοιπὸν ἡμᾶς δεῖ τὰ μὲν
ποιεῖν. τὰ δὲ, μαλακίζεσθαι. τὰ δὲ, δειπνοποιεῖν. τὰ δὲ, κοσ-
μεῖν σοι τὸν οἶκον. τὰς δὲ, ὃ πάσσω ἄλλως τὰ γὰρ μαραινομένας
μεσολαβούσας χρήσεις, ἵνα μᾶλλον ἐξάπτωνται τοῖς διαστήμασι
διαλούστερα αὐτῶν αἱ ψυχαὶ φοβουμένων μὴ ἄλλο πάλιν γίνε-
ται τῆς ἐν τῷ παρόντι τύχης κώλυμα. ταῦτα δὲ πρὸς μὲν ἑταί-
ρους τάχα ἂν ἐδυνάμην βασιλοῦ φυλάττεσθαι καὶ τεχνιτεύειν.
πρὸς δὲ σὲ ὃς οὕτως ἤδη ἔχεις ἐπ' ἐμοὶ ὡς ἔστι δ' ἐμὴν ὑμ.. καὶ ἀγάλ-
λεσθαι πρὸς τὰς ἄλλας ἑταίρας, ὅτι ποσσῶν ἐγὼ περιγίνω, μὰ τὰς
φίλας μούσας οὐκ ἂν ὑπομείναιμι πλάττεσθαι. οὐχ οὕτως εἰ-
μὶ λιθίνη. ὥστε ἀφεῖσα πάντα καὶ τὴν ψυχὴν ἐμαυτῆς εἰς ἀρίστη-
ον, ὀλίγοι ἡγήσομαι διαπονῆσαι. οὐ οἶδα γὰρ ὅτι οὐ μόνον ἐν τῇ θεσ-
πιάδων οἰκίᾳ. ἐν ᾗ μέλλω σοι τὸ τῶν ἀφροδισίων εὐτρεπίζειν δεῖ-
πνον, ἔσται διαβόητος ἡ παρασκευή, ἀλλὰ καὶ ἐν ὅλῃ τῇ ἀθηναίων
πόλει νὴ τὴν ἄρτεμιν καὶ ἐν τῇ ἑλλάδι. μάλιστα οἱ μισογύλακες
δαιμόνιοι, ἵνα δηλῶσιν ἄνδρες εἶναι οἱ ἐν ἐφέσῳ ἀλώπεκες, οὐ παύ-
σονται τοῖς ταϋγέτοις ὄρεσι καὶ ταῖς ἐρημίαις ἑαυτῶν, διαβάλλον-
τες ἡμῶν τὰ δεῖπνα. καταλυκουργίζοντες τῆς σῆς ἀνθρωπο-
θείας. ἀλλ' αὐτοὶ μὲν χαιρόντων δέσποτα. σὺ δὲ ἐμοὶ μέμνησο φυλά-
ξαι τὴν ἡμέραν τοῦ δείπνου καὶ τὴν ὥραν ἣν ἂν ἔλῃ. ἀρίστη γὰρ
ἣν κουλῇ.

Ἔρρωσο.

## Λεόντιον Λαμίᾳ.

Υ δὲν δυσαρεστότερον ὡς ἔοικεν ἐστὶ πάλιν μειρακευομένου πρεσβύτου. οἷά με ἐπίκουρος οὗτος διοικεῖ πάντα λοιδορῶν. πάντα ὑποπτεύων. ἐπιστολὰς ἀδιαλύτους μοι γράφων. ἐκδιώκων ἐκ τοῦ κήπου. μὰ τὴν ἀφροδίτην εἰ ἄδωνις ἦν ἤδη ἐγγὺς ὀγδοήκοντα γεγονὼς ἔτη, οὐκ ἂν αὐτοῦ ἠνεσχόμην φθειριῶντος καὶ φιλονοσοῦντος καὶ κατὰ πεπιλημένου εὖ μάλα πόκοις ἀντὶ πίλων. μέχρι τίνος ὑπομενεῖ τις τὸν φιλόσοφον τοῦτον. ἐχέτω τὰς περὶ φύσεως αὐτοῦ κυρίας δόξας. καὶ τοὺς διεστραμμένους κανόνας. ἐμὲ δὲ ἐφέτω τὴν μουσικῶς κυρίαν ἐμαυτῆς ἀστομάχητον καὶ ἀνύβριστον. ὄντως ἐπιπολιορκεῖ τὴν ἔχω τοιοῦτον, οὐχ οἷον σὺ λάμια δημήτριον. μὴ γὰρ ἐστὶ σωφρονίσαι διὰ τὸν ἄνθρωπον τοῦτον. καὶ σωκρατίζειν καὶ στωμύλλεσθαι θέλει καὶ εἰρωνεύεσθαι. καὶ ἀλκιβιάδην τινὰ ἢ πυθοκλέα νομίζει καὶ ξανθίππην ἐμὲ οἴεται ποιήσειν. καὶ πέρας, ἀναστᾶσα ὅποι ποτὲ γῆς πρὸ γῆς φεύξομαι μᾶλλον, ἢ τὰς ἐπιστολὰς αὐτοῦ τὰς διαπύστους ἀνέξομαι. ὁ δὲ πάντων δεινότατον ἤδη καὶ ἀφορητότατον ἐτόλμησεν, ὑπὲρ οὗ καὶ γνώμην βουλομένη λαβεῖν, τί μοι ποιητέον, ἐπέσταλκά σοι. Τίμαρχον τὸν καλὸν οἶσθα τὸν κηφισιᾶθεν. οὐκ ἀρνοῦμαι πρὸς τὸν νεανίσκον οὐκ οἰκείως ἔχειν ἐκ πολλοῦ. πρὸς σὲ μοι τἀληθῆ λέγειν εἰκὸς λάμια. καὶ τὴν πρώτην ἀφροδίτην ἔμαθον παρ' αὐτῷ σχεδόν. οὗτος γάρ με διεπαρθένευσεν ἐκ γειτόνων οἰκήσας. ἐξ ἐκείνου τοῦ χρόνου πάντα μοι τἀγαθὰ πέμπων οὐ διαλέλοιπεν. ἐσθῆτα. χρυσία. θεραπαίνας. θεράποντας ἰνδούς. ἰνδάς. τὰ ἄλλα σιωπῶ. ἀλ

λὰ τὰ μικρότατα προσλαμβάνειν τὰς ὥρας ἵνα μηδεὶς φθάσῃ με
ἐνθυμούμενος. τοιοῦτον νῦν ἐραστὴν ἀποκλεῖσαν φησὶ καὶ μὴ προσί-
εσθαι, ποίοις δοκεῖς, αὐτὸν ἀποκαλῶν ὀνόμασιν, οὔτε ὡς ἀττικὸς
οὔτε ὡς φιλόσοφος ἐκ καππαδοκίας πρῶτος τὴν ἑλλάδα ἥκων.
ἐγὼ δὲ εἰ καὶ ὅλη γένοιτο ἡ ἀθηναίων πόλις ἐπικούρων, μὰ τὴν
ἄρτεμιν οὐ ζυγοστατήσω πάντας αὐτοὺς πρὸς τὸν τιμάρχου βρα-
χίονα. μᾶλλον δ᾽ οὐδὲ πρὸς τὸν δάκτυλον. τί σοι λέγω λάμια; ἆρ᾽ ἀληθῆ
ταῦτα οὐδαμῶς φημί; καὶ μὴ δὴ δέομαί σου πρὸς τῆς ἀφροδίτης μή σοι
ταῦτα ὑπελθέτω. ἀγαθὸς φιλόσοφος, ἀγαθὸς ἐπιφανής. ἀγαθὸς πολλοῖς φί-
λοις κεχρημένος; λαβέτω τὰ ἔχω. διδασκέτω δ᾽ ἄλλους. ἐμὲ δ᾽ οὐδὲν θάλ-
πει τι δόξα. ἀλλ᾽ ὃν θέλω δὸς τίμαρχον δάματερ. ἀλλὰ καὶ δι᾽ ἐμὲ
πάντα ἠνάγκασται ὁ νεανίσκος καταλιπὼν τὸ λύκειον καὶ τὴν
ἑαυτοῦ νεότητα καὶ τοὺς συνεφήβους καὶ τὴν ἑταιρείαν, μετ᾽ αὐ-
τοῦ ζῆν καὶ κολακεύειν αὐτὸν καὶ καθυμνεῖν τὰς ὑπηνέμους αὐ-
τοῦ δόξας. ὁ ἀτρεὺς οὗτος ἐξελθέ φησιν ἐκ τῆς ἐμῆς μοναρχίας
καὶ μὴ πρόσιθι λεοντίῳ ὡς οὐ δικαιότερον ἐκείνου ἐρῶντος, σὺ
μὲν οὖν μὴ πρόσιθι τῇ ἐμῇ. ὁ μὲν, νεανίσκος ὤν, ἀνέχεται τὸν
ἕτερον ἀντεραστὴν γέροντα. ὁ δὲ, τὸν δικαιότερον οὐχ ὑπομένει. τί
ποιήσω πρὸς τῶν θεῶν ἱκετεύω σε λάμια. νὴ τὰ μυστήρια. νὴ τοῦ-
των τῶν κακῶν ἀπαλλαγὴν ὡς ἐνθυμηθεῖσα τοῦ τιμάρχου τὸν χω-
ρισμὸν, ἄρτι ἀπέψυγμαι καὶ ἱδρῶ. καὶ τὰ ἄκρα καὶ ἡ καρδία μου
ἀνέστραπται. δέομαί σου δέξαι με πρὸς σεαυτὴν ἡμέρας ὀλίγας.
καὶ ποιήσω τοῦτον αἰσθάνεσθαι πηλίκων ἀπήλαυεν ἀγαθῶν, ἔχων
ἐν τῇ οἰκίᾳ με. οὐκ ἐπιφέρει τὸν κόρον οὐδ᾽ οἶδα. πρεσβύτας δύ-

θὺς

θὺς πρὸς ἡμᾶς διαπέμψεται μητρόδωρον ἑρμαχίνα πολύαινον. πολλάκις οἶδ' ἐμὲ λάμια πρὸς αὐτὴν ἰδίᾳ παραγγελλομένην εἰπεῖν· τί ποιεῖς ἐπίκουρε. οὐκ οἶσθα ὅτι διακωμῳδεῖς τιμοκράτης ὁ μητροδώρου ἐπὶ γοῦν τοῖς ἐν ταῖς ἐκκλησίαις ἐν τοῖς θεάτροις παρὰ τοῖς ἄλλοις σοφισταῖς; ἀλλὰ τί ἔστιν αὐτῷ ποιῆσαι; ἀναίσχυντός ἐστι τὸ ἐρᾶν· καὶ ἐγὼ ἔσομαι τοίνυν ὁμοίως αὐτῷ ἀναίσχυντος, καὶ οὐκ ἀφήσω τὸν ἐμὸν τίμαρχον.

Ἔρρωσο.

Μένανδρος Γλυκέρᾳ.

Γὰ μὰ τὰς ἐλευσινίας θεὰς, μὰ τὰ μυστήρια αὐτῶν ἅ
ἐ σοι καὶ ἐναντίον ἐκείνων ὤμοσα πολλάκις γλυκέρα μόνος μόνῃ, ὡς οὐδὲν ἐπαίρω τὰ ἐμά. οὐ δὲ βουλόμενος σοι χωρίζεσθαι, ταῦτα καὶ λέγω καὶ γράφω. τί γὰρ ἐμοὶ χωρὶς σου γένοιτ' ἂν ἥδιον. τί δ' ἐπαρθῆναι μεῖζον τῆς σῆς φιλίας δυναίμην. εἰ καὶ τὸ ἔσχατον ἡμῶν γῆρας διὰ τοὺς σοὺς τρόπους καὶ ἤθη, νεότης ἀεὶ φανεῖταί μοι. καὶ συννεάσαιμεν ἀλλήλοις καὶ συγγηράσαιμεν καὶ νὴ τοὺς θεοὺς συναποθάνοιμεν. ἵνα μηδετέρῳ ἡμῶν ἐν ᾅδου συγκαταβαίη τις ζῆλος. ἢ τινῶν ἄλλων ὅσων τις πειράσεται ἀγαθῶν. μὴ δὲ γένοιτό μοι πειραθῆναι σοῦ μηκέτ' οὔσης. τί γὰρ ἂν ἔτι καταλείποιτο ἀγαθόν. ἃ δὲ νῦν ἤπειξέ με ἐν πειραιεῖ μαλακιζόμενον, οἶσθα γάρ μου τὰς συνήθεις ἀσθενείας ἃς οἱ μὴ φιλοῦντες μεγαλοφυΐας καὶ σαλακωνίας καλεῖν εἰώθασιν, ἐπιστεῖλαί σοι ἐν ἄστει μενούσῃ διὰ τὰ ἀλῶα τῆς θεοῦ, ταῦτ' ἐστίν. ἐδεξάμην ἀπὸ πτολεμαίου τοῦ βασιλέως αἰγύπτου γράμματα. ἐν οἷς δὲ πάσας δεήσεις, καὶ προτρέπεται βασιλικῶς ὑπισχνούμενος τὸ δὴ λεγό

μένον τοῦτο τὰ τῆς σῆς ἀγαθὰ ἐμὲ καὶ φιλήμονα. καὶ γὰρ ἐκείνῳ
γράμματα κεκομίσθαι φασί. καὶ αὐτὸς δὲ ὁ φιλήμων ἐπέστει-
λέ μοι τὰ ἴδια δηλῶν ἐλαφρότερα καὶ ὡς οὐ μενάνδρῳ γεγραμ-
μένα ἧττον λαμπρά. ἀλλ' ὄψεται καὶ βουλεύσεται τὰ ἴδια οὐχ ὡς
ἐγὼ δὲ οὐ περιμενῶ βουλάς, ἀλλὰ σύ μοι γλυκέρα καὶ γνώμη καὶ ἀ-
ρεοπαγῖτις βουλὴ καὶ ἡλιαία, ἅπαντα ταῦτα, νὴ τὴν ἀθηνᾶν ἀεὶ γέγο-
νας, καὶ νῦν ἔσῃ. τὰς μὲν οὖν ἐπιστολὰς τοῦ βασιλέως σοι διεπεμ-
ψάμην. ἵνα μὴ κόπτω σε δὶς καὶ τοῖς ἐμοῖς καὶ τοῖς ἐκείνου γράμ-
μασιν ἐντυγχάνουσαν. ἃ δὲ ἐπιστέλλειν αὐτῷ ἔγνων, καὶ βούλο-
μαί σε εἰδέναι. πλεῖν μὲν, καὶ εἰς αἴγυπτον ἀπιέναι μακρὰν οὕτω
καὶ ἀπῳκισμένην βασιλείαν οὖσαν, μὰ τοὺς δώδεκα θεοὺς οὐδὲ
ἐνθυμοῦμαι. ἀλλ' εἰ καὶ ἐν αἰγίνῃ ταύτῃ τῇ πλησίον ἦν, οὐδ' οὕ-
τως ἐμοὶ ἂν ἔχον ἀφεὶς τὴν ἐμὴν βασιλείαν τῆς σῆς φι-
λίας, μόνος ἐν τοσούτῳ ὄχλῳ αἰγυπτίων χωρὶς γλυκέρας ἐρημίαν
πολυάνθρωπον ὁρᾶν. ἥδιον γὰρ καὶ ἀκινδυνότερον τὰς σὰς θεραπεύω μᾶλ-
λον ἀγκάλας, ἢ τὰς ἁπάντων τῶν σατραπῶν καὶ βασιλέων. ἐν οἷς
κίνδυνος μὲν τὸ ἀνελεύθερον, εὐκαταφρόνητον δὲ τὸ κολακεῦον,
ἄπιστον δὲ τὸ εὐτυχούμενον. ἐγὼ δὲ καὶ τὰς θηρικλείους καὶ τὰ
καρχήσια καὶ τὰς χρυσίδας καὶ πάντα τὰ ἐν ταῖς αὐλαῖς ἐπίφθονα
ἀγαθὰ τούτοις ἀγαθὰ φύομαι, τῶν κατ' ἔτος χοῶν καὶ τῶν ἐν τοῖς θεάτροις
ληναίων καὶ τῆς χθιζῆς ὁμολογίας καὶ τῶν τοῦ λυκείου γυμνασίων, καὶ
τῆς ἱερᾶς ἀκαδημίας, οὐ μὰ τὸν διόνυσον καὶ τοὺς
βακχικοὺς αὐτοῦ κισσοὺς, οἷς στεφανωθῆναι μᾶλλον ἢ τοῖς πτολε-
μαίου βούλομαι διαδήμασιν, ὁρώσης καὶ καθημένης ἐν τῷ θεάτρῳ

γλυκέρας

γλυκέρας. ποῦ γὰρ ἐν αἰγύπτῳ ὄψομαι ἐκκλησίαν καὶ ψῆφον ἀναδιδομένην. ποῦ δὲ δημοκρατικὸν ὄχλον οὕτως ἐλευθεριάζοντα. ποῦ δὲ θεσμοθέτας ἐν ταῖς ἱεραῖς κώμαις κεκισσωμένους. ποῖον περισχοίνισμα. ποίαν αἵρεσιν. ποίους χύτρους. κεραμικόν. ἀγοράν. δικαστήρια. τὴν καλὴν ἀκρόπολιν. τὰς σεμνὰς θεάς. τὰ μυστήρια. τὴν γειτνιῶσαν σαλαμῖνα. τὴν ψυτάλειαν. τὴν μαραθῶνα ὅλην. ἐν ταῖς ἀθήναις τὴν ἑλλάδα ὅλην. τὴν ἰωνίαν. τὰς κυκλάδας πάσας. ἀφεὶς ταῦτα καὶ γλυκέραν μετὰ τούτων εἰς αἴγυπτον διέλθω; χρυσὸν λαβεῖν καὶ ἄργυρον καὶ πλοῦτον; ᾧ μετὰ τίνος χρήσομαι μετὰ γλυκέρας τοσοῦτον διαπεθαλασσευμένης. οὐ πενία δέ μοι ἔσται χωρὶς αὐτῆς τοῦτο; ἐὰν δὲ ἀκούσω τὰς σεμνὰς ἔρωτας εἰς ἄλλον αὐτὴν μετατεθεικέναι, οὐ σποδός μοι πάντες οἱ θησαυροὶ γενήσονται καὶ ἀποθνήσκων τὰς μὲν λύπας ἐμαυτῷ συναποίσω, τὰ δὲ χρήματα τοῖς ἰσχύουσιν ἀδικεῖν ἐν μέσῳ κείσεται; ἢ μέγα τὸ συμβιοῦν πτολεμαίῳ καὶ σατράπαις καὶ τοιούτοις ψόφοις. ὧν οὔτε τὸ φιλικὸν βέβαιον, οὔτε τὸ διεχθρεῦον ἀκίνδυνον. ἐὰν δὲ ὀργισθῇ τί μοι γλυκέρα, ἅπαξ αὐτὴν ἁρπάξας κατεφίλησα. ἂν ἔτι ὀργίζηται, μᾶλλον αὐτὴν ἐβιασάμην. κἂν βαρυθύμως ἔχῃ, δεδάκρυκα. πρὸς ταῦτ' οὐκ ἔθ' ὑπομείνασα τὰς ἐμὰς λύπας δεῖται λοιπὸν οὔτε στρατιώτας ἔχουσα οὔτε δορυφόρους οὔτε φύλακας. ἐγὼ γὰρ αὐτῆς εἰμι πάντα. ἢ μέγα καὶ θαυμαστὸν ἰδεῖν τὸν καλὸν νεῖλον. οὐ μέγα δὲ καὶ τὸν εὐφράτην ἰδεῖν; οὐ μέγα καὶ τὸν ἴστρον οὕτω μεγάλου. καὶ ὁ θερμώδων. ὅ τίγρις. ὁ ἅλυς. ὁ ῥῆνος. εἰ μέλλω πάντας τοὺς ποταμοὺς ὁρᾶν, καταβαπτισθήσεταί μοι τὸ ζῆν, μὴ βλέποντι γλυκέραν. ὁ δὲ νεῖλος οὗτος καίπερ ὢν καλός, ἀλλὰ ποτε θηρείωται. καὶ οὐκ ἔστιν οὔτε προσελ

θεῖν αὐτοῦ τοῖς δεινοῖς ἐνοχλουμένου τοσούτοις κακοῖς· ἐμοὶ γένοι-
το βασιλέως πτολεμαίου τὸν ἀττικὸν ἀεὶ στέφεσθαι κισσόν. ἐμοὶ γέ-
νοιτο χῶμα γῆς καὶ τάφου πατρῴου τυχεῖν, καὶ τὸν ἐπ' ἐσχάρας ὑ-
μνῆσαι κατ' ἔτος διόνυσον· τὰς μυστηριώτιδας ἄγειν τελετάς· δρα-
ματουργεῖν τι καινὸν ταῖς ἐτησίοις θυμέλαις δρᾶμα γελῶντα
καὶ χαίροντα καὶ ἀγωνιῶντα καὶ φοβούμενον καὶ νικῶντα· Φιλή-
μων δὲ οὕτω χαιρέτω καὶ τὰ ἐμὰ ἀγαθὰ γενόμενος ἐν αἰγύπτῳ· οὐκ
ἔχει φιλήμων γλυκέραν τινά· οὐδ' ἄξιος ἦν ἴσως τοῦ τοιούτου
ἀγαθοῦ. σὺ δὲ ἐκ τῶν ἀλώων δέομαι γλυκέριον εὐθὺς πετομένη
πρὸς ἡμᾶς ἐπὶ τῆς ἀστράβης φέρου. μακροτέραν ἑορτὴν οὐδέπο-
τε ἔγνων· οὐδ' ἀκαιροτέραν· δήμητερ ἵλεως γενοῦ.

Γλυκέρα Μενάνδρῳ.

Σ δὲ ἐπέμψω μοι τοῦ βασιλέως τὰς ἐπιστολάς, εὐθὺς
ω ἀνέγνων. μὰ τὴν καλλιγένειαν ἐν ᾗ νῦν εἰμι κατέχαι-
ρον μένανδρε ἐκπαθὴς ὑπὸ ἡδονῆς γινομένη· καὶ τὰς
παρούσας οὐκ ἐλάνθανον. ἦν δὲ ἥ τε μήτηρ μου καὶ ἡ ἑτέρα ἀδελ-
φὴ εὐφρόνιον, καὶ τῶν φίλων ἣν οἶσθα καὶ παρὰ σοὶ ἐδείπνησε
πολλάκις καὶ ἐπήνεσ αὐτῆς τὸν ἐπιχώριον ἀττικισμόν· ἀλ-
λ' ὡς φοβούμενος αὐτὴν ἐπαινεῖν, ὅτε καὶ μειδιάσασα θερμό-
τερόν σε κατεφίλησα. οὐ μέμνησαι Μένανδρε; θεασάμεναι δέ με
παρὰ τὸ εἰωθὸς ἔν τε τῷ προσώπῳ καὶ τοῖς ὀφθαλμοῖς χαίρουσαν, ὦ γλυ-
κέριον ἤροντο. τί σοι τηλικοῦτον γέγονεν ἀγαθόν. ὅτι καὶ τῇ ψυχῇ καὶ
σώματι καὶ πᾶσιν ἀλλοιοτέρα νῦν ἡμῖν πέφηνας· καὶ τὸ σῶμα γε-
γάνωσαι καὶ διαλάμπεις ἐπίχαρτόν τι καὶ εὐκταῖον. κἀγὼ μέ-
νανδρον

νανδρον ἔφην τὸν ἐμὸν ὁ αἰγύπτου βασιλεὺς πτολεμαῖος ἐπὶ τῷ
ἡμίσει τῆς βασιλείας τρόπον τινὰ μεταπέμπεται, μείζονι τῇ
φωνῇ φθεγξαμένη καὶ σφοδρότερον, ὅπως πᾶσαι ἀκούσωσιν αἱ
παροῦσαι. καὶ ταῦτα ἔλεγον ἐγὼ διατινάσσουσα καὶ σοβοῦσα ταῖς
χερσὶν ἐμαυτῆς τὴν ἐπιστολὴν σὺν τῇ βασιλικῇ σφραγῖδι. χαίροις
οὖν ἀπολειπομένη ἔφρασας τὸ ἦ, οὐκ ἦν μένανδρε. ἀλλὰ τοῦτο μὲν
οὐδενὶ τρόπῳ μὰ τὰς θεὰς οὐδ' ἐν βουσί μοι τὸ λεγόμενον φθέγξαι-
το, πεισθείην ἄν, ὅτι βουλήσεταί με ποτὲ ἢ δυνήσεται μένανδρος ἀ-
πολιπὼν ἐν ἀθήναις γλυκέραν τὴν ἑαυτοῦ, μόνος ἐν αἰγύπτῳ βα-
σιλεύειν μετὰ πάντων τῶν ἀγαθῶν. ἀλλὰ καὶ τοῦτό γε δῆλος ἐκ τῶν
ἐπιστολῶν ὧν ἀνέγνων, δῆλος ἦν ὁ βασιλεὺς τἀμὰ πεπυσμένος
ὡς ἔοικε περὶ σοῦ καὶ ἀτρέμα διυπονοῶν αἰγυπτίοις θέλων ἀττι-
κισμοῖς σε διατωθάζειν. χαίρω διὰ τοῦτο. ὅτι πεπλεύκασι καὶ εἰς
αἴγυπτον πρὸς αὐτὸν οἱ ἡμέτεροι ἔρωτες, καὶ πείθεται πάντως ἐξ
ὧν ἤκουσεν ἀδύνατα σπουδάζειν, ἐπιθυμῶν ἀθήνας πρὸς αὐτὸν δι-
αβῆναι. τί γὰρ ἀθῆναι χωρὶς μενάνδρου. τί δὲ μένανδρος χωρὶς
γλυκέρας ἥτις αὐτῷ καὶ τὰ προσωπεῖα διασκευάζω καὶ τὰς
ἐσθῆτας ἐνδύω καὶ τοῖς προσκηνίοις ἕστηκα, τοὺς δακτύλους ἐ-
μαυτῆς πιέζουσα ἕως ἂν κροταλίσῃ τὸ θέατρον. καὶ τρέμουσα
τότε νὴ τὴν ἄρτεμιν ἀναψύχω καὶ περιβάλλουσά σε τὴν ἱερὰν
τῶν δραμάτων ἐκείνην κεφαλὴν ἐναγκαλίζομαι. ἀλλ' ὅτι
ταῖς φίλαις τότε χαίρειν ἔφην, τοῦτ' ἦν μένανδρε ὅτι οὐκ ἄρα γλυ-
κέρα μόνον, ἀλλὰ καὶ βασιλεῖς ὑπὲρ θάλασσαν ἐρῶσί σου. καὶ δια-
πόντιοι φῆμαι τὰς σὰς ἀρετὰς κατηγγέλκασι καὶ αἰγύπτιος καὶ νεῖλος καὶ

(πρώτεως

καὶ ἀκρωτήρια καὶ φαληρικὴ σκοπιὰ πάντα μετέωρα νῦν ἐστι, βου-
λόμενα ἰδεῖν μένανδρον καὶ ἀκοῦσαι φιλαργύρων καὶ ἐρώντων καὶ
δεισιδαιμόνων καὶ ἀπίστων καὶ πατέρων καὶ υἱῶν καὶ θεραπόντων, καὶ
παντὸς ἐνσκηνοβατουμένου ὧν ἀκούσονται μὲν, οὐκ ὄψονται δὲ μέ-
νανδρον εἰ μὴ ἐν ἄστει παρὰ γλυκέρᾳ γένοιντο. καὶ τὴν ἐμὴν εὐδαι-
μονίαν ἴδοιεν τὸν πάντη διὰ τὸ κλέος αὐτοῦ μένανδρον καὶ γλυ-
κέριον καὶ μεθημέραν ἐμοὶ περικείμενον. οὐ μὴν ἀλλ' εἴγ' ἄρα πό-
θος αὐτὸν ἔστι τις τῶν ἐκεῖ ἀγαθῶν, καὶ εἰ μηδενὸς ἄλλου τῆς αἰ-
γύπτου, χρήματος μεγάλου καὶ τῶν αὐτόθι πυραμίδων καὶ τῶν
περιηχούντων ἀγαλμάτων καὶ τοῦ περιβοήτου λαβυρίνθου
καὶ τῶν ἄλλων ὅσα ἀπὸ χρόνου ἢ τέχνης παρ' αὐτοῖς τίμια, δεόμαί σου
μένανδρε μὴ ποιήσῃ με πρόφασιν. μηδέ με ἀθηναῖοι διὰ ταῦτα μι-
σησάτωσαν ἤδη τοὺς μεδίμνους ἀριθμοῦντες οὓς ὁ βασιλεὺς αὐ-
τοῖς πέμψει διὰ σέ. ἀλλ' ἄπιθι πᾶσι θεοῖς. ἀγαθῇ τύχῃ δεξιοῖς πνεύ-
μασι διῒ οὐρίῳ. ἐγὼ γάρ σε οὐκ ἀπολείψω. μὴ τοῦτο δόξῃς μηδὲ λέ-
γειν, οὐδ' αὐτὴ δύναμαι καὶ θέλω. ἀλλὰ παρεῖσα τὴν μητέρα καὶ
τὰς ἀδελφὰς αὐτῆς ἔσομαι συμπλέουσά σοι καὶ σφόδρα τῶν ἀθα-
λαττῶν γεγένημαι εὖ οἶδα. καὶ ἐκκλωμένης ἰώσης ναυτίας ἐγὼ
θεραπεύσω. θάλψω σου τὸ ἀσθενοῦν τῶν πελαγισμῶν. ἄξω δέ σε ἄ-
τερ μύθων ἀριάδνης εἰς αἴγυπτον οὐ διόνυσον ἀλλὰ διονύσου θερά-
ποντα καὶ προφήτην. οὐδὲ ἐν νάξῳ καὶ ἐρημίαις ναυτικαῖς ἀπολει-
φθήσομαι τὰς σὰς ἀπιστίας κλαίουσα καὶ ποτνιωμένη. χαιρέτω-
σαν οἱ θησεῖς ἐκεῖνοι καὶ τὰ ἀμαθῆ τῶν πρεσβυτέρων ἀμπλακή-
ματα. ἡμῖν δὲ βέβαια πάντα καὶ τὸ ἄστυ. καὶ ὁ πειραιεύς. καὶ ἡ αἴ-
γυπτος. οὐδὲν χωρίον ἡμῶν τοὺς ἔρωτας οὐχὶ δέξεται πλήρεις. κἂν
πέτραν οἰκῶμεν, εὖ οἶδα ἀφροδίσιον αὐτὴν τὸ εὔνουν ποιήσει. πέ-

πεισομαι

πείσομαι μήτε χρημάτων σε μήτε περιουσίας μήτε πλούτου τοῦ
βασιλικοῦ ἐπιθυμεῖν, ἐν ἐμοὶ καὶ τοῖς δράμασι τὴν εὐδαιμονίαν
κατατιθέμενον. ἀλλ' οἱ συγγενεῖς, ἀλλ' ἡ πατρίς, ἀλλ' οἱ φίλοι,
χρεῶν οἶδα, πάντη πάντες πολλῶν δέονται. πλουτεῖν ἐθέλουσι
καὶ χρηματίζεσθαι. σὺ μὲν οὐδέποτε περὶ οὐδενὸς αἰτιάσῃ με οὔτε
μικροῦ οὔτε μεγάλου, τοῦτο εὖ οἶδα, πάλαι μὲν ἠσκημένος ἐμοῦ
πόθῳ καὶ ἔρωτι. νῦν δὲ ἤδη κρίσιν προστεθεικὼς αὐτοῖς. ἧς μᾶλ-
λον περιέχομαι, μένανδρε, φοβουμένη τῆς ἐμπαθοῦς φιλίας τὸ
ὀλιγοχρόνιον. ἔστι γὰρ ὡς βίαιος ἡ ἐμπαθὴς φιλία, οὕτω καὶ εὐ-
διάλυτος. οἷς δὲ παραβέβληται ἡ βουλή, ἀρραγέστερον ἐν του-
τοῖς ἤδη τὸ ἔργον, οὔτε ἀμιγὲς ἡδονῆς τε καὶ διὰ τὸ πλῆθος, οὔτε
περιδεές. λύσεις δὲ τὴν γνώμην ὥς με πολλάκις περὶ τούτων αὐ-
τὸς νουθετῶν διέλυσας. ἀλλ' εἰ καὶ σὺ μήτε τί μέμψῃ μηδὲ αἰτιά-
σῃ, δέδοικα τοὺς ἀττικοὺς σφῆκας, οἵτινες ἄρξονται πάντη με
περιβομβεῖν ἀξιοῦσαν ὡς αὐτὸν ἀφῃρημένης τῆς ἀθηναίων πόλεως
τὸν πλοῦτον. ὥστε δέομαί σου μένανδρε ἐπίσχες, μηδέπω τῷ βα-
σιλεῖ μηδὲν ἀντεπιστείλῃς. ἔτι βούλευσαι. περιμείνωμεν ἕως κοινῇ γε-
νώμεθα καὶ μετὰ τῶν φίλων καὶ Θεοφράστου καὶ Ἐπικούρου. τά-
χα γὰρ ἀλλοιότερα κἀκείνοις καὶ σοὶ φανεῖται ταῦτα. μᾶλλον
δὲ καὶ θυσώμεθα καὶ ἴδωμεν τί λέγει τὰ ἱερά, εἴτε λῷον εἰς αἴγυ-
πτον ἡμᾶς ἀπιέναι εἴτε μένειν. καὶ χρηστηριασθῶμεν εἰς δελφοὺς
πέμψαντες. πάτριος ἡμῶν ἐστιν ὁ θεός. ἀπολογίαν ἕξομεν καὶ πορευό-
μενοι καὶ μένοντες πρὸς ἀμφότερα τοὺς θεούς. μᾶλλον δ' ἐγὼ τοῦ-
το ποιήσω. καὶ γὰρ ἔχω τινὰ νεωστὶ γυναῖκα ἀπὸ Φρυγίας ἥκου-
σαν εὖ μάλα τούτων ἔμπειρον. γαστρομαντεύεσθαι δεινὴν τῇ τῶν
σπαρτῶν διατάσει νύκτωρ καὶ τῇ τῶν θεῶν δείξει, ἣ οὐ δεῖ λεγού-

ἀπιστεύειν, ἀλλ' οὐδὲν ὧν ἔφασαν. διὰ τί μέμφομαι πρὸς αὐτήν. καὶ ὡς ἔφη καὶ καθαρσίων τινῶν δεῖ προτελέσαι τὴν γυναῖκα καὶ παρασκευάσαι τινὰ ζῷα ἱερεῦσαι. καὶ λιβανωτὸν ἄρρενα καὶ στύρακα μακρὸν καὶ πέμματα σελήνης, καὶ ἄγρια φύλλα τῶν ἀνθρώπων. οἶμαι δὲ καὶ σὲ φθήσεται Πειραιόθεν ἐλθεῖν. ἢ δήλωσόν μοι σαφῶς μέχρι τίνος οὐ δύνασαι Γλυκέραν ἰδεῖν. ἵν' ἐγὼ μὲν καταδράμω πρὸς σέ. τὴν δὲ Φρυγίαν ταύτην ἑτοιμάσωμεν ἤδη καὶ ἃ μελετᾶν Πειραιοῖ ζῇς ἀπὸ σαυτοῦ μὰ τὸν Πειραιᾶ καὶ τὸ ἀγρίδιον καὶ τὴν Μουνυχίαν, καὶ κατ' ὀλίγον ὅπως ἐκπέσωσι τῆς ψυχῆς. οὐ δύναμαι πάντα ποιεῖν μὰ τοὺς θεούς. σὺ δ' οὐ δύνασαι διαπεπολεμημένος ὅλως ἤδη μοι. κἂν οἱ βασιλεῖς ἐπιστείλωσι πάντες, ἐγὼ πάντων εἰμὶ παρὰ σοὶ βασιλικωτέρα καὶ εὐσεβεῖ σοι κέχρημαι ἐραστῇ καὶ ὅρκων ἱερομνήμονι. ὥστε πειρῶ μᾶλλον ἐμὴ φιλότης θᾶττον εἰς ἄστυ παραγενέσθαι ὅπως ἔχῃ μεταβουλεύσασθαι τῆς πρὸς βασιλέα ἀφίξεως, ἔχε εὐτρεπισμένα τὰ δράματα ἐξ αὐτῶν ἃ μάλιστα ὀνῆσαι δύναται Πτολεμαῖον καὶ τὸν αὐτοῦ Διόνυσον, οὐ δημοκρατικὸν ὡς οἶσθα. εἴτε Θαΐδας εἴτε Μισούμενον εἴτε Θρασυλέοντα εἴτε Ἐπιτρέποντας, εἴτε Ῥαπιζομένην εἴτε Σικυώνιον.

ἀλλ' ὅτι καὶ ἐγὼ θρασεῖα καὶ τολμηρά τις εἰμὶ τὰ Μενάνδρου διακρίνειν ἰδιῶτις οὖσα. ἀλλὰ σοφὸν ἔχω σου τὸν ἔρωτα καὶ ταῦτ' εἰδέναι δύναμαι. σὺ γάρ με ἐδίδαξας εὐφυᾶ γυναῖκα ταχέως παρ' ἐρώντων μανθάνειν, ἀλλ' οἰκονομοῦσιν ἔρωτες σπεύδοντες. αἰδούμεθα τὴν Ἄρτεμιν ἀνάξιοι ὑμῶν εἶναι μὴ θᾶττον μανθάνουσαι. πάντως δέομαι Μένανδρε κἀκεῖνο παρασκευάσασθαι τὸ δρᾶμα, ἐν ᾧ με ἐγγέγραφας. ἵνα κἂν μὴ παραγίνωμαι σὺν σοί, δι' ἄλλου πλεύσω πρὸς Πτολεμαῖον

καὶ

καὶ μᾶλλον αἰσθήσεται ὁ βασιλεὺς ὅσον ἰσχύει καὶ παρὰ σοὶ γεγραμ-
μένους φέρειν ἑαυτοῦ τοὺς ἔρωτας, ἀφεὶς ἐν ἄστει τοὺς ἀληθινούς.
ἀλλ' οὐδὲ τούτους ἀφήσεις εὖ ἴσθι. κυβερνᾶν ἢ πρωρατεύειν ἕως δ' ἂν
ῥοπῇ ἀγάγῃ πρὸς ἡμᾶς πειρασθεὶς μνηθήσομαι. ἵνα σε ταῖς ἐμαῖς
χερσὶν ἀκύμονα ναυστολήσω πλέουσαν εἰ τοῦτο ἄμεινον εἶ-
ναι φαίνοιτο. φανείη δὲ ὦ θεοὶ πάντες ὃ κοινῇ λυσι-
τελὲς ἦ καὶ μαντεύσαιτο ἡ Φρυγία τὰ
συμφέροντα κρεῖσσον τῆς
Θεοφορήτου
σου κό-
ρης.

Ἔρρωσο.

# ΕΠΙΣΤΟΛΑΙ ΦΙΛΟΣΤΡΑΤΟΥ
## ΑΣΠΑΣΙΑι.

τ

Ον ἐπιστολικὸν χαρακτῆρα τοῦ λόγου μετὰ τοὺς παλαιοὺς, ἄριστά μοι διεσκέφθαι δοκοῦσι φιλοσόφων μὲν ὁ τυανεὺς καὶ δίων. στρατηγῶν δὲ βροῦτος ἢ ὅτῳ βροῦτος ἐς τὸ ἐπιστέλλειν ἐχρῆτο. βασιλέων δὲ ὁ θεσπέσιος μάρκος. ἐν οἷς αὐτὸς ἐπέστελλε. πρὸς γὰρ τῷ κεκριμένῳ τοῦ λόγου, καὶ τὸ ἑδραῖον τοῦ ἤθους ἐντετύπωται τοῖς γράμμασι. ῥητόρων δὲ ἄριστα μὲν ἡρώδης ὁ ἀθηναῖος ἐπέστελλεν. ὑπεραττικίζων δὲ καὶ ὑπερλαλῶν, ἐκπίπτει πολλαχοῦ τοῦ πρέποντος ἐπιστολῇ χαρακτῆρος. δεῖ γὰρ φαίνεσθαι τὴν τῶν ἐπιστολῶν ἰδέαν, ἀττικωτέραν μὲν συνηθείας. συνηθεστέραν δὲ ἀττικίσεως. καὶ συγκεῖσθαι μὲν πολιτικῶς, τοῦ δὲ ἁβροῦ μὴ ἀπᾴδειν. ἐχέτω καὶ τὸ ἀσχήμον ἐν τῷ μὴ ἐσχηματίσθαι. ἐν γὰρ σχηματισμῷ μὲν, φιλοτιμεῖσθαι δόξομεν. φιλοτιμία δὲ ἐν ἐπιστολῇ μειρακιῶδες. κύκλοι δὲ ἀποτορνεύειν, ἐν μὲν ταῖς βραχυτέραις τῶν ἐπιστολῶν, συγχωρεῖ. ἵνα τοῦτο γοῦν ἡ βραχυλογία ὡραΐζοιτο ἐς ἄλλην ἠχὼ πᾶσα στενοῦσα. τῶν δὲ ἐς μῆκος προηγμένων ἐπιστολῶν, ἐξαιρεῖν χρὴ κύκλους. ἀγωνιστικώτερον γὰρ ἢ κατ' ἐπιστολὴν τοῦτο. πλὴν εἰ μή που ἐπὶ τέλει τῶν ἐπεσταλμένων, ἢ ξυλλαβεῖν δέοι τὰ προειρημένα, ἢ ξυγκλεῖσαι τὸ ἐπὶ πᾶσι νόημα. σαφήνεια δὲ, ἀγαθὴ μὲν ἡγεμὼν ἅπαντος λόγου. μάλιστα δὲ ἐπιστολῆς. καὶ γὰρ διδόντες καὶ δεόμενοι, καὶ ξυγχωροῦντες καὶ μὴ, καὶ καθαπτόμενοι καὶ ἀπολογούμενοι καὶ ἐρῶντες, ῥᾷον πείσομεν ἢν σαφῶς ἑρμηνεύσωμεν. Σαφὲς δὲ

ἑρμηνεύσομεν καὶ ἔξω δυστελείας, ἵνα τῶν κοινοτέρων τὰ μὲν κοινὰ καινῶς, τὰ δὲ καινὰ κοινῶς φράζωμεν. Βερενίκῃ.

Πυρσαίνουσι μὲν αὗται τὰ χείλη καὶ τὴν παρειὰν γρά-
ξ φουσι, κώλυμα φιλημάτων. κατηγορεῖ δὲ καὶ γῆρας τοῦ προσώπου. ὕφους πελιδνοῦ μὲν τὸ σῶμα. ῥυσσὴ δὲ ἡ παρειὰ ἔξωρος. ἴσχε δὴ χρωματοποιΐαν καὶ μηδὲν ἐπιποίει τῷ κάλλει. μὴ καὶ γραψαμένη σε γῆρας ἐπὶ τῇ τοῦ προσώπου γραφῇ.

Ἀθηνοδώρῳ.

Ι ὀφθαλμοὶ ξύμβουλοι τοῦ ἐρᾶν. σὺ δὲ ἀκοὴν ἀπαίσιος, ἐρᾷς
ο ἰωνικοῦ μειρακίου ἐκ Κορίνθου. τουτὶ δὲ μανικὸν φαίνεται τοῖς οὔπω εἰδόσιν ὅτινους ὁρᾷ. Ἐπικτήτῳ.

Ι κρότῳ ἀνοήτῳ χαίρεις, ὦ τοῖς πελάταις ἐπειδὰν ἀποδ-
ξ όντες ἡμᾶς κροτῶσιν, ἡγοῦ δή μοι τὸ σιγᾶν σωφρονέστερον τοῦ ἀθηναίων, ὅσῳ μηδὲ αἰτοῦσι μηδὲν ὑπὲρ τοῦ κροτεῖν.

Ἀριστοβούλῳ.

Ὁ δὲ ἐρῶντι καρτερεῖν, σωφρονέστερον τοῦ μηδὲ ἐρασθῆ-
τ ναι. καὶ γὰρ δὴ καὶ τὰ πολεμικὰ ἀνδρεῖοι οὐχ οἱ μὴ τρωθέντες, ἀλλ᾽ οἱ νικῶντες ἐν τραύμασιν. Ἀθηναΐδι.

Ὁ μὲν μὴ ἐρῶντι χαρίζεσθαι, Λυσίου δόξα· τὸ δὲ ἐρῶντι δοκεῖ
τ Πλάτωνι. σὺ δὲ καὶ ἐρῶντι καὶ μὴ ἐρῶντι. τοῦτο δὲ σοφὸς μὲν οὐδεὶς, Λαῒς δὲ οἶμαι ἐπῄνει. Ἐπικτήτῳ.

φ Ὁ βοῦ δή μοι παρῶν πολλὰ δύνασαι. Χαρίτωνι,

Ἐμνήσεσθαι τῶν σῶν λόγων οἴει τοὺς Ἕλληνας ἐπειδὰν τελευ-
μ τήσῃς. οἱ δὲ μηδὲν ὄντες ὁπότε εἰσὶ, τίνες ἂν εἶεν ὁπότ᾽ οὐκ εἰσί. Νέστορι.

ξ Πεμψάσῃ σῦκα ἠρινά. θαυμάζοις δ᾽ ἂν αὐτῶν ἢ τὸ ἡδὺ ἢ τὸ ἔπι.

Διοδώρῳ.

τ Ἀσ' ἀπυρίνους ῥόας ἐρυθραὶ κατέχουσιν, οἰνοχοούσαις νάμα πότιμον, ὥσπερ τῶν βοτρύων οἱ δὺ πράττοντες. δέκα σοὶ τούτων ζυγήσας ἔπεμψα. χρῶ δὲ αὐτοῖς, σιτούμενος μὲν ὡς ὄψῳ, μεθύων δὲ ὡς σιτίῳ.

Φιλήμονι.

τ Οὐ ῥαψῳδὸν Διοκλέα, εἰ μὲν ἤδη γινώσκεις, ἐπαινεῖς δήπου. εἰ δὲ ἀγνοεῖς, ἐν τοῖς ἐπαινουμένοις γράφε. καὶ γίγνου περὶ αὐτὸν οἷον εἰκὸς ἢ τὸν πεπεισμένον ἢ τὸν μὴ ἀπιστοῦντα.

Μειρακίῳ.

κ Αἰ σὺ πονηρὸς οὕτως, ὡς μηδένα ἄλλον ἐλεεῖν. κἀγὼ δυστυχὴς οὕτως ὡς μηδὲ παρ' ἄλλου λαβεῖν. ἡ πάνυ χαίρω τῇ κακοπραγίᾳ βουλόμενος μὴ παύσασθαι διαμαρτάνων, ἵνα παύσῃ μὴ δὲ σὺ τῆς ἐπὶ τῶν μιαρῶν τῷ τρόπῳ κακοδοξίας. τὸ μὲν γὰρ ἐμόν, μιᾶς ἐρῶν ἀδυνῆς. τὸ δὲ σόν, κοινὸν εἰς διαβολὴν τῶν παρὰ πάντων αἰτίας.

Ἰουλίᾳ σεβαστῇ.

ο Υ δὲ ὁ θεσπέσιος πλάτων, τοῖς σοφισταῖς ἐβάσκαινε ἢ σφόδρα ἐνίοις δοκεῖ τοῦτο. ἀλλὰ φιλοτίμως μὲν πρὸς αὐτοὺς εἶχεν ἐπειδὴ διεφοίτων θέλγοντες μικράς τε καὶ μείζους πόλεις, τὸν ὀρφέως καὶ θαμύρου τρόπον. τοῦ δὲ βασκαίνειν ἀπεῖχε τοσοῦτον, ὅσον φιλοτιμία φθόνου. φθόνος μὲν γὰρ τρέφει τὰς μοχθηρὰς φύσεις. φιλοτιμία δὲ τὰς λαμπρὰς ἐγείρει. καὶ βασκαίνει μέν τις τὰ μὴ ἑαυτῷ ἐφικτά. ἃ ἢ ἄμεινον ἢ μὴ χεῖρον διαθήσεται, φιλοτιμεῖται πρὸς ταῦτα. ὁ γοῦν πλάτων καὶ εἰς τὰς ἰδέας τῶν σοφιστῶν ἵεται. ὃ οὔτε τῷ γοργίᾳ ἀπολείπει τὸ ἑαυτοῦ ἄμεινον ἁρμάζειν, πολλά τε κατὰ τὴν ἱππίου καὶ πρωταγόρου ἠχὼ φθέγγεται. ζηλωταὶ δὲ ἐγένοντο ἄλλοι μὲν ἄλλων. καὶ γὰρ δὴ καὶ ὁ τα

χύλλου φιλοτιμηθῆναι πρὸς τὸν τοῦ προδίκου ἡρακλέα. ὁ πότε ὁ πρόδικος τὴν κακίαν καὶ τὴν ἀρετὴν ἄγει παρὰ τὸν ἡρακλέα, καλοῦσας αὐτὸν ἐς βίου αἵρεσιν. γοργίου δὲ θαυμασταὶ ἦσαν ἄριστοί τε καὶ πλεῖστοι. πρῶτον μὲν οἱ κατὰ θετταλίαν ἕλληνες, παρ' οἷς τὸ ῥητορεύειν γοργιάζειν ἐπωνυμίαν ἔχει. ἔπειτα τὸ ξύμπαν ἑλληνικὸν, ἐν οἷς ὀλυμπιάσι διελέχθη κατὰ τῶν βαρβάρων ἀπὸ τῆς τοῦ νεὼ βαλβῖδος. λέγεται δὲ ἀσπασία, ἡ μιλησία τὴν τοῦ περικλέους γλῶτταν, κατὰ τὸν γοργίαν θῆξαι. κριτίας δὲ καὶ θουκυδίδης οὐκ ἀγνοοῦνται τὸ μεγαλόγνωμον καὶ τὴν ὀφρῦν παρ' αὐτοῦ κεκτημένοι. μεταποιοῦντες δ' αὐτὸ ἐς τὸ οἰκεῖον, ὁ μὲν ὑπ' εὐγλωττίας, ὁ δ' αὖ ὑπὸ ῥώμης. καὶ αἰσχίνης δ' ὁ ἀπὸ τοῦ σωκράτους ὑπὲρ οὗ πρώην ἐσπούδαζες ὡς οὐκ ἀσαφῶς τοὺς διαλόγους κολάζοντος, οὐκ ὤκνει γοργιάζειν ἐν τῷ περὶ τῆς θαργηλίας λόγῳ. φησὶ γάρ που ὧδε. θαργηλία ἐλθοῦσα ἐς θετταλίαν, ξυνῆν ἀντιόχῳ θετταλῷ βασιλεύοντι πάντων θετταλῶν. αἱ δὲ ἀποστάσεις ἐπιπροσβολαὶ τῶν λόγων γοργίου ἐπεχωρίαζον πολλαχοῦ μὲν, μάλιστα δ' ἐν τῷ τῶν ἐποποιῶν κύκλῳ. πεῖθε δὴ καὶ σὺ ὦ βασίλεια τὸν θαρσαλεώτερον τοῦ ἑλληνικοῦ πλούταρχον μὴ ἄχθεσθαι τοῖς σοφισταῖς. μηδ' ἐς διαβολὰς καθίστασθαι τοῦ γοργίου. εἰ δὲ οὐ πείθεις, σὺ μὲν οἷα τοῦ σοφία καὶ μῆτις, οἶσθα τί χρὴ ὄνομα θέσθαι τῷ τοιῷδε. ἐγὼ δ' ἔπειν ἔχων, οὐκ ἔχω.

## Μειρακίῳ.

ὁ Ἱ ἐρωτικοὶ τῶν ποιητῶν ἀγαθοὶ ἀκροάσεις πλὴν ἐξ ὥρας. ἄγουσι γὰρ αὐτοὺς ἐς ἔννοιαν τοῦ ἐρᾶν, ὥσπερ ἀναβεβηκότας. μὴ δὲ νόμιζε σεαυτὸν ὑπερήμερον τῆς τούτων ἀκροάσεως. ἡ γὰρ ξυνουσία τῶν τοιῶνδε ποιητῶν, ἢ οὐκ ἐμπλήσει σε ἀφροδισίων ἢ ἀναμνήσει.

## Ἐπικτήτῳ.

ε Ι πλούμενοι τῇ ῥέᾳ μαίνονται πληγέντες τὰ ὦτα ὑπὸ
τοῖς ὀργάνοις· ἀλλ' ἐκεῖνοι μὲν, κυμβάλων καὶ αὐλοῦ ἔργα.
σὺ δὲ οὕτως ἐκ πλείστου συμ ἀθυμίαιν ὑπὸ γοήτες, ὡς ἐκλανθάνε-
σθαι τίς εἶ καὶ τίνων γέγονας.

## Κλεοφῶντι καὶ Γαΐῳ.

ὐ Περὶ ὧν ἐπέστειλατε, τὰ μὲν ἤδη γέγονε· τὰ δὲ αὐτίκα ἔσται.
ἐγὼ γὰρ λήμνιος ὢν, τὰ πρὸ διὰ ἐμαυτοῦ καὶ τὴν ἴμβρον
νομίζω· συνοικοῦσι τῶν εὐνοίᾳ καὶ τὰς νήσους ἀλλήλαις· καὶ ἐμαυτὸν
ἀμφοτέραις.

## Αἱρετιανῷ.

τ Ο ποιητικὸν ἔθνος πολλοὶ καὶ πλείους ἢ οἱ τῶν μελιττῶν
ἑσμοί· βόσκουσι δὲ τοὺς μὲν, λειμῶνες· τοὺς δὲ, οἰκίαι τὸ πλέον· ἀνθεστιῶ-
σι· οἱ μὲν ὑμνείοις· οἱ δὲ ὀψοποιίας λαμπρᾶς· εἰσὶ δὲ τῶν ποιητῶν οἱ καὶ
τραγήμασιν ἑστιῶντες· τούτους δὲ ἡγούμεθα τοὺς τῶν ἐρωτικῶν ποιη-
τάς. ὧν εἷς καὶ Κέλσος οὗτος ᾠδὰς παραδεδωκὼς τὸν ἑαυτοῦ βί-
ον ὥσπερ οἱ χρηστοὶ τέττιγες. ὡς δ' ἂν μὴ δρόσῳ, ἀλλὰ σιτίοις τρα-
φείη, πεπίστευκά σοι μελήσειν.

## Ἀντωνίνῳ.

ὁ Ι πελαργοὶ τὰς πεπορθημένας πόλεις οὐκ ἐσπέτονται
κακῶν πεπονημένων ἠχὼ φθέγγοντες. σὺ δὲ οἰκίαν οἰκεῖς; ἣν
αὐτὸς ἐπόρθησας· καὶ θεοῖς τοῖς ἐν αὐτῇ θύεις ὥσπερ οἰκοῦσιν, ὃ οὖσι
μὲν, ἐκλελησμένους δὲ ὅτι τὰ ἐκείνων ἔχεις.

## Μεγαλίῳ.

Αἶρε κἂν μὴ θέλῃς· χαῖρε κἂν μὴ γράφῃς. ἄλλοις καλέ·
χ ἐμοὶ δὲ ὑπερήφανε. οὐκ ἦσθα συγκείμενος ἐξ αἰθέρος.
καὶ τῶν, ὅσα τούτοις κίρναται· ἀλλὰ ἐξ ἀδάμαντος καὶ πέτρας
καὶ στυγός· ταχέως σε θεασαίμην ψοφῶντα καὶ παρὰ ἀλλοτρίαις
θύραις

θύραις κείμενοι. καὶ ἔρως. καὶ νέμεσις ὀξεῖς θεοὶ καὶ στρεφόμενοι.

Γυναικί.

Δανάη χρυσὸν ἐλάμβανεν. ἡ λήδα ὄρνιθας. ἡ εὐρώπη

ι τοῦ δὲ ἀγέλης. ἡ ἀντιόπη ὅσα ὄρφα. ἡ ἀμυμώνη τὰ ἐν θαλάττῃ. οἱ δὲ ποιηταὶ τὰ δῶρα μύθους ἐποίησαν παράγοντες τὴν ἀλήθειαν ψυχαγωγίᾳ ψευσμάτων. λάβε λάβε καὶ σύ, τὸν ἀκκισμὸν ἀφελοῦσα τοῦ σώφρονος. ἵνα κἀγὼ ζεὺς γένωμαι καὶ ποσειδῶν διδοὺς μὲν, ἃ θέλεις. ἃ δὲ θέλω, λαμβάνων.

Τῇ αὐτῇ.

Μῶμος τῶν μὲν ἄλλων οὐδὲν εἶχε τῆς ἀφροδίτης αἰ-

ο τιάσασθαι. τί γὰρ ἂν καὶ ἐμέμψατο. ἓν δὲ μόνον δυσχεραίνειν ἔφη ὅτι τρύζοι αὐτῆς τὸ ὑπόδημα καὶ λίαν εἴη λάλον. καὶ τὸν ψόφον ὀχληρόν. εἰ δὲ ἀνυπόδητος ἐβάδιζεν ὥσπερ ἀνέσχεν ἐκ τῆς θαλάττης, οὐκ ἂν ποτε δὴ ὑπολείπεσθαι σκωμμάτων οὐδὲ κωμῳδίας ὁ ἀλιτήριος. κἂν μοι δοκεῖ μηδέ, μοιχευομένη διὰ τοῦτο μόνον λαθεῖν. ὅτι πάντα ὁ ἥφαιστος ἔγνω τὰ κεκρυμμένα τοῦ σανδαλίου διαβάλλοντος. ταῦτα μὲν ἡμῖν ὁ μῦθος. σὺ δὲ καὶ τῆς ἀφροδίτης ἔοικας βουλεύεσθαι ἄμεινον χρωμένη τοῖς ποσὶν ὡς ἐτάχθης καὶ φεύγουσα τοῦ μώμου τὰ ἐγκλήματα. ὢ ἄδετοι πόδες. ὢ κάλλος ἐλεύθερον. ὢ τρισευδαίμων ἐγὼ καὶ μακάριος ἐὰν πατήσητέ με.

Μειρακίῳ αὐτοποδήτῳ.

Ἀλακώτεροι δ' εἰ τέθης ὑπὸ τοῦ σανδαλίου. θλίβεσθε

μ ὡς πέπεισμαι. δεινὰ γὰρ δακεῖν σάρκας ἁπαλὰς αἱ τῶν δερμάτων καινότητες. διὰ τοῦτο ὁ ἀσκληπιὸς, τὰ μὲν ἐκ πολέμου καὶ θήρας τραύματα, ἰᾶτο ῥᾳδίως. ταῦτα δὲ ἕκα

διὰ τὸ ἑκούσιον αἰδοῦς μᾶλλον ἢ ἐπηρείας δαίμονος γινόμενα. τί οὖν ἐκείνων ἧττον ἀνυπόδητος βαδίζεις; τί δὲ τὴν γῆν φθονεῖς. λαυτία καὶ σανδάλια καὶ κρηπῖδες καὶ πέδιλα, νοσούντων εἰσὶ φορήματα ἢ γερόντων. τὸν γοῦν Φιλοκτήτην ἐν τούτοις γράφουσι τοῖς ἐρύμασιν ὡς χωλὸν καὶ νοσοῦντα. τὸν δὲ ἐκ σινώπης φιλόσοφον καὶ τὸν Θηβαῖον κράτητα καὶ τὸν αἴαντα καὶ τὸν ἀχιλλέα ἀνυποδήτους καὶ τὸν ἰάσονα δὲ ἡμισείας. λέγεται γὰρ ὡς τὸν ἄναυρον διαβαίνοντος αὐτοῦ τὸν ποταμὸν, ἐνεσχέθη κρηπὶς τῷ ῥεύματι εἰς ἀντίληψιν τῆς ἰλύος γενομένης. καὶ ὁ ἰάσων οὕτως ἠλευθέρωσε τῶν ποδῶν τὸν ἕτερον. τύχῃ τὸ δὲ ὂν διαχεθεὶς, οὐ γνώμῃ ἑλόμενος. καὶ ἀπήει καλῶς σεσυλημένος μηδενὶ τῶν μεταξὺ τῆς γῆς καὶ τοῦ ποδός. μὴ φοβηθῇς. δέξεται τὴν βάσιν ἡ κόνις ὡς πάλαι. καὶ τὸ ἴχνος προσκυνήσομεν πάντες. ὦ ῥυθμοὶ ποδῶν φίλτατοι. ὦ καινὰ ἄνθη. ὦ γῆς φυτά. ὦ φίλημα ἐρειδόμενον.

## Γυναικὶ καπηλίδι.

Αὐτά με αἱρεῖ τὰ σά. καὶ ὁ λινοῦς χιτὼν ὡς ὁ τῆς ἴσιδος

π καὶ τὸ καπηλεῖον ὡς ἀφροδίσιον. καὶ τὰ ἐκπώματα ὡς

ἥρας ὄμματα. καὶ ὁ οἶνος ὡς ἄνθος καὶ τῶν τριῶν δακτύλων αἱ συνθέσεις, ἐφ' ὧν ὀχεῖται τὸ ποτήριον. ὥσπερ αἱ τῶν φύλλων τῶν ἐν τοῖς ῥόδοις ἐκ καλυκί. κἀγὼ μὲν, φοβοῦμαι μὴ πέσῃ τὸ δὲ, ἕστηκεν ὀχυρῶς ὡς γνώμων ἐρηρεισμένον. καὶ τοῖς δακτύλοις συμπέφυκεν. εἰ δὲ καὶ ἀποπίοις ποτὲ, πᾶν τὸ καταλειπόμενον γίνεται θερμότερον τῷ ἄσθματι. ἥδιον ἢ τὸ νέκταρος. κάτεισι γοῦν ἐπὶ τὴν φάρυγγα ἀκωλύτοις ὁδοῖς. ὥσπερ οὐκ οἴνῳ κεκραμένοι ἀλλὰ φιλήμασιν.

τῷ

## Τῇ αὐτῇ.

Ξύέλου μὲν τὰ ἐκπώματα· αἱ δὲ σαὶ χεῖρες, ἄργυρον
ε αὐτὰ ποιοῦσι καὶ χρυσόν· ὡς καὶ τούτοις τὸ βλέπειν
ὑγρῶς παρὰ τῶν σῶν ὀμμάτων εἶναι· ἀλλὰ τοῖς μὲν
ἄψυχον καὶ ἀκίνητον τὸ διειδὲς καθάπερ τῶν ὑδάτων τοῖς ἑστηκό-
σι· τὰ δὲ ἐν τοῖς προσώποις ἐκπώματα, τῇ τε ἄλλῃ ὑγρότητι εὐ-
φραίνει ἔοικε καὶ τῇ συνέσει τῶν φιλημάτων· ὥστε τὰ ἐκεῖνα μὲν κα-
τάθεν καὶ χαίρειν ἔα· τούτι ἄλλα, καὶ διὰ τὴν ἐνθέου σφαλερὰν τῆς ὕ-
λης φόβον· ἐμοὶ δὲ μόνοις πρόπινε τοῖς ὄμμασιν· ὧν καὶ ὁ Ζεὺς γευ-
σάμενος, καλὸν οἰνοχόον παρεστήσατο. εἰ δὲ βούλει, τὸν μὲν οἶνον μὴ
παραπόλυε· μόνου δὲ ἐμβάλλουσα ὕδατος, καὶ τοῖς χείλεσι προσ-
φέρουσα, πλήρου φιλημάτων τὸ ἔκπωμα. καὶ δίδου τοῖς δεο-
μένοις. ἔστι γὰρ οὐδεὶς ἀνέραστος οὕτως, ὡς ποθεῖν ἐπὶ τὴν διονύσου
χάριν μετὰ τὰς ἀφροδίτης ἀμπέλους.

## Τῇ αὐτῇ.

Α μὲν ὄμματά σου διαυγέστερα τῶν ἐκπωμάτων· ὡς
τ δύνασθαι διὰ αὐτῶν καὶ τὴν ψυχὴν ἰδεῖν. τὸ δὲ τῶν πα-
ρειῶν ἐρύθημα, εὔχροον ὑπὲρ αὐτὸν τὸν οἶνον. τὸ δὲ λι-
νοῦν τοῦτο χιτώνιον ἀντιλάμπει ταῖς παρειαῖς. τὰ δὲ χείλη βέ-
βαπται τῷ τῶν ῥόδων αἵματι. καί μοι δοκεῖς τὸ ὕδωρ φέρειν ὡς
ἀπὸ πηγῶν τῶν ὀμμάτων. διὰ τοῦ γε εἶναι νυμφῶν μία. πόσους
ἴσως ἐπειγομένους. πόσους κατέχεις παραβλέποντας. πόσους φθεγ-
ξαμένη, καλεῖς. ἐγὼ πρῶτος ἐπειδὰν ἴδωσε διψῶ. καὶ ἵσταμαι
μὴ θέλων.

Μειρακίῳ.

Ὑ δὲ ὁ τοῦ Μενάνδρου Πολέμων καλὸν μειράκιον πε-
ὁ ριέκειρεν· ἀλλ' αἰχμαλώτου μὲν ἐρωμένης κατετόλ-
μησεν ὀργισθείς. ἣν οὐδὲ αὐτὸς ἀποκείρας ἠνείχετο-
κλαίει γοῦν καταπεσών. ἢ μεταγνώσῃ τῷ φόνῳ τῶν τριχῶν
ἐφήβου δὲ ἄρα ἐφείσατο καὶ τὸ δρᾶμα. σὺ δὲ οὐκ οἶδα τί παθών,
σεαυτῷ πεπολέμηκας ὦ ἀνδροφόνε τῆς κεφαλῆς. τί δέ σοι μά-
χαιρ' ἐπὶ τὰς τρίχας. τί δὲ ἑκουσίων καὶ πολλῶν τραυμάτων. ὑπ-
ὸ θέρος ἐξέκοψας. οὐδὲ οἱ ποιηταί σε ἐπαίδευσαν τοὺς εὐφόρ-
βους καὶ τοὺς μενελάους εἰσάγοντες κομῶντας καὶ ὅλον τὸ τῶν
ἀχαιῶν στρατόπεδον; καὶ ἔστι σ' αὐτοῖς καλὸς ποταμῶν, κομᾷ.
ὡς γὰρ χρυσὸς ἀνάθημα καὶ ἄργυρος, οὕτω καὶ τρίχες κομῶσιν
οἱ μὲν βάρβαροι, ὅπλοις. οἱ ἕλληνες, κράνεσιν. οἱ ὀφθαλμοὶ βλε-
φάροις. αἱ δὲ νῆες, ἱστίοις. ἡ δὲ γῆ ὄρεσι. τὰ δὲ ὄρη νάπαις. ἡ δὲ
θάλασσα νήσοις. οἱ δὲ ταῦροι, κέρασιν. οἱ δὲ ποταμοί, τέμπεσιν.
αἱ πόλεις, τείχεσιν. φοβερώτερος καὶ λέων, ὁ λάσιος. καὶ ἵππος
ὁ ἤδη τῇ χαίτῃ πεπιστευκώς. καὶ ἀλεκτρυὼν μαχιμώτερος, ὁ τὰ
κάλλαια ἐγηγερκώς. τιμῶσι δὲ οἱ σοφοὶ καὶ τῶν ἀστέρων τοὺς κομή-
τας. καὶ τῶν ἱερέων τοὺς ἀνέτους ταῖς κόμαις. καὶ τῶν θεῶν ἄλ-
λον ἄλλως. τὸν ποσειδῶνα, ὡς κυανοχαίτην. τὸν ἀπόλλω ὡς ἀ-
κερσεκόμην. τὸν δία, ὡς δασύν. τὴν ἶσιν ὡς λυσίκομον τὸν διό-
νυσον, ὡς μετὰ τῶν τριχῶν καὶ τοῖς κιττοῖς κομῶντα. ἀφροδίτη
δὲ οὐδὲ πενθοῦσα ἀπεκείρατο.

Ἔρρωσο.

Ι Λακεδαιμόνιοι, φοινικοβαφεῖς ἐνεδύοντο θώρακας
ο ἢ ἵνα ἐκπλήττωσι τοὺς πολεμίους, τῷ φοβερῷ τῆς
χροίας, ἢ ἵνα ἀσυνοῶσι τὸ αἷμα τῇ κοινωνίᾳ τῆς βα-
φῆς. ὑμᾶς δὲ δεῖ τοὺς καλοὺς, μόνοις ῥόδοις ὁπλίζεσθαι. καὶ
ταύτην λαμβάνειν παρὰ τῶν ἐραστῶν τὴν πανοπλίαν. ὑάκιν-
θος μὲν οὖν λευκῷ Μειρακίῳ, πρέπει δὲ νάρκισσος μέλανι. ῥό-
δον δὲ, πᾶσιν, ὡς καὶ μειράκιον ποτὲ, καὶ ἄνθος. καὶ φάρμα-
κον καὶ μύρον. τοῦτο Ἀγχίσην ἔπεισε. τοῦτο Ἄρη ἀπέλυσε. τοῦ-
το Ἄδωνιν ἐλθεῖν ὑπέμνησεν. αὕτη ἦρος κόμη. τοῦτο τῆς γῆς ἀστρα-
πή. τοῦτο ἔρωτος αἱ λαμπάδες.          Γυναικί.

Ι κἀμὲ φεύγεις, ἀλλ' ὑπόδεξαι καὶ τὰ ῥόδα αὐτὰ πέμπω.
ε καί σου δέομαι μὴ στεφανοῦσθαι μόνον, ἀλλὰ καὶ κοι-
μηθῆναι ἐπ' αὐτῶν. καὶ γὰρ ῥόδιν ἰδεῖν μὲν καλά. οἷον τὸ
πῦρ ἔχει τὴν ἀκμήν. ἅψασθαι δὲ μαλακὰ, καὶ πάσης στρωμνῆς ἁ-
παλώτερα. ὑπὲρ τὸν βαβυλώνιον κόκκον καὶ τὴν τυρίαν πορ-
φύραν. καὶ γὰρ εἰ σπουδαῖα ἐκεῖνα, ἀλλ' οὐ πνεῖ καλόν. ἐντειλαί-
μην αὐτοῖς καὶ τὴν δειρήν σου φιλῆσαι καὶ τοῖς μαστοῖς ἐπελ-
θεῖν, καὶ ἀνδρίσασθαι ἐν ἁφῆς. καὶ οἶδα ὅτι ἀκούσεται. ὦ μακάρια
οἷον γυναῖκα περιβάλλειν μέλλετε. ἀλλὰ δεήθητε αὐτῆς ὑπὲρ ἐμοῦ
καὶ πρεσβεύσατε καὶ πείσατε. ἐὰν δὲ παρακούσῃ, κατακαύσατε.

Μειρακίῳ.

Α ῥόδα ὥσπερ πτεροῖς τοῖς φύλλοις ἐπειγόμενα, ἐλθεῖν πα-
τ ρὰ σὲ σπουδὴν ἐποιήσατο. ὑπόδεξαι αὐτὰ εὐμενῶς. ὡς Ἀδώνι-
δος ὑπομνήματα, ἢ ὡς Ἀφροδίτης βαφὴν, ἢ ὡς γῆς ὄμματα. ἀ-
θλητῇ μὲν οὖν, κότινος πρέπει. βασιλεῖ μεγάλῳ ὀρθὴ τιάρα.

καὶ στρατιώτῃ, λόφος. καλῷ δὲ μειρακίῳ ῥόδα. καὶ διὰ συγγένειαν τῆς εὐωδίας. καὶ διὰ τὸ οἰκεῖον τῆς χροιᾶς. Γυναικί.

π Ἔπεμψά σοι στέφανον ῥόδων. οὐ σὲ τιμῶν καὶ τοῦτο μὲν γάρ. ἀλλ' αὐτοῖς τι χαριζόμενος τοῖς ῥόδοις ἵνα μὴ μαρανθῇ. Μειρακίῳ.

ε Ὑπεποίηκας καὶ στρωμνῇ, χρησάμενος τοῖς ῥόδοις. ἡ γὰρ πρὸς τὰ πεμφθέντα ἡδονὴ σημεῖον μέγα τῆς πρὸς τὸν πέμψαντα τιμῆς. ὥστε κἀγώ σου δι' αὐτῶν ἡψάμην, ἔστι γὰρ ὄντως ἐρωτικὰ καὶ πανοῦργα. καὶ κάλλει χρῆσθαι εἰδότα. δέδοικα δὲ μὴ οὐδὲ ἡσυχίαν ἤγαγον. ἀλλ' ἠνώχλησαν καθεύδοντι ὡς περὶ τῇ δανάῃ ὁ χρυσός. εἰ δὲ βούλει τι φίλῳ χαρίζεσθαι, τὰ λείψανα αὐτῶν ἀντίπεμψον. μηκέτι πνέοντα ῥόδων μόνον ἀλλὰ καὶ σοῦ. Γυναικί.

ι Αἴτε διὸς ὅτε ἐκοιμᾶτο ἐν τῇ ἴδῃ κατὰ ὄρη, αὕθη ἡ γῆ ἀνῆκε λωτὸν καὶ ὑάκινθον καὶ κρόκον. ῥόδα δὲ οὐ παρῆν. πότερον ὡς μόνης ἀφροδίτης κτήματα, περὶ ἧς καὶ ταῦτα ἔδει τὴν ἥραν δανείσασθαι, καθάπερ καὶ τὸν κεστὸν ἐδανείσατο, ἢ ὡς οὐκ ἂν κοιμηθέντος τοῦ διὸς εἰ καὶ ταῦτα παρῆν, οἱ δὲ ἔδεον καθεύδειν τὸν δία. ὅταν δὲ πνέῃ ῥόδα, ἀνάγκη πᾶσα δήπου καὶ ἀνθρώποις καὶ θεοῖς ἀγρυπνεῖν ἡδέως. ἡ γὰρ εὐωδία δεινὴ πᾶσαν ἡσυχίαν ἐξοικίσαι. ταῦτα μὲν οὖν ἀφείσθω ὁμήρῳ καὶ τῇ τῶν ποιητῶν ἐξουσίᾳ. σὺ δὲ ἀγροίκως ἐποίησας μόνη κοιμηθεῖσα ἐν ῥόδοις. καὶ σωφρονήσασα ἐν οὐ σώφροσιν. ἡ γὰρ τῶν ἐραστῶν ἐχρήσω παρεῖναι ἀτιμίᾳ, ἢ ἐμὲ τὸν διὰ παλὴν εἰ μὴ ἐνεθυμήθης ὦ καλὴ τὸν στέφανον τοῖς στέρνοις προσαγαγοῦσα καὶ μοιχῷ συμπλακήσει. Μειρακίῳ.

τ Ἰσταθόντα τὰ ῥόδα, πρὶν μὲν παρὰ σοὶ γενέσθαι, καλὰ ἦν ῥόδα, οὐ γὰρ ἂν αὐτὰ οὐδὲ ἔπεμψα εἰ μή τι ἀξιόκτητον εἶχεν. ἐλθόντα δέ, εὐθὺς ἐμαράνθη καὶ ἀπέπνευσε, τὸ μὲν σαφές, οὐκ οἶδα

διὰ

τῆς αἰτίας, οὐ χάρμοι τι εἰπεῖν ἐθέλουσιν ὡς δ᾽ ἑκάστου ῥᾴδιον, οὐκ ἤνεγκε παρὰ δυσδοκιμούμενα. οὐδὲ ἠνέσχετο, τῆς πρὸς σὲ ἁμίλλης. ἀλλ᾽ ὅμου τι ἔθηκεν εὐωδεστέρου χρωτός, καὶ ἀπώλετο. οὕτω καὶ λύχνος τῷ πλείονι πυρὸς ἡττηθεὶς μείζονος. καὶ ἄστρα δὲ ὅταν ἀντιβλέπειν ἡλίῳ μὴ δύνηται.

Γυναικί.

ο Ντως τὰ ῥόδα ἔρωτος φυτά. καὶ γὰρ νέα ὡς ἐκεῖνος. καὶ ὑγρὰ ὡς αὐτὸς ὁ ἔρως. καὶ χρυσοκομοῦσιν ἄμφω. καὶ τἆλλα αὐτοῖς ὅμοια. τὰ ῥόδα τὴν ἄκανθαν ἀντὶ βελῶν ἔχει. τὸ πυρὸν ἀντὶ δᾳδῶν. τοῖς φύλλοις ἐπτέρωται. χρόνον δὲ οὔτε ἔρως, οὔτε ῥόδα οἶδεν. ἐχθρὸς γὰρ ὁ θεὸς καὶ τῇ κάλλους ὥρα καὶ τῇ ῥόδων ἐπιδημίᾳ. εἶδον ἐν ῥώμῃ τοὺς ἀνθοφόρους τρέχοντας. καὶ τῷ τάχει μὴ πυρουμένους τὸ ἄπιστον τῆς ἀκμῆς. ὁ γὰρ δρόμος διδασκαλία χρόνου. εἰ δὲ μελλήσεις, ἀπελήλυθε. μαραίνεται καὶ γυνὴ μετὰ ῥόδων ἂν βραδύνῃ. μὴ μέλλε ὦ καλή. συμπαίζωμεν. στεφανωσώμεθα τοῖς ῥόδοις. συνδράμωμεν.

Μειρακίῳ.

ξ Στιν ἔαρ καὶ κάλλος ῥόδων. ὁ δὲ μὴ χρησάμενος τοῖς παροῦσιν ἀνόητος. ἐν οὐ μέλλουσι μέλλων. καὶ βραδύνων ἐπὶ σπεύδουσι. φθονερὸς γὰρ ὁ χρόνος καὶ τὴν ἄνθους ὥραν ἀφανίζει καὶ τὴν κάλλους ἀκμὴν ἀπάγει. μηδὲν μέλλε ὦ φθεγγόμενον ῥόδον ἀλλ᾽ ὡς ἔξεστι καὶ ζῇς, μετάδος ἡμῖν ὧν ἔχεις.

Γυναικί.

ξ Γυθόμην ὡς τὰ ῥόδα ἐλθόντα παρὰ σέ, ὅσα χεῖρος ἀπέβαλεν. ἔρρωτε γὰρ ἐνετειλάμην αὐτοῖς, καὶ ὡς ἐκπιόντα ἄκρατον χρωτὸς τῆς σῆς δρόσου, κατέχει τὴν ψυχὴν ἀξιοῦσαν καὶ δυσσιαχετοῦσαν. καλῶς ἐποιήσατε ὦ ῥόδα ἀναβιώσαντα. καὶ δέομαι, μένατε ἔστ᾽ ἂν ἔλθω. μαθεῖν γὰρ ἔννοια ἐστὶ παρ᾽ ἀλλήλων ἀλείφατε εἰς ὀδωδίαν αὐτὴ καὶ ὑμεῖς εἰς χρόνον.

α Ἰτιᾶμε ὅτι σοι ῥόδα οὐκ ἔπεμψα· ἐγὼ δὲ οὔτε ὡς ὀλίγωρος τοῦτο ἐποίησα, οὔτε ὡς ἀνέραστος αὐτός· ἀλλ' ἐσκόπουν ὅτι ξανθὸς ὢν καὶ ῥᾴδιος ἰδεῖν οἷος στεφανούμενος, ἀλλοτρίων ἀνθῶν οὐ δέῃ. οὐδὲ γὰρ ὁ Ὅμηρος τῷ ξανθῷ Μελεάγρῳ στέφανον περιέθηκεν· ἐπεὶ τοῦτο ἂν ἦν, ἄλλο πῦρ ἐπὶ πυρὶ καὶ δαλὸς ἐπὶ κεραυνῷ διπλοῦς. ἀλλ' οὐδὲ τῷ Ἀχιλλεῖ· οὐδὲ τῷ Μενελάῳ οὐδὲ ὅσοι ἄλλοι παρ' αὐτῷ κομῶσι. φθονερὸν δ' ἄλλως ἄνθος καὶ ὠκύμορον· καὶ παύσασθαι ταχύ. λέγεται δ' αὐτοῦ πρώτην γένεσιν ἐκ λυπηροτάτης ἄρξασθαι προφάσεως· ἡ γὰρ ἄκανθα τῶν ῥόδων περιοῦσα τὴν Ἀφροδίτην ἔκνισεν ὡς Κύπριοι καὶ Φοίνικες λέγουσιν. εἰ μὲν γὰρ μὴ στεφανώμεθα, φεύγωμεν ἄνθος ὃ μηδ' Ἀφροδίτης φείδεται. Γυναικί.

β Ὡς ἄπιστε ξανθή, ῥόδα ζητεῖς· καὶ μὴν φύσεως οὕτως ἔχεις ὡς ἐκεῖνα. τί οὖν μεταλαμβάνεις ἀνθῶν, μετὰ μικρὸν οὐκ ὄντων. τί δὲ τὴν κεφαλὴν στεφανοῖς πυρί. ἐμοὶ γὰρ δοκεῖ καὶ τῆς κολχίδος ὁ ὅρμος, ὃν τῇ Γλαύκῃ ἔπεμψε, ῥόδα ἦν πεφαρμαγμένα· καὶ διὰ τοῦτο ἐκκαυθῆναι λαβοῦσα. εἴτε γὰρ τερπνὰ τὰ ῥόδα, μὴ προσδοκάσθω τοῖς καλοῖς· εἴτε εὐώδη, μὴ ἀντιπνείτω· εἴτε ὠκύμορα, μὴ φοβείτω. ἐμοὶ μὲν, οὐδενὶ ἄγω δοκεῖ προσεοικέναι φύλλα ῥόδων λυθέντων, ἢ πίπτουσιν· οἱ πολλοί γε τῶν σφόδρα ἐρωτικῶν, αὐτοῖς μαγοῦν ἄχθονται λυθεῖσιν ἢ χαίρουσιν ἐπιτετειχισμένοις ἐπὶ τὴν προσίαν φιληδονίας αὐτῶν· ὁ μέλλων φόβος νικᾷ. καὶ ἡ σὴ κεφαλὴ λειμῶνα πολὺν ἄνθη φέρων, ἃ μήτε θέρους ἄπεισι, καὶ χειμῶνος μέσου φαίνεται· καὶ δρεψαμένων, οὐ λύεται. εἰ γὰρ ἐπιτρέψαις μοι κἂν ἕνα βόστρυχον ἐκτεμεῖν, εἴ γε ἀπέλθοιμι οὕτω πνέων, ἔσῃ χαριζομένη ῥόδα μαραίνεσθαι μὴ δυνάμενα.

## Μειρακίῳ.

Σε δυσειδεῖς οἱ καὶ φιλόνεικοι τὸ κάλλος. ἀμελούμενον μᾶλλον ἀνθεῖ. καθάπερ τῶν φυτῶν ὅσα τῇ φύσει θαρροῦντα τῆς τῶν γεωργῶν ὀλιγωρίας οὐ χρῄζοντα. οὐχ ἧττον ἀναβαίνει. οὐκ εἰς παλαίστραν ἀπαντᾷς. οὐχ ἡλίῳ δίδως σεαυτόν. αὔθις δὲ καὶ βαφὴν τοῖς καλοῖς. ἀλλ' αὐχμηρὸς πείθῃ καὶ σεαυτῷ μαχόμενος, ἐξαπατῆσαι. καλὸς εἶ κἂν μὴ θέλῃς. καὶ πάντας ἕλκεις περὶ λίαν ἀμελουμένῳ. ὥσπερ οἱ βότρυες καὶ τὰ μῆλα καὶ ἔτι ἄλλο αὐτόματον καλόν. ὁ μὲν γὰρ καλλωπισμός, ἐπιεικὲς ὄν. καὶ πάνυ δεῖ δυσχεραίνειν τὴν φαρμακευομένην εὐμορφίαν ὡς πορνείας ἐγγύς. τὸ δὲ ἀκέραιον καὶ ἄκακον κἀνεπιβούλευτον, μόνων ἴδιον τῶν αὐτὸ δεξαμένων τὸ κάλλος. οὕτω καὶ ὁ Ἀπόλλων τιμώμενος ἤρα. καὶ Ἀφροδίτη βουκόλου, καὶ Ῥέα ἀγροίκων. καὶ Δημήτηρ τῶν τὰ ἄστη οὐκ εἰδότων. ὅτι πάντ' ἀληθέστερον τοῦ δεδολωμένου τὸ φύσει παρόν. οὐδεὶς δὲ ἀστέρας οὐδὲ κοσμουμένους. οὐδὲ λέοντας. οὐδὲ ὄρνιθας. ὁ δὲ ἵππους καλλωπίζων χρυσῷ ἢ ἐλέφαντι ἢ ταινίαις, λανθάνει λυμαινόμενος τοῦ ζῴου τὸ γαῦρον. καὶ τέχνῃ παραδιδοὺς τὸ ἄσκημα ἐπανορθοῦσθαι τῆς φύσεως τὰ λείποντα.

## Γυναικί.

Καλλωπιζομένη γυνὴ θεραπεύει τὸ ἐλλιπές. φοβουμένη φωραθῆναι ὃ οὐκ ἔχει. ἡ φύσει καλή, οὐδενὸς δεῖται τῶν ἐπικτήτων. ὡς προσαρκοῦσα αὐτῇ πρὸς πᾶν τὸ ὁλόκληρον. ὀφθαλμῶν δὲ ὑπογραφαὶ καὶ κομῶν προσθέσεις. καὶ ζωγραφίαι παρειῶν, καὶ χειλέων βαφαί, καὶ ἔτι κομμωτικῆς φάρμακον, καὶ ἔτι ἐκ φυκίου δόλερον ἄνθος, ἐπανόρθωσις τοῦ ἐνδέοντος εὑρέθη. τὸ δὲ ἀκόσμητον, ἀληθῶς καλόν. ὥστε εἰ μάλιστα πεπίστευκας σεαυτῇ καὶ τεθάρρηκας, διὰ τοῦτό σε μᾶλλον ἀγαπῶ. μὴ

τύριον τὸ ἀπράγμον ἡγούμενος τῆς ἐν εὐμορφίᾳ πίστεως. οὐ γὰρ
κομιδᾶς τοῦ προσώπου οὐδὲ ἐν ταῖς κηριναῖς πέπαυσαι γυναιξίν.
ἀλλ' ἐν ταῖς ἀδόλως καλαῖς. οἷαι καὶ αἱ πρότεραι ἦσαν. ὧν χρυσοῦς ἦ-
ρα καὶ βοῦς καὶ ὕδωρ καὶ ὄρνιθες καὶ δράκοντες. τὸ δὲ φυκίον καὶ ὁ
κηρὸς καὶ τὸ ταραντινὸν καὶ οἱ ἐπικάρπιοι ὄφεις καὶ αἱ χρυσαῖ πέ-
δαι, θαΐδος καὶ ἀρισταγόρας καὶ λαΐδος φάρμακα. Μειρακίῳ.

π Ὅθεν εἶ μειράκιον εἰπέ. ὅθεν οὕτως ἀτέχνως ἔχεις πρὸς ἔ-
ρωτα. ἐκ σπάρτης ἐρεῖς, οὐκ εἶδες οὖν ὑάκινθον οὐδὲ ἐστε-
φανώσω τοῦ τραύματος; ἀλλ' ἐκ θετταλίας, οὐκ ἐδίδαξεν οὖν σε
οὐδὲ ὁ φθιώτης ἀχιλλεύς, ἀλλὰ ἀθήνηθεν, τὸν ἁρμόδιον οὖν καὶ
τὸν ἀριστογείτονα οὐ παρῆλθες, ἀλλὰ ἀπ' ἰωνίας. καὶ τί τῆς γῆς ἐ-
κείνης ἁβρότερον. ὅπου βράγχοι καὶ κλάριοι ἀπόλλωνος καλοί. ἀλ-
λ' ἐκ κρήτης, ὅπου πλεῖστος ὁ ἔρως ὁ τὰς ἑκατὸν πόλεις περιπολῶν.
σκύθης μοι δοκεῖς καὶ βάρβαρος. ἀπ' ἐκείνου τοῦ βωμοῦ καὶ τῶν ἀξέ-
νων θυμάτων. ἔξεστιν οὖν σοι τὸν πάτριόν τι μιμῆσαι νόμον. εἰ σώζειν
οὐ θέλεις, λάβε τὸ ξίφος. οὐ παραιτοῦμαι. μὴ φοβηθῇς. ἐπιθυ-
μῶ καὶ τραύματος. Γυναικί.

ε Ι λάκαινα ἦσθα ὦ καλή, τῆς ἑλένης ἂν ἐμνημόνευσας καὶ
τῆς νεώς. εἰ κορινθία, τῶν λαΐδος κώμων. εἰ βοιωτία, τῶν
ἀλκμήνης γάμων. εἰ τῶν ἐξ ἤλιδος, οὐκ ᾔνεσας τὸν πέλοπος δρό-
μον, οὐκ ἐζήλωσας τὴν ἐκ θεάτρου γαμηθεῖσαν. οὐκ ἐθαύμασας τὸν
ἀλφειόν. οὐκ ἔπιες τοῦ νυμφίου. ἡ δὲ τυρώ, τῷ ἐνιπεῖ ἐπενήξατο
καὶ ἀγρυπνοῦντι ἐπιθάλαττον συνηγάγετο λέχος. ἀγαθὴ καὶ μεγάλ' ἐρα-
στῶν ἀξία. δοκεῖς δέ μοι μηδὲ θετταλή τις εἶναι. πάντως γὰρ καὶ
τῶν ἐρωτικῶν θυῶν. μὴ δὲ ἀττική. τὰς γὰρ πάνυ χιλίας καὶ τὰς ἑορ-
τὰς καὶ τὰ μενάνδρου δράματα, οὐκ ἂν ποτε ἠγνόησας. ἀλλ'
καὶ βάρβαρος εἶ καὶ μία τῶν ἀπὸ θερμώδοντος παρθένων, ἀλλ' οὐ

καὶ ταύτας λόγους νεανίσκοις συμπλέκεσθαι, καὶ πίνειν ἐκ κρα-
τῆρος· ἀλλὰ μὴν ἑραστία καὶ συνουσίας καὶ μιᾷ καὶ τούτων ἔρως ἥψατο
καὶ ἡμῶν, τῷ ῥίμῳ συνεπλάκη. ἡ δὲ τῶν βοηθῶν. ἔοικα εὑρηκέναι
σε ἐμὲ καλὸς εἰμὶ καὶ φαῦλος· φιλοσοφοῦμεν ἐνδεναόσοι ποτὲ τῆς
χεὶρ ἐκείνη τὸ λῆμμα φονικόν· ἀλλὰ κἀκείνων τίς τῶν ἀνδροφό-
νων παρθένων, νεανίσκου φιλοῦντος ἐφείσατο· οὐχὶ κελεύω σε τὸ
δακρύων πληρῶσαι τὸ δρᾶμα. ἵνα μὴ φανῇς καὶ ξίφος. Γυναικί.

ἐ. Ἰσοφρονεῖς, διὰ τί ἐμοὶ μόνῳ ἐγχαρίζῃ, διὰ τί μὴ καὶ
μοί.

Μειρακίῳ.

ὁ. Τί πέμπεις ἐμὶ ἀτιμότερος σοι δοκῶ, καὶ μὴν καὶ αὐτὸς ὁ
ἔρως γυμνός ἐστι. καὶ αἱ χάριτες καὶ οἱ ἀστέρες. ὁρῶ δὲ ἐγὼ
καὶ τὸν ἡρακλέα ἐν ταῖς γραφαῖς, δορὰν θηρίου περιβεβλημέ-
νον. καὶ τὰ πολλὰ χαμαὶ καθεύδοντα. τὸν δὲ ἀπόλλωνα, καὶ ψι-
λῷ ζώματι ἢ δισκεύοντα ἢ τρέχοντα ἢ τοξεύοντα. οἱ δὲ περσῶν
βασιλεῖς, τρυφῶσι καὶ μετέωροι κάθηνται τῶν πολλῶν χρυσίων προ-
βαλλόμενοι τὸ σεμνόν. τοιγαροῦν ἔπασχον κακῶς ὑπὸ τῶν πενή-
των ἑλλήνων νικώμενοι. καὶ πτωχὸς ὁ σωκράτης, ἀλλ' ὑπέθρεχεν
αὐτοῦ τὸν ξίβωνα ὁ πλούσιος ἀλκιβιάδης. πενία δὲ οὐκ ἔστιν ἔγκλη-
μα. ὅτε τὴν ἑκάστου αἰτίαν ἡ τύχη ἀπολύεται τῆς πρὸς ἀλλήλους
κοινωνίας. ἄπει δὲ πρὸς τὸ θέατρον. πενήτων ὁ δῆμος. ἄπιθι πρὸς τὰ
δικαστήρια. πένητες κάθηνται. ἄπει δὲ ἐπὶ τὰς μάχας. οἱ μὲν πολυ-
τελεῖς καὶ χρυσοῖ τοῖς ὅπλοις, λείπουσι τὰς τάξεις. ἡμεῖς δὲ ἀρι-
στεύομεν. σὺ αὐτοῖς τε τοῖς πρὸς τοὺς καλοὺς ὑμᾶς, σκέψαι τὸ
μεθόδευμα· ὑβρίζει τὸν πεισθέντα ὁ πλούσιος ἐωνημένος. πένης οἶδε χά-
ριν ὡς ἐλεούμενος. ἐκεῖνος σεμνύνεται τῷ θηράματι. ὁ πένης σιωπᾷ.
πάλιν ὁ λαμπρὸς, τὸ πεπραγμένον εἰς ἐξουσίαν ἀναφέρει τῆς οἰκεί-

δυνάμεως. ὁ πένης εἰς τὴν τοῦ δόντος φιλανθρωπίαν. ὁ πλούσιος ἄγγελλον πέμπει κόλακα καὶ παράσιτον καὶ μάγειρον. καὶ τοὺς ἐκ τῆς τραπέζης. ὁ πένης, ἑαυτὸν ὡς μηδὲ ἐν τούτῳ τὴν πομπὴν ἀπεῖναι τῆς αὐτουργίας. ὁ πλούσιος δοὺς, εὐθέως ἐλέγχεται. τὸ γὰρ πρᾶγμα, καταφορὸν γίνεται τῷ πλήθει τῶν συνεγνωκότων. ὡς μηδὲ τοὺς γείτονας μηδὲ τοὺς παριόντας ὁδοιπόρους ἀγνοῆσαι τὸ δρᾶμα. ὁ πένητι χρησάμενος φίλῳ, λανθάνει. οὔτε ὁ ὄγκος τῇ δεήσει πρόσεστι καὶ τὴν τῶν ἔξωθεν καταβόησιν ἐκτρεπόμενος καὶ τὸ τῶν δυνατωτέρων αὐτοῦ γνοὺς ὅτι τιμὰς ἀντεραστὰς ὡς ὄντος ῥᾴστου τοῦ πράγματος, οὐχ ὁμολογεῖ τὴν εὐτυχίαν. ἀλλὰ περικρύπτεται. πένης δὲ ἅπαξ ἐρῶντις δύναται παραμένειν νοσοῦντι. τίς συναγρυπνήσει. τίς συνεξελθεῖν εἰς τὸ στρατόπεδον, τίς αὐτὸν προτάξαι πεμπομένου βέλους. τίς ὑπὲρ σοῦ πεσεῖν. ἐν τούτοις πᾶσι πλουτῶ.

Γυναικί.

ἐ Ι μὲν δὴ χρημάτων, πένης εἰμί. εἰ δὲ φιλίας καὶ χρηστοῦ τρόπου, πλουτῶ. ἔστι δὲ οὐχ οὕτως ἐμοὶ ἄδικον τὸ μὴ ἔχειν, ὡς σοὶ πρὸς αἰσχύνης τὸ, μισθοῦ φιλεῖν. ἑταίρας γὰρ ἔργον προσιέναι, τοὺς τὰς οὐσίας ἔχοντας καὶ τοῖς ἀπαθέσιν ὡς ἑτοίμως διδόντας. γυναικὸς δὲ ἐλευθέρας, πρὸς τὸ βέλτιστον ἀεὶ βλέπειν. καὶ τὸ μὴ χρηστὸν ἐν ὁμοίᾳ τίθεσθαι. πρόσταξον ὡς οἰκέτῃ, πείθομαι. πλεῖν κέλευσον ἐμβαίνω. πληγὰς ὑπομένειν, καρτερῶ. ῥῖψαι τὴν ψυχὴν, οὐκ ὀκνῶ. δραμεῖν διὰ πυρὸς, οὐκ ἀναίνομαι. τίς ταῦτα πλούσιος ποιεῖ.

Μειρακίῳ.

ἐ Ι ξένος ὢν ἐρῶ σου, μὴ θαυμάσῃς. τάχ᾽ ἔστιν ὀφθαλμὸς ξενίας ἁλῶναι. καὶ ὁ παγὸς αὐτῷ ὁμοῦ καὶ πῦρ ἀνάπτει. ἡ διὰ τὸ μὲν, λάμψαι. τὸ δὲ εὐθὺς ἔσβεσθαι. διακείσεως δὲ οὐδὲν ἐπτεῶσιν, ἐπεὶ ὄμμασιν αὐγή ἐστι καὶ ξένοις καὶ πολίταις οἱ τῆς ψυχῆς ἄγγελοι. ἐμὴν ὁ βραχὺς

ἔφυγε τὸν ἀπόλλωνα ὡς ξένον· οὐδὲ ὁ ὕλλας τὸν ἡρακλέα· οὐ χὸ λικύμνιος τὸν ῥαδάμανθυν· οὐδὲ ὁ πάτροκλος τὸν ἀχιλλέα· οὐδὲ ὁ χρύσιππος τὸν λάϊον· ἥρα καὶ σμερδίης πολυκράτης ὁ σάμιος· καὶ τοῦ πέρσου μειρακίου ὁ ἀγησίλαος· οὐκ οἶδα τοῦ μειρακίου τὸ ὄνομα· ξένοι καὶ οἱ ὄμβροι τῆς γῆς· καὶ οἱ ποταμοὶ τῆς θαλάσσης· καὶ ὁ ἀσκληπιὸς ἀθηναίων· καὶ ὁ ζεὺς ἡμῶν· ὁ νεῖλος αἰγυπτίων· καὶ ὁ ἥλιος πάντων· ξένη καὶ ἡ ψυχὴ τοῦ σώματος· καὶ ἡ ἀηδὼν, τοῦ ἀέρος· καὶ ἡ χελιδὼν, τῆς οἰκίας· καὶ ὁ γανυμήδης τοῦ οὐρανοῦ· καὶ ἡ ἀλκυὼν, τῆς πέτρας· καὶ ὁ ἐλέφας, ῥωμαίων· καὶ ὁ ὄρνις ὁ φοῖνιξ τῶν ἰνδῶν· οὗτος μὲν ὁ ξένος καὶ βραδύς· τὸν δὲ πελαργὸν οἱ πρῶτοι θεασάμενοι, καὶ προσκυνοῦσι· ξένα καὶ τὰ γράμματα· ἐκ φοινίκης γὰρ ἦλθε· καὶ σειρήνων νύμφαι· καὶ ἡ μάγων θεολογία· οἷς πᾶσιν ἥδιον χρώμεθα, ἢ τοῖς ἐγχωρίοις· ὅτι τῶν μὲν, σπάνιον τὸ ἐπίκτητον· τῶν δὲ ὀλίγωρον τὸ οἰκεῖον· ἀμείνων καὶ ἐραστὴς, ὁ ξένος· ὅσω καὶ αὐτάρκης τῇ συνουσίᾳ· καὶ πρὸς τὸ λαθεῖν ἀφανέστερος· εἰ δὲ καὶ μένοντος, ἐγγραφοίμεν σύ· καὶ ζεὺς γένους φράτριος· καὶ ἀπόλλων πατρῷος· καὶ ἡ φυλὴ, τοῦ ἔρωτος.

Γυναικί.

τ Ἢ καλλίω ἀπὸ τοῦ τρόπου, δεῖ τῶν ἐραστῶν ποιεῖσθαι τὸν κατάλογον· οὐκ ἀπὸ τοῦ γένους· καὶ γὰρ ξένος, ἐπιεικὴς δύναται γενέσθαι· καὶ πολίτης κακός· ὅσω καὶ τοῦ φρονεῖν ἐστὶ ὑπερόριον· ὁ μὲν οὖν ἐγχώριος, οὐδὲν διαφέρει λίθων καὶ παντὸς τοῦ μένοντος· ὧν τὸ ἑδραῖον ἀνάγκη πρόσεστιν· ὁ δὲ ξένος, ἔοικε τοῖς ὀξυπτέροις θεοῖς· ἡλίῳ καὶ ἀνέμοις· καὶ ἄστροις· καὶ ἔρωτι· ὑφ' ὧν κἀγὼ πτερὸς γενόμενος, δεῦρο ἐλήλυθα, κινηθεὶς προφάσει κρείσσονι· μή μου τὴν ἱκεσίαν ὑπερίδης· οὐδὲ γὰρ τὸν πέλοπα ἱπποδάμεια ἠτίμασε ξένον ὄντα καὶ βάρβαρον· οὐδὲ ἡ ἑλένη τὸν δι' αὐτὴν πα ρόν-

ται. οὐδὲ Φυλλὶς τὸν ἐκ τῆς θαλάττης, οὐδὲ ἀνδρομέδα τὸν πρὸς αὐτὴν καταπτάντα. ἤδεσαν δὲ ὡς παρὰ μὲν τῶν ἐγχωρίων, μίαν πόλιν λαμβάνουσι, παρὰ δὲ τῶν ξένων πολλάς. εἰ δὲ δοκεῖ, φέρε ἐπίσου θήλειας γενέσθω τὸ πρᾶγμα. ἢ ἐνταῦθα ἀμφότεροι μένωμεν, ἢ μετὰ ἀλλήλων ἐκεῖσε ἀπέλθωμεν. οὐδὲ χρὴ γὰρ ἐνταῦθα οὖν ὡς γενέσθαι μὲν ἰχθὺς ξένος, οὐκ ἀνέχεται. χαίρει δὲ μεταβολαῖς τῆς γῆς οὔσης μιᾶς. τί δὲ ἀγοραὶ παρ' εἴδες ἢ μέτρα δὲ ἀλλάττειν νομοθετῶν, ὅρους τε πύλαις διαγραφόντων τὰ οἰκεῖα. ἵνα τοῖς εὐνοίαις στενοχωρώμεθα ὑπερβαίνειν οἰκονομοῦντες τὸ ἀναίτιον τῆς χωροφιλίας. τὴν μὲν ἱκανὴ ἐγὼ τοῦ ἔρωτος ξένος. σὺ τοῦ κάλλους. οὐ γὰρ ἡμεῖς πρὸς ταῦτα ἀπήλθομεν. ἀλλ' αὐτὰ πρὸς ἡμᾶς κατῆλθε. τὴν παρουσίαν αὐτῶν δεδέγμεθα ἡδέως. ὡς τὴν τῶν ἄστρων οἱ πλέοντες. εἰ δέ μοι τὸ ξένον εἶναι μὴ γίνεται πρὸς τὸν ἔρωτα ἐμποδὼν, μὴ δὲ σοὶ κώλυμα ἔστω πρὸς τὸ συνιέναι τῶν ἐρώντων. τάχα γὰρ καὶ φυγάδα εἶλεν νυμφίον. ὡς πρὸς ἄδραστος τὸν πολυνείκην καὶ τὸν τυδέα. οὓς γαμβροὺς ἐποιήσατο ἐπὶ τῆς βασιλείας ἐκτισεν. εἴ τις ἀποκλείει καὶ ξένον πῦρ ὃς ἐνοῦσαι θέλοντα, ἀγαθὸν καόμενον σβέσαι. μὴ λακώνιζε ὦ γύναι. μὴ δὲ μιμοῦ τὸν λυκοῦργον. ξενηλασίαν ἔρως οὐκ ἔχει.

Μειρακίῳ.

π Ὁσάκις σοι τοὺς ὀφθαλμοὺς ἀνέῳξα ἵνα ἀπέλθῃς ὥσπερ οἱ τὰ δίκτυα ἀναπετάννυντες τοῖς θηρίοις εἰς ἐξουσίαν τοῦ φυγεῖν. σὺ δὲ μένεις ἑδραῖος κατὰ τοὺς δεινοὺς ἐποίκους. οἱ χώραν ἅπαξ ἀλλοτρίαν καταλαβόντες, οὐκέτι δέχονται τὴν ἀνάστασιν. καὶ δὴ πάλιν ὥσπερ εἴωθα ἐπαίρω τὰ βλέφαρα. ἄπιθι ἤδη ποτὲ καὶ τὴν πολιορκίαν λῦσον. καὶ γενοῦ ξένος ἄλλων ὀμμάτων. οὐκ ἀκούεις, ὅστις μᾶλλον ἔχει τοῦ πρόσω καὶ μέχρι

τῆς ψυ

τῆς ψυχῆς, καὶ τίς ὁ ἱκανὸς ἐμπρησμὸς κινδυνεύων αὐτῶν ὕδωρ κομίζει δὲ οὐδεὶς· ὅτι τὸ σβεστήριον εἰς ταύτην τὴν φλόγα, ἀπ' ἐρῶντος· εἴτε ἐκ πηγῆς κομίζοι τις εἴτε ἐκ ποταμοῦ λαμβάνοι. καὶ γὰρ αὐτὸ ὑπὸ ἔρωτος τὸ ὕδωρ καίεται.

Γυναικί.

Εἰ τὸ καλὸν ἀνδρολήψιον τοῦτο. τίς ἡ τυραννίς. ἕλκεις με ἀπὸ τῶν ὀμμάτων, καὶ σύρεις μὴ θέλοντα ὥσπερ τοὺς πλέοντας ἡ χάρυβδις ἀνερρόφα. ᾔσθην ἄρα καὶ ἔρωτος πέτραι καὶ ὀφθαλμῶν κυλίνδματα, οἷς τις ἅπαξ ἐνσχεθείς, καταδύεται. τοῦτο μὲν οὖν ἐκεῖ χεῖρον τῆς χαρύβδεως. ἐμπρόθεσμον ἐκεῖνο τὸ ναυάγιον. καὶ μικρόν τις ἀναμείνας, σωτηρίας εὐπορεῖ, δένδρον ἀπειρῶν ἐν πελάγει μέσῳ. ὁ δὲ εἰς ταύτην ἅπαξ τὴν θάλασσαν καταρρυείς, οὐκ ἐπεξέρχεται.

Μειρακίῳ.

Οὐδ' ὄρνις αἱ καλιαὶ δέχονται. οὐδ' ἰχθύας αἱ πέτραι. τὰ ὄμματα τοὺς καλούς. κἀκείνων μὲν, πλάναι μεθισταμένων καὶ μετοικιζομένων ἄλλοτε ἐπ' ἄλλους τόπους. ἄγουσι γὰρ αὐτοὺς ὡς ἄγουσιν οἱ καιροί. κάλλος δὲ ἅπαξ ἐπ' ὀφθαλμοὺς ῥυέν, οὐκέτι ἄπεισιν ἐκ τούτου τοῦ καταγωγίου. οὕτως κἀγώ σε ὑποδεξάμενος καὶ φέρω πανταχοῦ τοῖς τῶν ὀμμάτων δικτύοις. κἄν τε ἔμπορός τις ἐλθὼν τῇ μυκίνειν μαιδακῆς καὶ καθῆσθαι πείθων τοὺς λίθους. κἄν τε ἐπὶ θάλατταν, ἀνάγξεται ἡ θάλαττα, ὥσπερ τὴν ἀφροδίτην ὁ ζεὺς θεός. κἄν τε ἐπὶ λειμῶνα, αὐτῶν τῶν ἀνθῶν ὑπερέχεις. καίτοι, οὐδὲν τούτων ἐκεῖ φύει καὶ ἔτι καλὰ καὶ χαρίεντα ἄγει, ἀλλὰ μιᾶς ἡμέρας. καὶ μὴν τὸ τεταμένον πλησίον γιγνόμενον, τὸν μὲν οὐκ οἶδα ὅπως ἠφάνισται ἀέρα ἀντὶ κόσμου νομίζω καλὸν καὶ μέγα καὶ πολὺ μεῖζον τῆς θαλάττης. ἀποδῶν δ' εἰς οἶνον, τὸν μὲν ἥλιον ἡγοῦμαι παρῆφθαι,

καὶ ἅτω που βαδίζειν. αὐτῇ ἐκείνου γὰρ φαίνειν ὃν ἐγὼ βούλομαι. εἰ γὰρ γένοιτο νὺξ, δύο βλέπω μόνους ἀστέρας τὸν ἕσπερον καὶ σέ. Γυναικί.

π Ὅθεν μου τὴν ψυχὴν κατέλαβες εὔδηλον. ἀπὸ γὰρ τῶν ὀμμάτων. ἀφ᾽ ὧν καὶ τὰ ἐρύματα οἱ βασιλεῖς. καὶ τὰ ὑψηλὰ οἱ θεοὶ καταλαμβάνουσιν. οὕτω καὶ ὁ ἔρως τὴν τῶν ὀφθαλμῶν ἀκρόπολιν οὐ ξύλοις οὐδὲ πλίνθοις ἀλλὰ μόνοις βλεφάροις τειχίσας, ἣν συνέχει κατὰ μικρὸν τὴν ψυχὴν εἰσδύεται ταχέως μὲν ὡς πτηνός. ἐλεύθερος δὲ ὡς γυμνός. ἄμαχος δὲ ὡς τοξότης. τὰ γὰρ ὄμματα ἐπειδὴ πρῶτα συνίησι κάλλους, διὰ τοῦτο μάλιστα καὶ κάεται. θεοῦ τινος οἶμαι θελήσαντος αὐτοῖς τὴν αὐτὴν ὁδὸν καὶ τῆς εἰς τὸ βλέπειν ἡδονῆς εἶναι καὶ τῆς εἰς τὸ λυπεῖσθαι προφάσεως. τί γὰρ ὦ κακοὶ δᾳδοῦχοι ἔρωτος καὶ τῆς σωμάτων ὥρας πεῖραν (?) μάρτυρες, πρῶτοι μὲν ἡμῖν τὸ κάλλος ἐπυρσεύσατε πρῶτοι δὲ μεμύασθαι τὴν ψυχὴν ἐνεδέξατε τῆς ἔξωθεν ἐπιρροῆς. πρῶτοι δὲ ἐβιάσασθε τὸν ἥλιον καταλιποῦσι, πῦρ ἀλλότριον ἐπαινεῖν. τοιγαροῦν ἀγρυπνεῖτε καὶ κάεσθε καὶ λογίζεσθε ἀπαλλαγὴν ὧν εἵλεσθε εὑρεῖν μὴ δυνάμενοι. μακαρίων ὦ θεοὶ τῶν ἐκ γενετῆς τυφλῶν ἐφ᾽ οὓς ἔρως ὁδὸν οὐκ ἔχει. Μειρακίῳ.

α Πέκλαφόν σοι τὰ ὄμματα, πῶς σοι εἴπω, ὡς οἱ πολιορκούμενοι τὰς πύλας. καὶ σὺ τὴν φρουρὰν λαθὼν, ἔνδον εἶ. λέγε τίς σε εἰσήγαγεν εἰ μή τι τὰ ὄμματα, ἐρωτικὸν καὶ κατὰ τῆς ψυχῆς γενόμενον. ἦγε πάλαι μὲν, μόνα ἐνεθυμεῖτο ἃ ἤθελε καὶ περὶ τὰ κάλλιστα ἐσπουδάκει φιλοσοφοῦσα. καὶ ἦν αὐτῆς ὁ ἔρως τὰ οὐρανοῦ νῶτα ὁρᾶν. καὶ περὶ τῆς κατὰ ταῦτα ὄντως οὐσίας πολυπραγμονεῖν. καὶ τίνες αἱ τοῦ παντὸς περίοδοι καὶ τίς ἡ ταῦτα ἄγουσα ἀνάγκη. τὸ σκέμμα ἐδόκει χαριέστατον. ἡλίῳ συνιδρυμένα

σελήνη. συγκινδυνεύουσι μὲν ἀπιούσῃ· συναυξηθῆναι δὲ πληρουμένῃ τῷ τε ἄλλῳ χορῷ τῶν ἀστέρων συμπλανηθῆναι καὶ μηδὲν ἄβατον μηδὲ ἀθέατον καταλιπεῖν τῶν ὑπὲρ τὴν μυστηρίων· ἀφ' οὗ δὲ ἀνθρωπίνῳ πλησιάσασα ἔρωτι ἑάλω κάλλους ὄμμασι, πάντων ἀμελήσασα ἐκείνων, περὶ ὧν πρὸ τούτου ἐσπούδακε. καὶ ὅσον ἂν τῆς ἔξω μορφῆς αὐγάσῃ, τοσοῦτον ἔνδον συντίθησι· καὶ μνήματα μισθοῦται. τὸ δ' εἴσω παρελθὸν, φῶς μὲν ἐστὶν ἐν ἡμέρᾳ. νυκτὸς δ' ὄναρ γίνεται.

Γυναικί.

Α μὲν σὰ ὄμματα, φιλῶ· τὰ δὲ ἐμαυτοῦ μισῶ. τοῖς μὲν
τ τὴν σύνεσιν πολλὴν συνέγνωκα. τοῖς δὲ, ἀφελῆ περιεργίαν. αἰσχυντά ἐστιν. ἀλλὰ καὶ κρύπτειν οὐδὲν δυνάμενα ὧν ἑώρακεν ἅπαξ. οὐκ ἀφίστηκε γοῦν μου τῇ ψυχῇ λέγοντα. οὐκ εἶδες τὴν εὔνομον, τὴν εὐπρόσωπον; ἧκε. ἀνάβηθι. ἀλλὰ καὶ γράψον καὶ κλαῦσον καὶ δεήθητι. ἡ δὲ, εὖ μάλα πείθεται. πείθεται δὲ παρακούειν μὴ δυναμένη λύχνων δορυφόρων. καὶ τὴν μὴ βουλομένην, σύροντες ἔξω καὶ βιάζονται φρονεῖν, ὅσα αὐτοὶ προλαβόντες ἐπῄνεσαν. ἀμέλει πρὶν ἐρωτᾶν εἰς γῆν καταπίπτειν, μόνον τὸν ἥλιον ἠπίστατο ἡ ψυχὴ καλόν. καὶ τοῦτο αὐτῇ τὸ θέαμα καὶ θαῦμα ἦν. γευσαμένη δὲ ὥρας ἀνθρωπίνης, ἐκ μὲν τῆς σπουδῆς ἐκείνης κατέπεσεν. εἰς δὲ θητείαν ὑπῆλθεν οὐρανοῦ. ὡς ἔργα θυραυλικὰ καὶ χαμαικοιτίαι καὶ ἡ πρὸς θάλπος καὶ χειμῶνα ἀντίταξις καὶ ἡ μὴ ἀνάπαυσις ἐπώσε. πρὸς τὸν ἀντεραστὴν μάχη. τούτων δὲ ἓν πάντων σὺ τὸ φάρμακον. ἔργον ἐφημέρου σώματα ἀθάνατα, καὶ βραχείας σώματος ἡδονῆς, μνήμην ἀντιλαβοῦσα ἀγήρω. ἃ μὲν τῆς φύσεως, κοινὰ καὶ ῥᾴδια τοῦ θήλεος παντός. ἃ δὲ κέκτησαι τί τούτων, οὔτ' ἂν εἴποιμι. ὅσα εὔνοια. καὶ μνήμη καὶ τὸ ἀφθὸν καὶ μήτηρ καὶ πατὴρ ᾕρηται.

Μειρακίῳ.

ε Ἀγαμέμνων ὅτε μὲν ὀργῆς ἐκράτει, καλὸς ἦν καὶ οὐ χεῖρον
θεῶν ἀλλὰ πολλοῖς ὅμοιος. ὄμματα καὶ κεφαλὴν ἴκε-
λος Διὶ τερπικεραύνῳ. Ἄρεϊ δὲ ζώνην στέρνον δὲ Ποσειδάωνι. ὅτε δ' ἐν
χημόνῃ τῇ γλυκύτητι τοῦ θυμοῦ, καὶ πρὸς τοὺς ἑταίρους ἠγρίωτο,
ἔλαφος καὶ κύων ἐνομίζετο. καὶ τὰ τοῦ Διὸς ὄμματα οὐδαμοῦ.
σῦς μὲν γὰρ ὀργίζεται καὶ κύνες καὶ ὄφεις καὶ λύκοι καὶ ὅσα ἄλλα
οὐ χρῆται λογισμῷ θηρία. καλὸς δὲ αὐτὸς καὶ μὴ γελάσας μόνον
λυπεῖ. μή τοί γε καὶ σκυθρωπότερος ἑαυτοῦ γενόμενος. οὐ πρέπει
δὲ οὐδὲ ἡλίῳ τοῦ προσώπου νεφέλην προβάλλεσθαι. τίς ἡ κατή-
φεια αὕτη. τίς ἡ νύξ. τί τὸ συννὸν σκότος τοῦτο. μειδίασον. καὶ τά-
στηθι. ἀπόδος ἡμῖν τὴν τῶν ὀμμάτων ἡμέραν.

Γυναικί.

Χθές σε ὀργιζομένην κατέλαβον καὶ ἔδοξα ἀγρίαν βλέπειν. τὸ
ε δὲ αἴτιον, ἡ τοῦ θυμοῦ ἔκστασις, ἀκριβῶς σοι συγχέασα
τὴν τοῦ προσώπου χάριν. νῦν δὴ μετάποιε σεαυτήν. μηδὲ ἄγρι-
ον βλέπε. οὐδὲ τὴν Ἀφροδίτην καλὴν ὅταν ὀργίζηται ἢ δακρύῃ.
οὐδὲ τὴν Ἥραν βοῶπιν ὅταν χαλεπαίνῃ τῷ Διί. οὐδὲ τὴν θά-
λατταν ὅταν ταράττηται. ἡ δὲ Ἀθηνᾶ καὶ τοὺς αὐλοὺς ἔρρι-
ψεν, ὡς τὸ πρόσωπον αὐτῆς συγχέοντας. ἤδη καὶ τὰς ἐλιν-
νῦς ἡμερίδας καλουμένας ὡς τὸ σκυθρωπὸν ἀρνουμένας. καὶ
τοῖς ἀκάνθαις τῶν ῥόδων χαίρομεν ὅτι ἐξ ἀγρίου θάμνου καὶ λυ-
πεῖν καὶ κεντεῖν εἰδότος γελῶσιν ἐν τοῖς ῥόδοις. ἄνθος δέ τι καὶ γυναικὸς
ἡ τοῦ προσώπου γαλήνη. μὴ τραχεῖα γίνου μηδὲ φοβερά. μηδὲ
ἀποστεφάνου τὸ κάλλος. μηδὲ ἀφαιροῦ ῥόδων σεαυτήν ἃ τοῖς κα-
λοῖς ὑμῖν ἐν τοῖς ὄμμασι φύεται. εἰ δὲ ἀπιστεῖς οἷς λέγω, τὸ κά-
τοπτρον λαβοῦσα, ἴδε σου τὸ πρόσωπον ἠλλαγμένον. οὐ γάρ τι ἐπε-
γράφης. ἢ γὰρ ἐμίσησας ἢ ἐφοβήθης ἢ τὴν ἐνώθεισας. ἢ μετενόησας.

π Ἐπεί σοι μόνως εἰ καλζω· τοῦ δ' ἔργου τὴν αἰσχύνην ὀκνεῖς· εἰς δὲ πράγματα ἀποδιδράσκεις· ἀφ' οὗ τις φίλος γίνεται. οὐκ ἐν Ἰλιόθεν ἐπληρώθη καλῶν τὰ Ὁμήρου ἔπη, τὸν Νιρέα τὸν Ἀχιλλέα εἰς Τροίαν ἄγοντος; οὐκ ἐντεῦθεν Ἁρμοδίου καὶ Ἀριστογείτονος ὅσοι φίλοι καὶ μέχρι τῶν ξιφῶν; ὁ δὲ Ἀπόλλων οὐκ Ἀδμήτῳ καὶ Βράγχῳ ἐθήτευσεν; ὁ δὲ Ζεὺς οὐ τὸν Γανυμήδην ἥρπασεν ᾧ χαίρει καὶ πρὸ τοῦ νέκταρος; μόνοι γὰρ ὑμεῖς οἱ καλοὶ καὶ τὸν οὐρανὸν οἰκεῖτε ὡς πόλιν. μὴ φθονήσῃς ἐραστοῦ σεαυτῷ δυνάμει μὲν ἀθανασίαν οὐκ ἔχοντος, τὴν δὲ αὐτοῦ ψυχὴν ἔχοντος. εἰ δ' ἀπιστεῖς, ἕτοιμος ἀποθνήσκειν, ἂν ἐπιτάττῃς τοῦτο μόνον. εἰ δὲ πλείω τὸν βρόχον ἀπάνθρωπε οὐ καθαιρήσεις;

Γυναικί.

ι Ἐλέγες μοι μὴ βλέπειν, κἀγὼ σοὶ μὴ βλέπεσθαι. τίς τοῦτο κελεύει νομοθέτης; τίς δὲ ἐκεῖνο; εἰ δὲ μηδέτερον κεκώλυται, μήτε σεαυτὴν ἀφαιροῦ τῆς εἰς ἐπίδειξιν εὐδοκιμήσεως, μήτε ἐμὲ τῆς εἰς τέρψιν ἐξουσίας. οὐδὲ πηγὴ λέγει μὴ πίνε· οὐδὲ ὀπώρα μὴ λάβῃς· οὐδὲ λειμὼν μὴ προσέλθῃς. ἕπου γυνὴ καὶ σὺ τοῖς νόμοις. καὶ διψῶντα παύσει ὁ δισπόρον ὂν τὸ σῶμα ἄσπορον ἀπώλεσεν.

Γυναικὶ ὑπάνδρῳ.

τ Ὁ μὲν ἔργον ἄν τε τῷ ἀνδρὸς ἄν τε τῷ μοιχοῦ γίνηται· τὸ δὲ κινδύνῳ σφαλερώτερον, τῇ χάριτι μεῖζον. οὐ γὰρ οὕτως τὸ φανερὸν εὐφραίνει τῆς ἐξουσίας, ὡς τὸ ἀπόρρητον τῆς ἡδονῆς. πολὺ δὲ τερπνότερον τὸ κεκλεμμένον. οὕτω καὶ Ποσειδῶν ὑπῆλθε πορφυρῷ κύματι· καὶ Ζεὺς χρυσῷ ὕδατι καὶ βοῒ καὶ δράκοντι καὶ ἄλλοις προκαλύμμασιν. ἀφ' ὧν Διόνυσος καὶ Ἀπόλλων καὶ Ἡρακλῆς οἱ ἐκ μοιχῶν θεοί. λέγει δὲ Ὅμηρος καὶ τὴν Ἥραν ἰδεῖν αὐτὸν τότε ἡδέως, ὅτε αὐτῷ συνῆει λάθρα. τὴν γὰρ ἀνδρὸς ἐξουσίαν μετέθηκεν εἰς κλοπὴν μοιχοῦ.

Μειρακίῳ.

Καλὸς ἂν μὲν ᾖς θηλυδρίας, πῦρ ἦν· ἂν δὲ ἥμερος, φῶς· μὴ
κάε οὖν ἀλλὰ σῶζε. καὶ τὸν ἐλέου βωμὸν ἐν τῇ ψυχῇ ἔχε.
ἀντιλαβὼν βέβαιον φίλον ὠκυμόρου δωρεᾶς. ἢ φθάσας τὸν χρό
νον ὃς μόνος καταλύει τοὺς καλοὺς ὥσπερ οἱ δημοτικοὶ τοὺς τυράν
νους. ὡς δέδοικά γε, ὁ φρονῶν γὰρ εὑρήσεται, μὴ μέλλοντός σου ἢ βρα
δύνοντος, τὰ γένεια ἐπέλθῃ. ἢ τὴν τοῦ προσώπου συσκιάσωσι χά
ριν. ὥσπερ εἴωθε τὸν ἥλιον κρύπτειν ἡ νεφῶν συνδρομή. τί δέδοικα
ἅπερ ἔστιν ἤδη βλέπειν. ἕρπει μὲν ὁ ἴουλος. αἱ δὲ παρειαὶ χνοάζουσι.
τὸ δὲ πρόσωπον ὅλον αὐθεῖ. φεῦ μέλλοντες ἐγηράσαμεν. σὺ μὲν
θᾶττον εἰκάσαι μὴ θελήσας. ἐγὼ δὲ ὀκνήσας δεηθῆναι. πρὶν οὖν σου
τὸ ἔαρ ἀπελθεῖν ὅλον καὶ χειμῶνα ἐπιστῆναι, δὸς αὐτὸ πρὸς ἔρω
τος. πρὸς τούτων τῶν γενείων ἃ δή με αὔριον ὀμνύωσι. Γυναικί.

Μοιχὸς ἢ πείσας, σφαλερώτατον ἀνάλωμα. ἢ ὀδυνηρὸν
μὴ τυχόντων. τῆς μὲν γὰρ εὐπραγίας κίνδυνος ὁ νόμος.
τῆς δὲ λύπης μισθὸς ὁ ἔρως. φοβεῖσθαι δὲ ἄμεινον, τυχόντα ὧν βού
λεταί τις, ἢ ἀνιᾶσθαι ἀμελούμενον. Μειρακίῳ.

Πανῶσε αὐτισοφιζόμενον τῷ χρόνῳ ἢ περικόπτοντα τὰ
γένεια. ὃ γὰρ ἀπῆλθε φύσει, τοῦτο μὲν δὲ τέχνῃ. ἡδίστη γ' ἡ τῶν ἀπολ
λυμένων ἀνάκλησις. ὥστε ἐμοὶ συμβάλλοντι πείθου. τὴν μὲν κεφα
λὴν, κόμα. ἐπιμελέτωσαν τῶν βοστρύχων. ὡς τοὺς μὲν ταῖς παρειαῖς
συγκαταβαίνειν ἠρέμα. καὶ ταῦτά σου τὰ γένειά τις ἀφαιρείσθω
ῥᾳδίως ὅτι βούλεται. τοὺς δέ, τοῖς ὤμοις ἐπικαθῆσθαι καθάπερ
φησὶν Ὅμηρος τοὺς εὐβοεῖς ὄπιθεν κομόωντας. κεφαλὴ γὰρ ἀνθοῦσα
ἡδίων πολὺ τοῦ τῆς Ἀθηνᾶς φυτοῦ. εἴπερ γε δεῖ ἢ ταύτην τὴν ἀ
κρόπολιν μὴ ψιλὴν ὁρᾶσθαι μηδὲ ἀκόσμητον. τὰ δὲ γένειά σοι ψι-

λὰ ἔ

ἔστω δὲ μηδεὶς ἐνοχλείτω τῷ φωτὶ τούτῳ μήτε νεφέλη μήτε ἀχλύς. ὡς γὰρ οὐχ ἡδὺ θέαμα κεκλασμένα ὄμματα, οὕτως οὐδὲ πέρα καλῶς κομῶντα. εἴτε οὖν φαρμάκοις εἴτε μαχαίραις λεπταῖς εἴτε ἄκροις δακτύλοις, εἴτε ῥύμμασι δὲ πόαις, εἴτε ἄλλῃ τινὶ μηχανῇ πράττε σεαυτῷ τὸ κάλλος μακρότερον. οὕτως γὰρ ἔσῃ μιμούμενος τινὸς ἀγήρω θεούς.

## Γνωμικί.

ε Χθὲς συγκλείσασα τὰ βλέφαρα ὅσον ἡσυχῇ σπεύδω μύξαι πολὺν ἡγούμην τὸν χρόνον. ἀμέλει τοῖς ὀφθαλμοῖς ὡς ἀνεράστοις ἐνεκάλουν. τί δὴ αὐτῆς ἐπελάθεσθε. τί δ' ἐστὶ τὴν φρουρὰν ἐξελίπετε. ποῦ δ' ἐστὶ καὶ τί γέγονε καὶ τοῦτο αὐτὸ μηνύσατε. νομίσας δὲ ἀκοῦσαι, ἀπῆλθον ἔνθα σε ὀψέ ποτ' ᾤμην. καὶ τοῦτο ἐκεῖνο ἐζήτουν ὡς ἠρπασμένην. τί οὖν μέλλω ποιεῖν ἐὰν δ' ἐλάσῃς εἰς ἀγρὸν ὡς περιστικοὶ πολλῶν ἡμερῶν τὰς ἐν ἄστει διατριβὰς καταλίπῃς. ἡγούμην ἀναγκαῖον σαφῶς ἀπολωλέναι μηδὲν ἔχοντα ἡδὺ μήτε ἀκούειν ἔτι μήτε ὁρᾶν. ἐγὼ μὲν γὰρ ἐκτεθεῖσθαι νομίζω καὶ τὴν πόλιν ἀξιοῦσαν καὶ αὐτοὺς τοὺς ἐν ἄστει θεοὺς ἑλκομένους ὑπὸ τῆς θέας. τί γὰρ ἐνταῦθα μόνοι ποιοῦσιν. εἰ δὲ κἀκεῖνοι κατὰ χώραν μενοῦσιν, ἀλλ' ἐγώ γε οὐκ ἀπολειφθήσομαι τοῦ ἔρωτος ἐφόλκιον. εἰ δὲ καὶ σκάπτειν δέοι, λήψομαι τὴν δίκελλαν. εἴτε κλᾶν, θεραπεύσω τὰς ἀμπέλους. εἴτε ἐπαγγυλαχαίνοις ὕδωρ, ὁδὸν ποιήσω τὸν δρόμον. πῶς γὰρ οὕτω τυφλὸς ποταμὸς ὡς σὴν ἔμην μὴ γεωργεῖν. σὺ δ' ἐχόμενος τῶν ἐν ἀγροῖς εἰθισμένων. ἀμέλγειν γάλα. μόνων ἡδέως τῶν σῶν μαστῶν ἀπομύει.

Φ

τ Ιμοντὰ γένεια ὦ παῖ δεικνύεις. οὐ πώποτε κάλλους ἀλ-
λ' ἀρχὴ τὸ μὲν γὰρ ὀξὺ τῆς ὥρας παρελήλυθεν ὅσον
ἐπιπόλαιον καὶ ἄπιστον, τὸ καθάπερ πυρὸς ὁρμὴ σβέννυ-
ται. τὸ δὲ ἑδραῖον καὶ βέβαιον μένει. χρόνος δὲ οὐκ ἐλέγχει τοὺς
ἀληθῶς καλούς. ἀλλὰ δεικνύει καὶ μαρτυρεῖ μᾶλλον αὐτοῖς ἢ φθο-
νεῖ. τὴν γοῦν ὑπήνην καὶ Ὅμηρος λέγει χαριεστάτην. ... ἐὰν ὡς
κάλλος καὶ βλέπειν καὶ ποιεῖν. ... οὐδέποτε τοῦτο ἀπεφαίνετο,
εἰ μὴ πρῶτος αὐτὸς ἐρώμενος ἦν ἢ τὰ γοῦν γένεια καὶ κατεφίλησε πρὶν
μὲν ... αὐξεῖν, ὅθεν ἀπεῖχον γυναικὸς ἀεὶ σοῦ παρειαὶ ὅσον αἱ πολλαὶ
διαυγεῖς. ὅτε δὲ ἤδη χνοάζεις, ἀνδρικώτερος εἶ σεαυτοῦ,
καὶ τελεώτερος. ἀλλὰ τί ἤθελες μηδὲν εὐνούχου διαφέ-
ρειν τοῖς γένεια ἀπαρχαὶ καὶ σκληρὰ καὶ λιθίνοις
ὅμοια, αἰσχύνονται γοῦν οἱ ἀλιτήριοι ταύτῃ
τῇ τομῇ μᾶλλον ἢ ἐλευθέρᾳ. τὴν μὲν
ἀπόρρητον νομίζοντες.
τὴν δὲ σαφέστατον
ἔλεγχον τοῦ
ὅλως.

*

# ΘΕΟΦΥΛΑΚΤΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ ΤΟΥ ΣΙΜΟΚΑΤΟΥ ΕΠΙΣΤΟΛΑΙ ΗΘΙΚΑΙ ΑΓΡΟΙΚΙΚΑΙ ΕΤΑΙΡΙΚΑΙ.

## Ηι. Κριτίας. Πλωτίνῳ.

Τέττιξ ὁ μουσικὸς πρὸς φαντασίαν μελῳδίας ἀπάρχεται· ᾠδικώτερος δὲ τοῖς ᾄσμασι καὶ τὴν φύσιν λαλίστερος ὥρᾳ μεσημβρίας γνωρίζεται· ἀκτίνων ὥσπερ ἡλιακῶν μεθυσθεὶς ὁ μικρός. τερετίζει γοῦν ὁ μελῳδὸς βῆμα τὸ δένδρον ποιούμενος· θέατρον τὸν ἀγρόν. καὶ τοῖς ὁδίταις τὴν μουσικὴν ἐπιδείκνυται. ᾆσαι οὖν καὶ ἡμᾶς τὰς σὰς ἀρετὰς ἐπειγόμεθα. εἰ θάλπουσι γὰρ καὶ ζωπυροῦσι πρὸς ἐγκώμιον τὰ ὑμέτερα. πάλαι γὰρ νεκρωθέντας ἡμᾶς τῷ ῥυπώδει βίῳ, ἐκ τῶν σῶν γραμμάτων πρὸς ἀρετὴν ἐψύχωσας. οὕτω χρησίμην ὁ Κριτίας Πλωτῖνος. ἢ σώματος ἐκ τῆς φιλοσοφεῖ ὁ ἐπὶ γῆς. ἡ φιλοσοφία σωματωθεῖσα μετ᾽ ἀνθρώπων ὡς ἄνθρωπος ἀναστρέφεται.

## Αγ. Δόρκων. Μόσχωνι.

Ταξίαρχος τῶν προβάτων ὁ θαυμαστός μοι κριὸς ἀπόλωλε. καί τοι μαντικῶς ἡ γημονίας χρησμῳδεῖ τὰ θρέμματα. κακόν τι πεπόνθαμεν μέγιστον. καὶ τί μοι δεῖ χαλεπαίνειν τὸν ποιμένα. οὐ γὰρ τοὺς ἀμέλειαν αὐτὸν ἀπαρχῆς ἐπιτιμήσομεν. διὸ πρὸς ἄστυ χωρῶ τὸν ὀργίλον πρὸς

βουσόμενος· καὶ τοῖς πολίταις τὴν ἀπήνειαν διηγήσομαι. φύσεως, διὰ μελιττοῦται ὁ ποιμὴν τοῦ ποιμνίου μου τὸν ἐπεμόρξας διώλεσεν.

## Ετ. Θεανὼ Εὐκλείδῃ.

Φυσικός σοι κόσμος πρὸς χάριν, ὦ ῥυτίδων ἐστὶν ἡ εὐπρέπεια. σὺ δὲ χαρὰ τῇ ἐν τῶν χειρῶν τὴν ἀλήθειαν ὑποπλάστῳ κόσμῳ γὰρ ἐραστὰς ἐκφαυλίζουσι. πειθάρχει χρόνῳ γραΐδιον· ἡ γὰρ εὐπρεπεῖς οἱ λαμπόντες ἐν μετοπώρῳ τοῖς ἄνθεσι. μέμνησο καὶ θανάτου. τούτῳ γὰρ ἐγγειτνιάσας καὶ σωφροσύνην ἐξ ἀνάγκης ἀσκεῖν ὑπὸ τῆς ἡλικίας. τὸ γῆρας γὰρ ἀδικεῖς καὶ νεότητος. τὴν μὲν γὰρ ἐπαγγελλομένη διέφθειρας. τὸ δὲ κειμένην ἐνέδυσας.

## Ηθ. Εὐαγόρας Ἀντιπάτρῳ.

Ῥοῦς ὁ δημιουργὸς ἐν τῷ θαλαττίῳ διετάξατο κλύδωνι. τοῖς αἰγιαλοῖς τὸ πελάγιον κεχαλίνωται ῥεῖθρον· καὶ ψάμμος τις ὑπὸ μικρὰ ἠπείρῳ ἢ θαλάσσῃ μεθόριον. οὐ γὰρ ἀδικεῖν ἡ θάλασσα τὴν γείτονα γῆν συγκεχώρηκε· παλινδρομεῖ δὲ πρὸς ἑαυτὴν τὸ ῥεῖθρον μαινόμενον. μεγάλην ἀπειλήσασα τῇ χέρσῳ τὴν ἔφοδον. ὅρους τοιγαροῦν ὦ Ἀντίπατρε τῷ σῷ νομοθέτει θυμῷ, ὑπηρέτιν χεῖρα τῆς ὀργῆς μὴ ποιούμενος. ἡ μὲν γὰρ συμφιλοσοφεῖν ταῖς χερσὶ καὶ τὴν γλῶτταν, ἐντελεστέρας ἀρετῆς ὅρος ἀκρότατος. εἰ δὲ μὴ ταύτης κρατεῖν οἷός τε ὦ,

ὕβρεως

ὕβρεσι τὸν θυμὸν ψυχαγωγεῖ. ἐκεῖνοι ὕλαι χρυσῶν ἐοικέναι βεβλῆσθαι. ὅτω γὰρ καὶ χαλεπαίνουσα θάλαττα, ἀφροῦ περιττέρω καὶ σάλου τὰ τῆς ὀργῆς οὐκ ἐνδείκνυται.

Ἀγρ. Αἴγειρος. Πλατανῷ.

κ Ἀκὰς γείτονας ὦ φίλε τοὺς γεραιοὺς κεκτήμεθα. πόλεμον ἀθάνατον περὶ τὸ πεδίον ἔχουσιν ὅτε δὲ τοῖς πατράσι τοῖς ἡμετέροις ἐσπείσαντο. οὔτε τοῖς μετ' ἐκείνους ἡμῖν τὸν πόλεμον διελύσαντο. καίτοι ἀπαρχαῖς τοῦ θερισμοῦ, πολλάκις αὐτοὺς ἐτιμήσαμεν. ἀγαθὴν μοῖραν τοῦ γηδίου τινὰ ὥσπερ ὄργια δὴ θεῶν τοῖς ἀχαρίστοις δεδώκαμεν. ἀλλ' οὐκ αἰδέσιμα τὰ δῶρα παρ' ἐκείνοις ὡς ἔοικε. τοιγαροῦν ἅπαντες τὴν ἐντεῦθεν ἀπαιρόμεθα. πέτρας γὰρ ἡμῖν γεωργεῖν συμφορώτερον, ἢ πεδία καὶ γηλόφους οἰκεῖν, χαλεποὺς κεκτημένοις τοὺς γείτονας.

Ἑτ. Ἐρατὼ Τερψιθέᾳ.

τ Ὃν χρυσοῦν Καλλικράτην εἰκόνα σοι γεγραφέναι φασί. τὴν δὲ γραφικὴν Τερψιθέαν οἶμαι δηλοῦν, ἀλλὰ τὴν λαικαίναν ἑλένην καὶ μὰ τοὺς ἀψευδεῖς Πραξιτέλους πίνακας. τοιγαροῦν αὐτῇ τέχνῃ τὴν φύσιν ἠδίκηκας. τὴν μὲν συνθεῖσα τῆς σοφισαμένη. ψεύσασθαι γὰρ τὴν Πραξιτέλους τέχνην ἠνάγκασας. καὶ τὰ μὲν προσόντα σοι διαποικίλλεις τοῖς πίναξιν, ὥσπερ τὰ τῆς φύσεως καλλωπίζουσα σφάλματα. καὶ πολλὴν ἐκείνης τὴν ἀπειρίαν δεικνύουσα. ἐγὼ δὲ καὶ τῷ γραφέως ἐπαινέτης εἰμί.

οὐ γὰρ δὴ τῆς ἀμορφίας εἶναι ζωγράφος ἠὔχετο· καὶ δὴ φύ-
σεως τὴν σοφίαν τεθαύμακα, ὡς κακίστῃ ψυχῇ σώματος εὐπρεπεί-
ας μὴ μεταδοῦσαν.

## Η. Σωσίπατρος. Τραχύνδρῳ.

Ὅμοιος δέ τοῖς ἵπποις ὥς γε μοι δοκεῖ, καὶ μάλα σοφός,
μ ἐπαινῶ γὰρ ἐγὼ τὸ περὶ ταύτας λίαν φιλόστοργον. ἀλ-
λά τις ὁ μῶμος αὐτοῖς. τὴν ὑπομάζιον ἵππον ὅταν
ἐν δέει δὴ θρέψαι μέλλοιεν θεάσοιντο, καὶ πρὸ ῥ ὕστερον τὴν τεκοῦσαν
οἷα συμβαίνει τὴν τοῦ γεννήματος, δρῶσί τι γεννικόν. οὐ γὰρ δὴ
ἑαυτῶν ἐπιλανθάνονται φύσεως. καὶ περιθάλπουσι τὸ μονω-
θὲν κατ' οὐδὲν δυσχεραίνουσαι, ὥσπερ ἔγγονα συνεχῶς τε καὶ συνή-
θη. καὶ φύσις μὲν ταύταις οὕτω φρονεῖν. οὐ γὰρ σόλωνος ἠνά-
γκασε νόμος. μετοχετεύσω τὸν λόγον πρὸς σέ. τὸν ἀδελφιδοῦν
ὑπερορᾷς θύραν ἐκ θύρας ἀμείβοντα. ἀθλίως τὸν τριβώνιον ἀμ-
πεχόμενον. τῶν ἀλόγων ὄντως ἀλογώτερόν σοι τὸ φρόνημα. κύ-
νας ἀλλοτρίους σιτίζεις. οὕτω γὰρ τινὲς περὶ σὲ κόλακας ἐπονεί-
κδότερον. εὐνοοῦσι γὰρ γὰρ εὐνοεῖν δόξουσι μέχρις ὅτου τοῖς σοῖς
ἐντρυφῶσιν ὦ δείλαιος. ὑλακτήσουσι δὲ πάντως καὶ σέ,
ἐπειδὴ κρεωπώλης δὴ ἔναγχος ἐρυγγόμενοι. κολάκων γὰρ φύ-
σις καὶ μνημονικὸν πρὸς κακίαν, καὶ τῶν ἀγαθῶν δυσεπίλη-
στον. ὁ δ' εἴποτε τὸν ἀδελφιδοῦν περίθαλπε τερπόμενος. εἰ δὲ
μή, τὴν πρόνοιαν ἀνταγωνιστὴν ἕξεις πολέμιον τοῖς δακρύ-
οις δὴ φύσεως τὴν ἑαυτῆς ἀκονήσασαν μάχαιραν.

Αγ.

## Ἀγ. Δάφνων Μύρωνι.

Ἔχει τίνος τὸ κοιλαίνεις τὸ πέδιον. καὶ τὸ κατομβρῆ-
μ σαν ὕδωρ τὸ παρ᾽ ἐμοῦ ὀφήσεις ὦ δείλαιος. ἢ τάχα μοι ἐλλι-
μώττειν τοὺς παῖδας διὰ τὸ κάτω ὑγρὸν μηχανᾷ.
τὸ σὸν μὲν γὰρ περιλιμνάζεται πέδιον· τὸ δ᾽ ἡμέτερον καὶ φύ-
σιν ἠγνόησεν ὕδατος. ἐρωτᾷ ἀθῶσαν πρὸς θεῶν αἱ νεφέλαι, εἰ μό-
νῳ τῷ Δάφνωνι ἀφιᾶσι τὸ ὕδωρ. ἀλλ᾽ ἢ περὶ φθόνος μέγα κακόν. εἰ
δὲ καὶ τὸ γείτων εἶναι κεκλήρωται, ἀπαραίτητον τὸ δυστύχημα,
καὶ θανάτῳ μόγις παυσόμενον.

## Ἐτ. Εὐρίππῃ Δεξικράτει.

Νάτῃ φθίνοντος ἀνθεστηριῶνος ἐπανήκειν πρὸς ἡμᾶς
ἐ ἐπηγγέλλω. καὶ διέψευσαι τὰς συνθήκας Δεξίκρα-
τες. ἐμοὶ δὲ καὶ ἀπηθαλώθησαν αἱ φρένες τῷ ἔρω-
τι. καὶ διαλοῦ δίκην τὸ περιστέρνιον ἐκπεφλόγισται. ἀπεκοττα-
βίζον δὲ καθημέραν τὰ δάκρυα. καὶ τὴν σὴν ὀνειροπόλουν ἐ-
πάνοδον. ὁ δὲ τῶν θυρῶν ψόφος, ἀεί μοι φαντασίαν τῆς σῆς πα-
ρουσίας ἐγέννα. σὺ δὲ Δεξίκρατες μετοχετεύσας ἐφ᾽ ἑτέραν τὸν
ἔρωτα. καίτοι τὸ ξένον ἀεὶ τιμιώτερον. τῷ γὰρ ταχίστῳ κόρῳ
αἱ τῶν ῥαθύμων ψυχαὶ δουλαγωγεῖσθαι εἰώθασιν. ἄπιστον τι
χρῆμα πόθος καὶ ἔρωτος. Ἁλωθήσῃ καὶ αὐτός ποτε. τῶν γὰρ
ἀδικουμένων αἱ συμφοραὶ ἐπὶ τοὺς ἀδικήσαντας μετα-
βαίνουσιν.

## Ηθ. Ἑρμαγόρας. Σωστράτῳ.

Ιαν ἀγωνιῶ σ᾽ ἀκηκοὼς τὴν πενίαν ὀδύρεσθαι καὶ κα-
λ κίζειν τὸν πλοῦτον ὡς ὄντα παρὰ τοῖς ἀνθρώποις ἀνώ-
μαλον, τοῖς μὲν ἐφικτὴν, τοῖς δὲ δυσέφικτον ἑαυ-
τοῦ παρεχόμενον κτῆσιν. ὥσπερ βασκαίνουσαν δὴ τούτῳ τοῖς
ἀνθρώποις τὴν φύσιν. εἰ γὰρ ἡλίου λαμπηδόνος τοῖς ἀνθρώποις
ἐπ᾽ ἴσης καὶ πυρὸς ἀφθονία τοῖς ὅλοις ἐστὶ προχειροτάτη, καὶ πο-
ταμῶν ῥέεθρα χειμάρρων τε καὶ ἀενάων ἅπασιν ἐστὶν εὐπόριστα,
τί δήποτε ἔφης τὸν χρυσὸν ἡ φύσις οὕτως ἀπηκριβωμένον τοῖς ἀν-
θρώποις διέθετο. καὶ φιλόνεικον δῶρον τοῖς σὺν τέχνῃ ἀπειρημέ-
νοις οὐ μέγιστα κακὰ τοῖς ἀνθρώποις φοιτῶσιν. ἐγὼ δὲ πλατὺν γέ-
λωτα τῶν σῶν καταχέω δογμάτων. αὐτὸν γὰρ τὸν περὶ φύσεως
ἔπαινον ὑπόθεσιν ψόγου πεποίηκας. ταὐτὸν πέπονθας τῇ γλαυ-
κί. ἀβλεψίας γὰρ αἴτιον ἐκείνῃ δοκεῖ τὰς περιφανεῖς ἡλίου ἐκ-
λάμψεις. λυσιτελῶς λίαν μοι τῆς χρυσοῦ τὸ ἀνθρώπειον γένος σωσί-
παξε. ἐντεῦθεν γὰρ καὶ τέχναι περὶ βίον εἰσηνέχθησαν ἢ πολλὰ σώματα ἰάθη-
σαν. καὶ συναλλαγμάτων εὐμάρεια. εἰ δὲ δεῖ συλλήβδην εἰπεῖν, πά-
σης εὐκοσμίας ἐστέρητο ἂν τὸ περίγειον ἐν διαίτημα, εἰ μὴ χρυσὸς
τοὺς ἀνθρώπους ἀλλήλων ἐνδεεῖς ἐτεκτήνατο. οὐ γὰρ ἂν πλωτὴρ
ἐναυτίλλετο. οὐχ ὁδοιπόρος ἐνεπορεύετο. οὐκ ἀροτῆρα βοῦν οἱ γεωρ-
γοῦντες ἐκέκτηντο. οὐ βασιλικῆς ἡγεμονίας ἐπρεσβεύετο σκῆ-
πτρα. οὐκ ἀρχαῖς τε προσφόροις τὸ ὑπήκοον ἐκεκόσμητο. οὐ στρα-
τηγοῖς ἐδημαγωγεῖτο τὸ στράτευμα. εἰ δὲ καὶ ἀπόρρητον λόγον θέλεις
μαθεῖν, ἀρετῆς καὶ κακίας ὁ χρυσὸς τὰς ἡνίας πεπίστευται. ἢ βα-
σανίζει ἡ ἔφεσις ψυχῆς δι᾽ αὐτοῦ. καὶ τῷ κελτικῷ ποταμῷ ἐστὶν ἐν-
φάμιλλος.

φάμιλλον· νόθος γὰρ ἀρετῆς καὶ κακίας ἔλεγχός ἐστιν ἀληθέστατος·

## Αγρ. Καλλίσταχος. Κυναιγείρωνι.

τ Ων ἀκάρπων καὶ ἀνημέρων δένδρων τὴν φύσιν ὁ Σιμιχίδας χρεῖός που ἐνέπρησε. τοιαύτην γὰρ τὴν κατὰ δίκην τῶν ἀπελεσφορήτοις ἐμφῦσαι τοῖς δένδροις. ἡ δὲ τοῦ σαμψάλου πυρὸς φύσις τὴν ὁρμὴν εἶχεν ἀκόλαστον. καὶ τοῦ ἀγροῦ γείτονος ἄφνω τὸ χωρίον ἀπώλεσεν. ὁ δὲ, τὴν διφθέραν ἀφεὶς καὶ τὴν δίκελλαν, πρὸς ἄστυ χωρεῖ ῥήτορα ληψόμενος σύμμαχον. καὶ ὥσπερ Σιμιχίδα δικαστήριον συγκεκρότηται. τοῦτο κἀγὼ κυνηγέσιον ἐκῶν σοῦ σκευωρήσομαι. εἰ μὴ τοιαύταις μελίτταις προστάξειας τῶν ἐμῶν λειμώνων ἀπέχεσθαι. καὶ μαθήσῃ ἀλλοτρίοις ἦρσι μὴ κεκτῆσθαι πρόσοδον ἄδικον.

## Ετ. Μελπομένη. Πραξιμίδῃ.

ε Πὶ τὸ λεωκόριον τὰς διατριβὰς ἡ αὐλητρὶς Χρυσονόη πεποίηται. τάχα που καὶ τέρπειν οἴεται χιοὺς ἐμοὺς ἐραστάς. καὶ φησὶν ἡμᾶς τὸ ὀρνίθιον ἄγαν δυσχεραίνειν ἐπὶ τῷ πράγματι. ἐγὼ γοῦν περὶ πολλοῦ πεποίημαι τὸ πραττόμενον. τοὺς γὰρ ἐραστὰς ὁ ποιοῦντες τυγχάνουσι πρὸς ἡμᾶς τὸ διὰ χρυσογόνης βασανίσειεν ἤδη. ἀλλὰ γενοῦ μοι πρὸς θεῶν ἀψευδοῦς ἀποικείσεως σαφέστατος ἄγγελος. καὶ τῇ λακαίνῃ φράσον. μεγίστας σοι χάριτας τούτου γε ἕνεκα χρυσονόῃ ὀφείλομεν. τῇ σῇ γὰρ ἀμορφίᾳ σεμνότερα δειχθήσεται τὰ ἡμέτερα. ἐπεὶ καὶ

κολωνῷ μὴ φανερώτερος ἀν κόραξ τῷ εὐπρεπεστέρῳ καλοῦ πάθησθε ὄρνισιν.

## Hθ. Ἀρίστων Νικίᾳ.

Ιλομαθέστατον ζῷον φασὶ τὸν ἐλέφαντα· καὶ ἀνθρωπείων διδαγμάτων μαθητὴν ὑπάρχειν δέξιον. οὐ γὰρ ὁ τοῦ σώματος ὄγκος θαυμαστὸς περὶ αὐτὸν, ὅσον ὁ τῆς παιδείας κόσμος πεπίμηται· καὶ ταῦτα μὲν παῖδες περιθρυλλοῦσιν Ἰνδῶν. ἐγὼ δὲ τὸν Νικίου τεθαύμακα τῶν ἀλόγων ζώων ἔχοντα τὸν λογισμὸν ἀλογώτερον. ὑπάρχων γὰρ παῖς ἀνδρὸς σοφιστοῦ, τὰ πατρῷα ἐκλελάκτικας· περὶ δὲ κύβους καὶ παλαίστρας τὴν τοῦ βίου χορηγίαν καταναλώσας· καὶ γέροντας πέρας εὐγενείας τῷ γήρᾳ. εἰ τοίνυν παιδὸς ἀκούειν Ἑρμαγόρου ἐθέλεις, ὅς ποτε πρὸς τὸν ἐκείνου βίον ἐπαίνει, καὶ ἀγαθὸν καὶ ἐς γῆρας σοφία τε καὶ φρόνησις περιῆν· κατὰ τὸ δοκοῦν τῷ Πλάτωνι. εἰ δὲ τὴν πάλαι κακῶν δυσαναχαίτιστος μεθίστασθαι τὸ παιδεύματι σαυτὸν Ἑρμαγόρου κηρύττεις, τυμβωρύχος ἴσθι τοῦ πατρῴου τάφου γενόμενος. τῇ σῇ γὰρ κακίᾳ τὰς ἐκείνου ἀρετὰς καταδύεις.

## Aγ. Μυρωνίδης, Δαμάλλῳ.

Ο χείμμιον ἅπαν ὁ σὸς ἐλυμήνατο παῖς, τὸ κισσύβιον ἀεὶ πληρώσας τοῦ γάλακτος. ὑπὸ δὲ τοὺς πλατάνους ὁ λωποδύτης χωρεῖ· καὶ στιβάδα ποιήσας, ἀμφιρρίμμως ἀναπέπτωκε· καὶ τὸν ἁβροδίαιτον βίον ἀσπάζεται. εἶτα τὴν συνείσακτον κομισάμενος, ὥσπερ ὑπὸ δείπνιον ᾠδὴν τὴν εὐθυμίαν προβάλλεται· καὶ τοὺς ἀγροικικοὺς παραχαράττει θεσμούς. τὰ δὲ θρέμματα

ματα τῆδε κἀκεῖσε διέσπαρται· καὶ πρὸς ἔφοδον οὐδεὶς εὐάλωτος· καὶ δὴ καὶ τοὺς ὄνθους εὐώνως διαπιπράσκει ὁ δείλαιος· καὶ μυρωνίδην ἀδικῶν οὐκ αἰσχύνεται· εἰσίω χθὲς τὴν τρυγίαν λαμπρῶς· ἰχάδες γὰρ ἦν μοι καὶ ἀκρέιδες τὰ ὄψα· ὁ δὲ θεαιτέσιος οὐ γὰρ νεανίας τῶν ἰχάδων τὰ πλεῖστα ἐκβέβρωκε· καὶ τὰς ἀκρίδας οὐκ οἶδ' ὅπως ἐξερρόφησεν. ὁ δὲ τρυγίας ἐκεχέρει· καὶ μοιράν τινα ἔπει μετὰ κόρου κομίζεσθαι οἴκαδε. ἀπίτω μοι λοιπὸν τῶν ἀγρῶν ὁ κλεινίας. τῶν γὰρ πόρρω καλῶν αἱρετώτερόν ἐστιν ἀνέχεσθαι, ἢ πολέμιον οἴκοι τρέφειν κρυπτόμενον.

## Ετ. Αταλάντη. Κορίννη.

Ν τῇ παλαίστρᾳ τὸν αὐγέαν τεθέαμαι κόριννα· τὴν
ε δὲ θέαν οὔτε λόγος ἐκφράσειεν, οὔτε ζωγράφου χεὶρ ἰσομιμήσαιτο· ἦν γὰρ νεανίας, εὐθενής· ὄρθιος τὸ περιστέρνιον λάσιος· οἱ δὲ ὀφθαλμοὶ δορκάδος αὐτῷ· τὸ δὲ βλέμμα οὔτε θυμῷ φοινισσόμενον, οὔτε μαλακώτερον τῇ ὑγρότητι· ἀλλ' αὖ ἀρσενωπὸν καὶ πρᾶον ὁμοῦ. ἡ δὲ χροιὰ τοῦ σώματος, οὔτε πρὸς τὸ θηλυπρεπὲς ἐλευκαίνετο, οὔτε πρὸς τὸ μελάντερον κατεσκίαστο. ἡ δὲ θρὶξ ἠρέμα πως ἐπεκύμαινε τῇ οὐλότητι· καὶ κυανίζουσα ὥρᾳ γαλήνης τὴν θάλασσαν εἰκόνιζεν. ὅτε καὶ τὴν γείτονα χέρσον ἀπαλῶς περιπτύσσεται ῥείθρῳ, τὸ μανιῶδες τοῦ κλύδωνος καὶ βάρβαρον [illegible]· αἱ δὲ παρειαὶ οὔτε κατέρυθροι γυναικώδεις γάρ· οὔτε πάλιν ὠχρότητι τὴν ἀπρέπειαν ἐπισυνάζον· ἡ δὲ ῥίν, λίαν σεμνῶς ἐτετόρνευτο· καὶ πολλὴν ἐν δημιουργοῦ φύσεως τὴν ἐπιστήμην ἀπήλεγχε· τὸ δὲ ἔλαιον ὑποχεόμενον ἡλιοειδῶς περιήστραπτε.

καὶ τοὺς μαρμαρυγὰς τῶν ἐκλαμπόντων, τὴν παλαισταίαν
ἀκτῖνων δίκην ἐπλάζε. πέπονθα κόρεννα τὴν ψυχήν· καὶ δριμυ-
τέρας τῆς ἀλγηδόνος αἰσθάνομαι. ἐρωτικὸν δὲ διηγήσασθαι πά-
θος τὸ γυναικεῖον φῦλον αἰσχύνεται.

## Ηθ. Γοργίας. Ἀριστείδῃ.

Ἀφιζόμενος γίνωσκε. ἐσπαράττομενος αὐτῷ. καὶ συνεσ-
Δ τῶν τοῖς δανεισταῖς κατὰ πλῆθος τῶν φόβων· ὥσπερ θηρί-
οις τισὶ φοβεροῖς ἐντυγχάνειν δοκῶν. καὶ περισκοπεῖς
τὰς τριόδους καὶ πρὸς τὰς στοὰς ἀφορᾷς, τοὺς δανειστὰς θεραπεύ-
ειν ἀγχόμενος· ὥσπερ οἱ ναυτιλλόμενοι ἐν μεγάλῳ τῷ κλύδωνι
λιμένος τυχεῖν ὀρέγονται. ἀλλὰ τὸ καινὸν τὸ κακὸν ὑπονέμεις·
δανειζόμενος παρ' ἄλλων, ἄλλοις ἀποδιδοὺς τὸ ὄφλημα,
ταυτὸ ποιῶν τοῖς διὰ φόβον θανάτου κατακρημνίζουσιν ἑαυ-
τούς. ἐπειδὲ τὸ δανείζεσθαι πολυχεδὲς τοῖς ἀνθρώποις ἐστὶ κακόν.
καὶ μυθικῆς ὕδρας τοῖς αὐτομάτοις γεννήμασιν ἐστὶ χαλεπώ-
τερον. κἂν τοῖς καθ' ὕπνον φαντασίαις εὐλαβοῦ τὸ δανείζεσθαι.
οὕτω γὰρ ἐλευθέρως τὰς ἡλιακὰς ἀκτῖνας προσβλέψεις. καὶ τὸν
ὑπὲρ γῆς ἀέρα λίαν προσηνῶς ἀναπνεύσεις.

## Α γγ. Λόφων. Πεδιάδῃ.

μ Ἡ εἰκοστοῦ ὥρας ὁ Λυκίσκος κακὸν δὲ ἡμῖν ἔτρεφε τὸ χρ-
εἰς νυμφεῖον περὶ τὸν μόρον τῶν λοφιδίων. ἐμοὶ συστράτῳ συνε-
κεκρότητο δικαστήριον. ὁ δὲ Λυκίσκος ὅλας τὰς φρένας
διέφθαρτο

διέφθαρτο. ἡ χρυσοῦ τὸ δικαστήριον θεάσασθαι ὠρέγετο. τοιοῦτον φιλόχρυσον καὶ θᾶσσον κατεῖχε τὸν δύστηνον. τοῦτο καὶ σωκράτους ἀν- γνοὺς, χρυσοῦ τὴν νίκην ὠνήσατο. ἡ τὸν λοιμὸν τοῖς δώροις τοῦ ἀπόλλωνος ἐπέβυσεν. ἡ πρεσβύτερος δὲ ἦν διέφθαρται. ἡ χρυσὸς τ' ἀνθρώποις τὸ νικᾶν πολλαπλασιάζεται. ἡ γὰρ ἰσόρροπος κεῖσθαι ἀπόλωλε. δῶρα γὰρ μᾶλλον ἢ τὸ δίκαιον ἀξιόπιστον.

## Ετ. Ερωτύλος, Υψιπύλῃ.

Ρόδοι καὶ φοίνικες ἔρωτι φυσικῷ. καὶ τοῦ θήλεος τὸ ἄρρεν ἐφίεται. καὶ περικυρτοῦται ὁ ἄρρην τῷ ἔρωτι. καὶ τῇ κόμῃ τῆς ἐρωμένης προσπλέκεται. εἰ δὲ καὶ πόρρω τὸ θῆλυ τοῦ ἄρρενος εἴη, ψῆνας ἐκ τῆς θηλείας ἀράμενοι, τῷ ἄρρενι περιάπτουσι καὶ συμπλέγματι ψυχαγωγοῦσι τὸν τούτου ἔρωτα. εἰ τοίνυν ἐπεμήκυνεν θᾶττον οὐχ ἥκεις εἰς πρὸς ἡμᾶς, περιήγραψέ μοι διὰ ζωγράφου τὸν ἔρωτα. καὶ τὸν ἀξίαν ἡ γραφὴ φαντασίας τῆς σῆς περιεχέτω μοι θέαμα. ἱκανὴ γὰρ καὶ δόκησις τοὺς ἄγαν ἐρῶντας συμπλέκεσθαι.

## Ηθ. Διογένης. Χρύσῃ.

Λούτουσε ταμίαν, οὐ δεσπότην χρημάτων εἶναί σοι φημί. τοιαύτην γὰρ τὴν καταδίκην οἱ σοὶ κατὰ τοῦ σοῦ προσενεγκαν τρόποι. ἀγαθοῦ γὰρ μετέχειν τινὸς τὰς ἀνοσίους οὐ θέμις ψυχάς. κατορύττεις τοίνυν τὴν γῆν καὶ τὸν χρυσὸν περιφρουρεῖς βιοσάβλιε. οὐ γὰρ σὸς ἀλλὰ παρὰ σοὶ ὁ πλοῦτος εἶναι

πεπίστευται. τὸ Φρυγὸς γὰρ Μίδου τὴν κακίαν ζηλώσας, λιμώττων πλουτεῖς, βρόχοις ὥσπερ, χρυσοῖς ἀπαγχόμενος.

Αγ. Χλοάζων. Μήκωνι.

α Χρυσᾶς χθὲς μήλων πέπομφα τῇ ποθουμένῃ. ἡ δὲ τὴν κρόκην ἀπέρριψε. καὶ διὰ ἱερουργίας εὐθὺς ἐξανίστατο. καὶ λαβοῦσα τὰ δῶρα τοῖς χοίροις διέρριψε. καὶ τὸν πρέσβιν ὡς ἀπαίσιον ἄγγελον ἀπεπέμψατο. ἐγὼ δὲ κλάω. φοβοῦμαι γὰρ ἔρως ἡμᾶς ἀδικεῖ, ἀπρεπῶς κόρης βιαζόμενος. τυφλώττουσι τύχη καὶ ἔρωτες. οἱ μὲν τὰς ἀλγηδόνας, ἡ δὲ τὴν εὐδαιμονίαν εἰκῇ καὶ ὡς ἔτυχε παρεχόμενοι.

Ετ. Παρθένικα Ροδόπῃ.

α Δεῖς ἀμούσως καὶ λυπεῖς οὐ τέρπεις τοὺς ἐραστάς. τραγῳδίαν γὰρ ἀναμιγνύεις οὐ θελκτήριον ᾠδὴν τοῖς ἀκούουσι. καὶ δακρύουσιν οἱ ἐρασταὶ αὐλούμενοι. σώφρονας γὰρ αὐτοὺς ἀντὶ λαγνῶν τὰ σὰ διδάσκουσιν ᾄσματα. ὃ γὰρ ἐπαγγέλῃ τὴν μελῳδίαν πεποίησαι. Φεῖσαι τοίνυν πρὸς θεῶν ἀνιωμένων ἡμῶν. οὐ γὰρ αὐλητρὶς ἀλλὰ θρηνήτρια τοῖς θεαταῖς εἶναι δοκεῖς. καὶ κηρῷ τὰ ὦτα πάντες ἐμφράζοιμεν, εἰ μελῳδίαν ἀσκήσειας. σειρήνων γὰρ ἢ μουσῶν ὀδυρομένων ἀκούσαιμεν.

Ηθ. Αντισθένης Περικλεῖ.

ο Φιλίππου παῖς Ἀλέξανδρος ἐπὶ ταῖς εὐτυχίαις οὐδαμῶς ἐπετύφωτο. ἀλλ᾽ ἐφιλοσόφει τὰ διὰ τύχης φυσήματα

τα μεγίστους εὐφημίαις οὐκ εἰωθὼς διαλεάζεσθαι. διά τοι τοῦτο ἐν τῇ τοῦ πολέμου ῥοπῇ θεασάμενος πεπτωκότα Δαρεῖον, τῇ χλαμύδι τὸν ἐχθρὸν περιέστειλεν ἀρετῆς καὶ τύχης ἐνδεικνύμενος εὐψυχίαν. ἐντεῦθεν ἐλοιδόρει τὸν Ἀλέξανδρον τὸ ὑπήκοον ὡς ἐλεῶν ἔξηλαμα τοῦ βασιλέως ἡ εὐσέβεια. ὁ μὲν γὰρ Ἀλέξανδρος ἅτε δὴ φιλόσοφος ὤν, ἐδεδοίκει τὸ τῆς τύχης ὡς ἔοικεν ἄδηλον. διὸ καὶ πλείστων αὐτοῦ ἀπελαθέντων ὑφ' ἑαυτοῦ εὐτυχημάτων, ἔφη, ὦ Ζεῦ, μεῖζόν τι τῶν ἀγαθῶν καὶ δυστύχημα. οὕτως εὐλαβεῖσθαι τοὺς εἰς ἄκρον εὐεξίας ἐμφρονέστατα ὁ Ἀλέξανδρος. εἰ μὲν γὰρ γειτνιῶσαν τοῖς ἐσχάτοις τὴν φύσιν ἠγνόησας, μετ' αὐτὸ πολὺ τὴν πεῖραν ἔχεις διδάσκαλον. καὶ τῆς γνώσεως ἔξεις πρεσβύτερα τὰ μαθήματα. εἰ δὲ τυφλώττεις ἑκών, χαλεπωτέρας τῆς ποινῆς τεύξῃ, πλημμελημάτων ἐκ γνώσεως εἰσπραττόμενος δίκας.

## Ἀγρ. Ἀσταχύων Μίλωνι.

Οὐκ ἀγροῖκον τοι κωμήτην ἐκκάθαιρε. τὰς ἐμὰς γὰρ ἐλυμή-
τ νω μελίττας. μὴ παρέχε πρὸς θεῶν πράγματα τοῖς ἀ-
δροῖς γεωργοῖς. οὐδὲν κηφήνων ἡμῖν διαφέρων ὤν. τί δήποτε χαλεπαίνεις ἀλόγως τῷ γείτονι. εἰ μὴ τῆς κακίας ἀποστα-ίης ὦ πόνηρε, τὴν σὴν ἀκολασίαν τοῖς ἐμοῖς ὑπογράψαι μιθυροῖς τοῖς ἐγχώροις τὴν ἀδικίαν ἐνδείξαιμι, ἵνα σε πάντες ὥσπερ τι κακὸν δυσσύντευκτον ἀποφεύξωνται.

## Ἐρ. Τελέσιλλα. Λαΐδι.

ὸ Ὑπὲρ φλέβας χρυσοῦ μεταλλουργοὶ ἀεὶ χειμάζοντες οὔτε

φρενοβρύχει τοὶ δὲ τῆς ἐρεβοδιφῶντες ἀπορρέεται, ὀφθαλμοὺς ὑ-
δάτων ἀναζητοῦντες θεασώμεθα, ὅτω περὶ τὴν ἑαυτῶν ἐσπουδά-
κασι τέχνην, ὡς ἐγὼ τὴν πόλιν ἐσκινδαλάβιζον ἅπασαν ἔχων
τὸν Ἀπόλλωνα ἣν μεθεκάσασθαι. τοῦ γὰρ αὐτοῦ πεποιηκέναι
τὴν μονῳδίαν Λευκίππην ἀκήκοα. καὶ ῥαγδαίως σκηπτὸς ἡμῖν
ἐπεδήμησε. καὶ τὸ πάθος ἀπαρηγόρητα φλεγμαίνει μοι δάκρυα.
διὸ δὲ τραγῳδίας συνήθεις ἐσόμεθα. οὐ γὰρ αἰσχυντηλοὶ τὸν ἥ-
λιον θεασόμεθα. οὕτω καὶ Μηδείας καὶ Φαίδρας φοβερώτεροι
γενήσομαι.

## Ηθ. Σωσίπατρος Ἀξιόχῳ.

Ον ἀδελφὸν ἐναγχός σε θάψαι φασί. καὶ λίαν ἐπὶ τῷ
τ πάθει ἀπαρηγόρητα δυσφορεῖν. ἦ πῶς σε φιλόσοφον ἄν-
δρα θαυμάσαιμι, ἐπὶ τοσοῦτον ὑπὸ τοῦ πάθους ὑπερ-
νικώμενον. ὕπνος γάρ τις ἐστὶν ὁ παρ' ἡμῖν θρυλλούμενος θάνατος.
τοῦ μὲν συνήθους τούτου μακρότερος. πρὸς δὲ τὴν μέλλουσαν ἡ-
μέραν βραχύτατος. ἐπὶ μικρὰν ἀποδημίαν οἱ τεθνηκότες ἐστά-
λησαν. οὐκ ἐπὶ πολὺ τούτων ἡμῖν ὁ χωρισμός. καρτέρησον τὴν
διάζευξιν, ἀναμένων αὖθις τὴν ἕνωσιν. μὴ πάθῃς τι φιλοσωμά-
του ψυχῆς. ἐπεὶ δὲ Πλωτῖνος ἐδόκει αἰσχυνομένῳ ὅτι ἐν σώματι
εἴη. οὕτως ἐλύπει τὸν φιλόσοφον, τὸ θνητὸν τοῦτο περισκήνιον.
στῆσόν μοι μέχρι τούτου τὸ δάκρυον. ὅρους νομοθέτει τῇ λύπῃ.
φρονήσει τὸ πάθος θεράπευσον. ἰατρὸς γενοῦ σαυτοῦ. ἔχεις λόγον τὸ
φάρμακον. νηπενθὲς ἄχολόν τε κακῶν ἐπίληθον ἁπάντων. ὅτι ἐκ
κρείττονος ἐπὶ τὸ χεῖρον παράγει ποτὲ ὁ δημιουργὸς τὰ ποιήματα.

Τοῖς

γοῖς οὖν τοῖς τὰ θνητὰ καταλείψωμεν. μεγάλαις γὰρ κηλῖσιν ἐνθάδε τὸ βασιλικὸν τῆς ψυχῆς καταστίζεται. ἐγὼ τὴν γένεσιν ἢ τὸν θάνατον μᾶλλον δακρύσαιμι. τὸ μὲν γὰρ δακρύων ἀρχή· τὸ δὲ τῶν αἰωνίων κατάλυσις. ἄγνοια περιδεεῖς ἡμᾶς ἀπεργάζεται· καὶ θάνατον εὐλαβούμεθα. οὐχ ὅτι κακόν. ἀλλ᾽ ὅτι τοῖς ἀνθρώποις ἠγνόηται. οὐ γάρ τις τὴν γνῶσιν ἀφήρηται. τοῦ τὸν κατήγορον προχειρότατα. μὴ γένοιο τοίνυν τῷ μισοβίῳ ἐφάμιλλος. ἵνα μήπου δόξῃς καὶ τοὺς λίθους τὴν ἀνθρωπείαν φύσιν ἀμείβεσθαι.

Ετ. Κεκροπίς. Δεξικράτει.

τ Ην μαγνῆτιν λίθον ἐρᾶν τοῦ σιδήρου φασί. καὶ τοῦτο ζηλοῦ ἱστοροῦσι τὴν λίθον, ὅσον περ ἐρωμένῳ καὶ συνεῖναι. ὁπηνίκα γὰρ ἡ λίθος τοῦ ὁμοζύγου χωρίζηται, παραυτίκα νεκροῦται καὶ τὴν ἑαυτῆς ἐνεργείαν ἀποτίθεται. τοιαῦται προσπάθειαι Δεξίκρατες καὶ τοῖς ἀψύχοις ἐπιγίνονται. ἐγὼ δὲ τί ἂν πάθοιμι Φίλτατε, καὶ τοσοῦτον ἀπολιμπανομένη τῆς σῆς ἐνδημίας. οἶμαι τὸ φρούριον τοῦ παθεῖν χαλεπώτερον. οὕτω λυπήσαιμι τοὺς λυπήσαντας. καὶ βέλτιον γενοίμην τοῖς ἐρῶσι. συνθὴρ ἀφροδίσιος ἡ λάτρις φλογωδέστερος.

Αγ. Θρίσσων Σπείρωνι.

ε πὶ τὴν Αἴτνην τὸ σικελικὸν ὄρος ἀπαίρομεν. εἰπόντες χαίρειν τῇ ἀττικῇ. οὐ πώποτε γὰρ δυστυχεστέραν γῆν πρὸς τὴν ἀπόδοσιν καρπῶν ἑωράκαμεν. ἀντὶ πυρῶν, μυρρίνας· ἀντὶ κριθῶν, κισσὸν ἡμῖν ἀπεκύησε. καὶ ἅλως λιμῷ μοι πεπλήρωται. διά τοι τοῦτο

τῶν προσώπων μοι μὴ ἐκφυσηθέντων σπερμάτων, οὐκ ἂν αὖθις τῇ ἀσυνόμοις καταβάλοιμι. οὐ δύναται γὰρ ὁ σὸς λιμὸν καὶ στρατιώτην ἔχειν πολέμιον. οὔτε δὲ πλωτήρων οἵοι τε εἰσὶ τινδύμασιν ἅμα καὶ κεραυνοῖς ἀντιμάχεσθαι.

Ηθ. Ἡρακλείδης. Ἀντιθέῳ.

ὀ Ὑπωμοι τῆς ὀργῆς ὑφῆκας Ἀντίθεες. καὶ ἔτι χαλεπαίνεις ἡμῖν καὶ κρύπτεις τὴν αἰτίαν προσηνῶν ῥημάτων προσχήματι. ὥσπερ οἱ ἐν αἰθάλῃ σπινθῆρα πυρὸς ταμιεύοντες. ἐκκάθαιρε λοιπὸν τῆς καρδίας τὴν λύπην. τοῦτο γὰρ οἱ ἡμέτεροι λόγοι πρεσβεύουσιν. εἰ δὲ μὴ, τῆς θαλάσσης ἀπηνέστερος ἔσῃ. καίτοι δύναται γὰρ ἐκείνης τὸ ἄγριον. καὶ παρέχει τοῖς πλωτῆρσιν ὄψιν φιλάνθρωπον, ὁπηνίκα τῷ ἡλίῳ φιλοφρονουμένη ἀγὰν τοῖς κύμασι χαλεπαίνουσιν.

Αγ. Λαχάνων Πηγαίωνι.

ἢ Κέ μοι πρὸς τοὔλαιον αὔριον. ἐνδημήσαιμι γὰρ τοῦ ἄστεως καὶ δαιτυμὼν ἔσομαι φίλτατε. νυμφίους γὰρ τῷ παιδὶ τὰς ἀπαρχὰς τοῦ ποιμνίου ἀναθήκασμι. δυσνοοῦσι γὰρ ἡμῖν οἱ ἐπιπεσοῦ θεοί. τὰ κατ' ὕβριν ἀπεπλήρωταί μοι τοῦ γάλακτος. οἱ ἄρνες οὐδὲν πεπόνθασι. περιοικοῦσιν αἱ αἶγες ὑπὸ τοὺς δυστυχίας ὥσπερ ἀθυμοῦσαι. πεπαύμεθα πενίᾳ μαχόμενοι δυσνουθετήτῳ θηρίῳ καὶ δυσκόλῳ. δίκην ἕλκουσ τοῖς κεκτημένοις ἐμπολέμιον. φιλοσοφεῖν εὐθέως δεῖ καλόν. ῥᾳθυμοποιόν. καταφερὲς πρὸς λύπην ἀπεριγράφητον. πρὸς αἰτίαν ὀξύρροπον. ἄγρυπνον. φιλομέμφιμον. ὦ μοχθηρὸν καὶ ὢρ ἐφθυρετικόν. ἄδοξον. δυσκαταφρόνητον. αὐτεπίφθονον. εἰ γάρ τις ἐθέλει τηλικούτῳ κακῷ συναπτεῖν. οὐ δεῖ τὴν ἴσην μανίαν νοσεῖν κατακειθέν. ῥίψαντες τοίνυν τὰ τῆς πενίας τῇ πηρίᾳ, ἑτέραν μεταστησώμεθα λῆξιν μετὰ τῆς ψυχῆς ἀμείψαντες

τὸ

τὸ φρόνημα.

## Ετ. Ῥοδίνη. Καλλιόπῃ.

ε Γὶ τῶν ἐραστῶν διασύρεις καὶ σκώπτεις ἡμᾶς τὸ καὶ τό. κε-
χαυνῶσθαί μοι τὸ σύντονον καὶ σφριγῶν τοῦ σώματος δια-
πλάζεσαι· σὺ δὲ τὴν σὴν πανουργίαν κεκρύφθαι δοκεῖς. ἀτελεσφόρη-
τα γὰρ τὰ κυοφορούμενα ἀποσπᾶς ὦ παμμιάρα. τὰς ἀμβλώ-
σεις τούς τε μάλιστα αἱρετωτέρας πεποίησαι, δριμυτέροις φαρμά-
κοις τὰ ζωογονούμενα ἐν τῇ σῇ γαστρὶ περιπνίγουσα. καὶ φονι-
κῶς μαιεύσεις ἀπηνεστέρους ἀπεργάζῃ τοὺς φόνους. παιδοκτόνον ἐμέ-
ρίω ἐδίδασκεν ἀγνώμων ὁμόζυγος τὴν αἱρετὴν τῶν ἀγρίων
τὴν σύμμαχον· σὺ δὲ διὰ τὴν τοῦ κάλλους εὐπρέπειαν, μυρίας συμ-
φορὰς ἀπεργάζῃ πορνίδιον. παῦσαι δῆτα τὴν σὴν ἀπανθρωπίαν
καλύπτουσα· καὶ τὴν ἡμετέραν εὐσέβειαν διαπαίζουσα. φιλαν-
θρωπότερον γὰρ ἡμῖν ὁ τοκετὸς τῆς ἀμβλώσεως. ἴσθι δὲ καὶ σὺ τῶν
σοὶ χαλεπαίνουσαν· καὶ παιδοτομίας τινὰς ῥαθυμοῦσαν μετ-
πράττεσθαι.

## Ηθ. Ἡφαιστίων. Θάλητι.

τ Ὁ μηδικὸν ὄρνεον ὁ ταὧς καὶ τῶν μήδων τὴν ὑπεροψίαν
κεκλήρωται μέγα τι καὶ ὑπέρογκον ὑπὸ τοῦ κάλλους φρο-
νῶν. τοῦ γὰρ καὶ τὴν θάλψαν ἐπιτίθεσθαι δοκεῖ. τὸ πτερὸν τοιγαροῦν
οἷα δὴ κόμην ἀνίστησι. καὶ περιφανέστατον τοῖς ὁρῶσι κάλλος περι-
έχεται· καὶ κυκλικὸν ἀπεργάζεται σχῆμα. καὶ τὸν οὐράνιον εἰκο-
νίζεται κόσμον. καὶ τοῖς ὀφθαλμοῖς τοῦ πτεροῦ τὴν τῶν ἀστέρων
διακόσμησιν ἀναπλάττεται. καὶ τοῦτο μὲν μηδικῶν ὀρνέων ἦθος
φιλόκαλον. οὐ γὰρ βασκαίνουσι, τὴν ἑαυτῶν εὐκοσμίαν ζωγρά-
φους ἀποσκοπούντων. σὺ δὲ τοῖς σοῖς ἐφέξῃ συγγράμμασι. καὶ
τὰς σὰς ἀρετὰς ἐγκαλύπτεις. καὶ τοὺς πόνους ἀνεπιδείκτους

ἕας. τηλικαύτης ὠφελείας ἡμᾶς χηρεύοντας παρ' ὑμῶν. εἰ μὲν οὖν βασκανία τίς ἐστιν ὑμᾶς τὸ λυποῦν, ἀφιλόσοφον τὸ ἐγχείρημα καὶ τῆς ἐπαγγελίας ἀνάξιον. εἰ δὲ ὄκνος, τὴν ἀναβολὴν τὰ μισθώματα, ταυτί ἐστι ἀπόρθητος ἀνδρὶ γεωργῷ πολλάκις τοὺς ἀρῶντας δεδιέναι κότι τῆς γῆς. καὶ θέρος ἀκμῆς μὴ δρεπομένῳ τοὺς στάχυας.

## Αγρ. Πόας. Αμπελίῳ.

δ Εὐροξωναυλίαν γερόντιον κλαύσωμεν. ὁ ποταμὸς ἀνεσκίρτησε καὶ μὲν ἡμῖν ὠρχήσατο σκίρτημα. ὅλον τὸν ἀγρὸν ἐπεκλύσατο καὶ τὰ νεόφυτα τῶν ἀμπέλων ὁ φοβερὸς ἐπεβύθισε. τὸ δὲ μεῖζον δυστύχημα, οὐκ ἔθελε ὁ μιαρὸς τῆς ἐπὶ τὸ βάθει ἀπιέναι ῥεῖν. ἐμφιλοχωρεῖ δὲ τῷ γηδίῳ καὶ κοίτην τὸν ἀγρὸν πεποίηται τὸν ἡμέτερον. καὶ δακρύων ἄξιον ἐστὶν ἰδεῖν. αὐτίκα δ' ἀμπέλους οὓς εἴχομεν γεωργοῦμεν οἱ τάλανες. ὅταν ὁ ποταμὸς ἐθέλῃ, ἀγρεύομεν. ὅταν ἐθέλῃ λιμώττομεν καὶ μέγα τίμαι δῶρον φιλοτιμεῖσθαι δοκεῖ. εἴθε τῷ θέρει τὰς νεφέλας μηδαμῶς ἱκετεύομεν, ὄμβρον ἡμῖν αὐχμῶσι χαρίζεσθαι. οὕτω δὲ ἅπερ κεκτήμεθα, οὐκ ἂν ἀφῃρήμεθα. ποταμὸς δὲ καθ' ἑαυτὸν μὲν ἐπαχθής. εἰ δὲ καὶ ὄμβροι πλουτήσουσιν τοῦ πυρὸς ἐστὶν ἀκρατέστερος. καὶ μεῖζον οὐ χαλινοῖ τὰ φρυάγματα.

## Ετ. Γαλάτεια Θέτιδι.

ε Παινοῦσα σου τὴν φρόνησιν καὶ τὸ λίαν ἐμπειρότατον ἄγαμαι. ὥσπερ γὰρ ἐκ μιᾶς ὀπώδος τινος πυθικοῦ τὰ μέλλοντα θεσπίσωμοι καὶ τοῦ λυγκέως ὀξύτερον τὰ βαθύτερά τε καὶ ἀφανῆ τῶν πραγμάτων ἐσκόπησας. ὁ Καλλίμαχος ἡμᾶς καταλέλοιπε. ἀπέπτη μετεωριζόμενος ὀξυτάτῳ τοῦ κόρου πτερῷ. ἐδραπέτευσεν ἡμᾶς ὁ παμμίαρος καὶ γέγονεν ὁ κόρος αὐτῷ τῆς ἐπιθυμίας πρεσβύτερος. σὺ δέ μοι παρῄνεσας πολλά. ὅρκοις μὴ πείθου γαλάτεια.

ται. ὅρκων τοῖς ἐρῶσιν οὐδέν ἐστιν εὐχερέστερον. ἐρωτικῶν γὰρ οἱ νέοι μεθύοντες ἢ ὀδυρμῶν, καὶ τὸ καλῶς ἀφαιροῦνται βουλεύεσθαι. καὶ πράττουσι καὶ φθέγγονται ὅσα νομοθετοῦσιν οἱ ἔρωτες. οὐ γὰρ αὐτοκίνητον ἔχουσι τῶν πραγμάτων τὴν ἔφεσιν. ἀπιστία πίστεως ἐστὶν ἀσφαλέστερον. ἢ πρὸς ἅπαν τὴν ὅρκος σοφιστής ἐστιν ἀξιόχρεως.

## Ηθ. Θεμιστοκλῆς Χρυσίππῳ.

Πάλαι δὴ σωφροσύνη καὶ παρὰ τῷ μύθῳ τετίμηται, ἄγε δὴ τὰ χρυσίππεια μυθολογήσωμαί σοι μῦθον οὐκ ἄσεμνον. ἀφίκοντό ποτε πρὸς τὸν δία τὰ ὄρνεα καὶ ὀλύμπιον ἐπρεσβεύοντο ἡγεμόνα. ἦν γὰρ ἀναρχία τοὺς ὄρνιθας τὸ λυποῦν. καὶ μεγίστου τινὸς ἀγαθοῦ ἡγεμονίας ἐχήρευον. καὶ πολλὴν διὰ τοῦτο τὴν ἀκοσμίαν ἐκέκτητο. ἐπένευσε τοίνυν ὁ Ζεὺς καὶ γέγονεν ἔργον τὸ βούλημα. καὶ δωρεῖται δῶρον τοῖς ἱκετεύουσι θαυμαστόν. βασιλέως γὰρ ἦν ἀξίωμα τὸ διδόμενον. προστάττει δὴ τοῖς ὄρνεσιν ἐπὶ λίμνας ἢ πηγὰς ἀφικέσθαι καὶ τὸν ἑαυτῶν ἀποσμήξασθαι ῥύπον. καὶ τοῖς ὕδασι τὴν βάσανον τῆς ἡγεμονίας ἐπίστευσεν. ἦν γὰρ εὐπρέπεια παρὰ τῷ διῒ τὸ τιμώμενον. ἐλούσαντο δῆτα οἱ ὄρνιθες. εἶτα πρὸς τὸν δία παλινδρομοῦσιν εὐθύς. καὶ τὴν ἑαυτοῦ ἕκαστος εὐπρέπειαν ἐνεδείκνυτο. ὁ δὲ κολοιὸς τὴν οἰκείαν δεδιὼς ἀμορφίαν, τὴν τῆς φύσεως δημιουργίαν ἐνόθευσεν, ἀλλοτρίῳ κόσμῳ τὴν ἑαυτοῦ καλλωπίζων εὐπρέπειαν. ἀλλ' ἤλεγξε τὴν ἀμορφίαν ἡ γλαῦξ. καὶ τὸν ἐπίπλαστον κόσμον ἐδείκνυε. τὸ γὰρ οἰκεῖον ἐπιγνοῦσα πτερόν, ὡς ἴδιον ἀφείλετο. καὶ τοῖς ἄλλοις ὄρνεσιν ἐδίδου παράδειγμα, ἕκαστον ἀφαιρεῖσθαι τὸ ἴδιον. καὶ γέγονεν αὖθις ὁ κολοιὸς κολοιός.

ὁ μῦθος ὦ Χρύσιππε τὴν ἀλήθειαν καθάπερ ὑποφθέγγεται πολλὴν σωφροσύνην ἡμῖν εἰσηγούμενος. οὕτω γὰρ καὶ οἱ αὐτοὶ οὐδὲν τῶν τῇδε κεκτήμεθα ἴδιον. ἀλλὰ ζῶντες μὲν πρὸς ὀλίγον ἐπιπολαίως σεμνυνόμεθα κόσμῳ. τεθνηκότες δὲ ἀφῃρήμεθα ἅπερ οὐκ ἔστιν ἡμέτερα. ὑπερόρα τοίνυν χρημάτων καὶ σώματος. ἀθανάτου δὲ πράγματος ἐπιμελοῦ τῆς ψυχῆς. τὸ μὲν γὰρ ἀΐδιον καὶ ἀθάνατον. τὰ δὲ θνητὰ καὶ πρὸς ὀλίγον ἐστὶν ἡμέτερα.

## Ἀγρ. Μυρωνίδης. Μοσχίωνι.

τ Τὸν ἀροτῆρα βοῦν κεχάρηκα τῷ Τυκανίᾳ. ὃς γὰρ ἦν αὐτῷ τῷ ζεύγει τὸ ἕτερον. ἐπηγγείλατο δὲ καὶ ὁ Τυκανίας τὸν ἑαυτοῦ μοι ταῦρον παρασχέσθαι. βοὸς δὲ ἐλειπόμην κἀγώ. ὁ δὲ θαυμαστός μοι ταῦρος ἀπόλωλεν, ὁπότε ὁ χαλεπὸς ἐκεῖνος λοιμὸς τοῖς θρέμμασιν ἐνεδήμησεν. ὁ δὲ καλὸς Τυκανίας τὰς συνθήκας διέλυσε. καὶ μέχρις ὅτου ὁ σκοπὸς αὐτῷ διήνυετο, στέργειν ἐδόκει τὰ δόξαντα. ἐγὼ δὲ τὴν τύραννον αὔλακα θερινῶν. οὐ δὲ ἀροτῆρας βόας κεκτήμεθα. ὁ δὲ καιρὸς τῶν ἀρότρων ἤδη που καὶ παρῴχηκε. δικαστήριον τοίνυν τῷ Τυκανίᾳ ὁ πολίσομαι καὶ δικαστὰς ἅπαν τὸ χωρίον προστήσομαι. καὶ τῆς ἀπάτης ἐκείνης δίκας ὑφέξεται. καὶ κακίας πείσομαι τοὺς ἀκολάστους ἀπέχεσθαι, ἑνὸς ἀνθρώπου φθορὰν σωφροσύνης διδάσκαλον ἔχοντες.

## Ἑτ. Ἐράσμιος. Λισιστράτῳ.

π Αἴζουσι τοὺς αὐτοὺς οἱ ἔρωτες καὶ δουλαγωγοῦσι τοὺς ὑπὸ σελήνην παῖδας ὑποπτεροῦμεν τε καὶ τοῖς ζωγράφοις πειθόμεθα. εἴθε γὰρ ἦν τὸν πολέμιον ὁρᾶν. οὕτω δὲ βαίνοντες ἐμβαίνομεν καὶ

οἱ

οἱ ἐρῶντες. αὐτὸ γὰρ τοῦτο ἠδικήμεθα πλέον, ὅτι καὶ τοὺς ἐχθροὺς ἢ γνοίσομεν ὁποῖοι τὴν φύσιν ὄντες τυγχάνουσιν. οἵῳ δὲ ἀλογίστῳ πάθει συμπέπλεγμαι. μελανίππην δὲ ὁ σώφρων ἀπόγονον εἰς τὸ πῶς ποθῶ μηδὲ οὖν γὰρ πώποτε τὸ γνώριμον θεασάμενος. ἀλλὰ μόνον ἀκούσας ὑπό του, ἀλλ' εἶναι αὐτὴν θαυμαστῶς. καὶ βέβλημαι τὴν ψυχὴν μηδὲν ἐκ τῶν ὀφθαλμῶν ἀδικούμενος. ὅπερ εἰώθεσαν πάσχειν λοιπῶς ἐρασταί. νῦν δὲ ἐγγράμματοι ὀφθαλμοὶ καὶ τὰ ὦτα. τοσοῦτον ἡ φύσις ἐρώτων δέδωκε. εἴτε οὖν ἐρινύς ἐστι τὴν θεωρίαν ἣν συνοικῶ. εἴτε φαντασίας τίς ἐστι τὸ λεχθέν, οὐκ ἐπίσταμαι. οὐ δὲ εἷς μάρτυς ἀξιόχρεως πρὸς ἀλήθειαν. ἀλγῶ δὲ ὅμως τὴν ψυχὴν καὶ τὸ οὐχ ὁρώμενος ἐρῶ καὶ ποιητικῆς μετειληφέναι μανίας δοκῶ. κἀκεῖνο ἀθέατον ἦν τὸ ποθούμενον. καὶ δόκησις μόνη τῶν ποθουμένων ἔχει τὴν ὕπαρξιν.

Ηθ. Ευειάδης. Κίμωνι.

ε Πανέλλην πολλὰ τὰ πράττεις ὀλίγα. καὶ τὴν γλῶτταν ἔχεις ὑψηλοτέραν τῆς πράξεως. ἀγαθὰ μὲν ῥημάτων κομψότης τεθαύμασται παρὰ σοί, οἱ ζωγράφοι τῆς σῆς δυνατώτεροι γλώττης τοσοῦτον πλεονεκτοῦντες τοῖς πίναξιν ὅσον πράττειν ἡ φύσις οὐ δύναται. εἰ δὲ τὰ χαίρειν δοκεῖς ὑποσχέσεσι τοὺς ἀκούοντας, μετ' ὀλίγον μὲν εὐφρανεῖς. ἀνιάσεις δὲ μετ' οὐ πολὺ χαλεπώτερον. ἐπεὶ καὶ τῶν ἐνυπνίων τὰ κάλλιστα, οὐ τοσοῦτον ἡμᾶς εὐφραίνει καθεύδοντας, ὅσον ἐγρηγορότας ἐλύπησεν. αἱ γὰρ ἐλπίδες μετὰ τοῦ ὕπνου συναπίπτανται. σύμφωνα δὴ τῇ γλώττῃ τὰ πράγματα κέκτησο. ἵνα μὴ καὶ φίλοις ἀπεχθήσῃ ψευδόμενος. καὶ τοῖς ἐχθροῖς ὑπόθεσιν ψόγου πορίσειας ὡς ἀληθείας ὑπάρχων ἀμέτοχος.

Αγ. Τεττίγων Ορτυγίωνι.

τ Ι δῆτα ὦ τρισάθλιε τὴν ἐσθῆτα διήλλαξας. καὶ τοὺς περδικ-

ἐξεπέτασας· οἷόν σοι γέγονε τὸ κακόν· οἴμοι καὶ τὸν κύκλωπος ὀφθαλμὸν ὠνήσασθαι τὸν ὀδυσσέα φασί. διὸ εἰ μὴ συναθροίσειας τετιλγόντους ὄρνιθας, σὺν σοὶ κατακρημνίσαιμι ἐμαυτόν. καὶ παῖδα γὰρ ἀκόλαστον ζῆν χαλεπόν. καὶ τάφον πρὸ τοῦ παιδὸς γὰρ σφετερίσασθαι καὶ λίαν ἐστὶ δυσφορώτατον.

## Ετ. Θέτις. Ἀναξάρχῳ.

ὁ Υ δυνάσαι θέτιδος καὶ γαλατείας ἐρᾶν· οὔτε γὰρ μάχεται πόθος· οἱ γὰρ ἔρωτες οὐ μερίζονται, ἀλλ' οὔτε δὴ πολλῶν αἰσχρὴ γνοις τὸν ἔρωτα· ὡς γὰρ ἐν γῇ δύο ἡλίοις οὐ δύναται θάλπεσθαι, οὕτω μία ψυχὴ, δυοῖν πυρσῶν ἐρωτικῶν οὐκ ἀνέχεται.

## Ηϛ. Σωκράτης. Πλάτωνι.

ἀ Δικεῖται μὲν οὐδείς· ἀδικοῦσι δὲ πάντες αὐτομάτως ἕκαστος ἑαυτὸν ἀδικῶν· ἀρετῆς γὰρ καὶ κακίας ἐσμὲν αὐτοκράτορες. ἀφείλετο σου λεωνίδης τὸ γήδιον· τοῦτο γὰρ ἐκτός. καὶ τὴν σὴν ψυχὴν οὐδὲν ἐλυμήνατο. ἐζημίωσε φίλιππος σε τὸν σὸν κτήνιον σφετερίζεται· οὐδὲν ἠδίκησαι αὐτός. τὸ γὰρ ἐπίκτητον οὐχ ἡμέτερον. τὸν σὸν υἱὸν ἀνεῖλον οἱ βάρβαροι· οὐ πέπονθάς τι δεινόν· οὐ γὰρ ἀΐδιον τὸν παῖδα ἐκέκτησο. ἐνεγχόσοι μὴ κεκτημένῳ προσιέναι. καὶ πάλιν οὐκ ἔστιν· ἐπεὶ γὰρ οὐκ ἦν, ἀπεγένετο. οὐκοῦν ἀδικοῦσιν, οὐκ ἀδικοῦνται οἱ ἄνθρωποι. καὶ τὸν ὁμηρικὸν τεθαύμακα κύκλωπα· οὐδένα γὰρ ἔβλαψε τῶν ἀδικουμένων ἔφασκε καὶ ὢν τῷ πῶ μὲν ἡ ἀπόφασις ἡ δὲ ἀληθείας κατάφασις.

## Αγ. Μαράθων. Πηγάνωνι.

τ Οὐ σὺ πολιτικοὺς κλύδωνας ἐκφυγὼν καὶ τοὺς ἀπὸ δικαστηρίου θορύβους τοῦ ἄστεος, ἐμισθωσάμην τὸν ἀγρὸν Ἰστονί. καὶ μεταβολῇ ψυχῆς ἐδόκουν εὑρεῖν. ἀλλὰ μείζοσι κακοῖς ἐμβεβλήμεθα.

ποτὲ

ποτὲ δὲ τὴν ἐρυσίβην ἔχω πολέμιον· ποτὲ τὰς ἀκρίδας· ἄγονται καὶ τὴν χάλαζαν. ἡ δὲ πάχνη λυμαίνεται τοὺς καρποὺς ὡς ἀπεῖναι τὴν ὥραν. καὶ τοὺς ἱδρῶτας ὁ τάλας τοῖς ἀνέμοις χαρίζομαι. οἴμοι ὁ δύστηνος, ὅποι τράπωμαι. ὅταν τῶν γεωργικῶν πόνων μνησθῶμεν, τὰ τοῦ ἄστεος ἀσπαζόμεθα. ὅταν τὸν πολιτικὸν τάραχον ἀσπασώμεθα, τῆς δὲ ἀγροικίας ἐρῶ. καὶ τοι προσῆκόν ἐστι τὸ μὴ πρότερον αὐτοῦ ἕτερον. μία τῶν λυπηρῶν ἀναλογιστός ἐστιν ὁ θάνατος, εἴτε φυσικός ἐστιν, εἴτε πάλιν αὐθαίρετος. οὐκοῦν ἀρχόνημοι τὸ φάρμακον. διαλύεται. αἱρεῖν γὰρ τὸν θάνατον τοὺς δυστυχοῦντας ἠλίθιον.

Ετ. Πρισκιλλῆς. Ἀσπασία.

ε Ἰσδώρα ζητεῖς, ὦ ποθεῖς· ἀδωροδόκητοι δὲ οἱ ἔρωτες. καὶ τοὺς προθύμως τοῖς αὐτοὺς διδάσκουσιν. εἰ μὲν οὖν ἐρᾷς, τὸ διδόναι μᾶλλον ἢ τὸ λαβεῖν οἰκεῖον ὥσπερ. εἰ δὲ χρημάτων ὀρέγῃ, τὸ δὲ ἀπορίαν τὸ πόθεν ἀναπέπλασαι, τὴν ἐγνωσμένην γλῶσσαν διήλεγξε πολλάκις ἀλχευ σοῦ τὰς ἕδρας τῷ ἐθέλοντι.

Ηθ. Διογένης Δημονίκῳ.

τ Ο τεχνίτην γυναικεῖον τὸ δίγλωσσον ἡμιάνδριον. τὸ πρᾶγμα τῇ φύσει κατὰ μηδὲν ἐντελὲς, ὑβριστέον λυδὸς εὐνοῦχος. ἄμοιροιντα δὲ τὰ τοῦ σώματος μέλη, γλώττας ἔχειν ἀσχήμονας ἐπαγγέλλονται. ἐγὼ δὲ κατὰ τὸν ὁμηρικὸν ὀδυσσέα τῶν ἐκείνου βελῶν οὐκ ἀεὶ ἀνέχομαι. ἀδρανὲς δὲ πολλή τις τὸ γυναικεῖον φῦλον τοὺς ἥρωας. ἱκετεύσοι καὶ σοβαρώτερον ἀποφθέγξωμαι τὸν διομήδην μιμούμενος. ὑλακτεῖν δὲ ταῦτα καὶ μεμηνέναι τοῖς εὐνούχοις ἐστὶν ἁρμόδιον. τῶν χειρῶν γὰρ ἐστερημένοι δυνάμεως, ἅπαντα διὰ τῆς γλώττης πράττειν ἐθέλουσιν. οἱ δὲ φίλοι πολλάκις συνήθως κατηγοροῦσιν ἡμῶν. ἐπειδὴ τὸν ὑβριστὴν οὐ ποιμαίνοντα ἀμειβόμεθα. οὕτω γὰρ τὸν εἶλαν τι

σεσέει, οὐκ ἂν δικαστήριον αὐτῷ συγκροτήσαιμι. τοῦτο δέ τοι καὶ τῷ σωφρονίσκου Σωκράτει καλῶς διαγέγραπται.

Αγ. Πραμίσκος. Κορύδωνι.

α Ὕειον ἔσομαι δαιτυμόνα. ἅπαντα πρὸς τὸν γάμον μοι προεσκεύασται. ἔτνος, ἐρέβινθος, ἰσχάδες πολλαί. [illegible] καὶ μελιττοῦττα. καὶ πόπανα. αὐτὸς δὲ κόμιζε τὴν εὔτεχνον σύριγγα. τὰς ὑπερυμνίους μελῳδίας ᾀσόμενος. ἦλθε δὲ τοι μουσικῆς μου συνεργίας τὸ ἐπίσημον Κορύδων. τὴν δὲ παστάδα βεβούλημαι πρὸς ἡδονὴν κινεῖν ἀφροδίσιον τοῖς ὑπὸ τῆς σάλπιγγος θελγομένην ἠχήμασιν.

Ετ. Λέανδρος. Γυλάδῃ.

λ Ἰαν ἡμῖν οἱ ἔρωτες ἀπεχθάνονται. ἐγὼ μὲν ἐρῶ. ἡ δὲ ἀποθυμένη μισεῖ. ἆ τί δράσαιμι ἂν ὁ δύσαθλιος; οὐκ ἰσόρροποι ἐχούσινοι ἔρωτες πλάστιγγα. ἄνισα τοῖς ἀνισοζυγοῦσι τὰ δάκρυα. εἰ μὲν οὖν ἀδικοῦσι, θεοὶ μὴ κεκλήσθωσαν. εἰ δὲ τὴν προσηγορίαν ἐψεῦδον, ὀρθῶς δικαζέτωσαν. καὶ τὰς ἀλγηδόνας ἐμοὶ κατὰ τὸ δίκαιον μεριζέτωσαν.

Ηθ. Διογένης. Ἀριστάρχῳ.

κ Ἀπέπληττε τὴν μακεδονίαν Ἀλέξανδρος, τῷ βουκεφάλῳ ἐποχούμενος ἵππῳ. τὸν δὲ ἵππον χαλινοῖς ἱστοροῦσι μὴ πείθεσθαι. μήτε δὲ χειροήθεσι κολακείαις μαλάττεσθαι. ἀλλ᾽ ἀπειθὰς ὄντα τὸ ζῶον. καὶ περὶ θυμὸν τὸν ἵππος εἶναι ἀφηνιαστήν. καὶ κακόντα ἀπρόσιτον ἦν. καὶ τοῖς ἐντυγχάνουσι λίαν δυσάρεστον. ὅτε τοίνυν ἐπιβάτην Ἀλέξανδρον ἐκληρώσατο, τὴν ἀπήνειαν ὥσπερ πρᾳότητι συνεκέρασεν, ἀμβλὺ μὲν τῇ κατηφείᾳ τὸ φρύαγμα. καὶ ἦν ἰδεῖν σώφρονα τὸν ἀκόλαστον. οὐ γὰρ Ἀλεξάνδρῳ θέμις ἦν ἀντιμάχεσθαι. ἔσο τοίνυν ἀρίσταρχε καὶ σὺ τῆς τύχης ὑπήκοος. οὐ γὰρ Ἀλεξάνδρῳ ἀλλὰ τῇ τύχῃ ὁ βουκέφαλος ἐπείθετο.

### Αγ. Ποιμενίων Ἄρνωνι.

τ  Αἱ τῶν προβάτων οὔθατα ὑπὸ τοῦ γάλακτος μέλλει μοι διαρρήγνυσθαι. καὶ κισσυβίων οὐκ οἶδα πῶς εὐπορήσομεθα. διὸ δίδου μὲν αὐτὸς τὰ κισσύβια. ἐγὼ δέ σοι γάλα παρέξομαι μεγάλοις δώροις μικρὰς ἀμειβόμενος χάριτας.

### Ετ. Χρυσογόνη Τερπάνδρῳ.

μ  Ἢ μέμφου λοιδορουμένην τε καὶ ὑβρίζουσαν. οἱ γὰρ ἐρῶντες τὰς γλυκείας καὶ τὰς τερπνὰς προσφέρονται. αἱ πληγεῖσαι δὲ αἱ μέλιτται πολλάκις ὠργίζονται. εἰ δὲ δυσανασχετεῖς ὑβριζόμενος, οὐδὲ ῥόδον ζητήσεις τὴν ἄκανθαν εὐλαβούμενος.

### Ηθ. Λεωνίδης Γεράνδρῳ.

ή  Δέεται καὶ Πρίαμος ὁ δὲ Θέτιδος πρεσβευόμενος. ἡ λιταὶ γὰρ ἐχθρῶν ὁ τοῦ Πηλέως ᾐσχύνετο. καὶ δίδωσι τῷ πατρὶ τεθνηκότα τὸν παῖδα, δυστυχεστάτῳ φιλοτιμούμενος δώρῳ τὸν Πρίαμον. καὶ τοῦ μὲν, τὴν τόλμαν τεθαύμακα. τοῦ δὲ τὴν φιλανθρωπίαν ἐπῄνεσα. γίνου μοι καὶ αὐτὸς Αἰακίδης. καὶ πολιᾶς ἐλέησον δάκρυα, τὸν παῖδά μοι ζῶντα δωρούμενος. δυστυχοῦμεν γὰρ ἡμεῖς ὥσπερ καὶ ὁ Πρίαμος. οὐ γὰρ αὖ ὄντα σε πολέμιον ὑπὲρ παιδὸς ἐπρεσβεύσαμεν δακρύοις οὐ μέλανι τὰ δὲ ἐπιστολῆς ἐγχαράξαντες γράμματα. ἀλλ' εἰ μὲν δὲ σῆς καὶ σὺ φιλανθρωπίας ἐρᾷς ἐπιτάξασθαι, προφθανέτω τὸ δῶρον τὴν αἴτησιν. εἰ δὲ μὴ λόγοις περὶ σοὶ βασιλεύει, ἀλλὰ θυμός τε καὶ λύπη τὰ πρεσβεῖα κεκλήρωται, πρὸς ὀλίγον μὲν εὐφρανθήσῃ. λυπηθήσῃ δὲ μείζονος ἀφιλοσόφου θυμοῦ μεγάλας καὶ τὰς τιμωρίας εἰσπραττόμενος.

## Λγ. Καλάμων Σπείρωνι.

ἐ Ι γεωργὸς ἦναι ἐβεβουλήκειν, τῶν πολιτικῶν θορύβων ἀφέ-
στασθαι δὲ ῥητορεύειν περὶ τὰ δικαστήρια βήματι περι-
σπούδαστα, τὴν δίκελλαν ἀφεὶς, καλαμίδα δὲ χάρτας ἀράμε-
νος κόρακος χώρει περόμπτιον. οὐ γὰρ συκοφάντας ἄνδρας δὲ τὸ, ἄν-
δρων δικαστὰς φθειρομένους πυκνότερον ἢ τῶν γεωργῶν πλείονα προ-
σίεται.

## Ετ. Ῥοδοκλεία Ὑψιπύλῃ.

τ Οἱ πειραιᾶ χθὲς τῇ νυκτὶ περιεπόλουν. καὶ τὸν σὸν ἐρα-
στὴν μετὰ τοῦ χειροτέχνου ἑώρακα, καὶ μειράκιον ἐδόκει δοῦ-
χει. καὶ προσωπόμαιος ἡ ἡλικία, γραῦς ὑπάρχειν ἀβρότον). ὅτε δὲ τὴν
προαγωγὸν προσεῖπον, ἐνεκελεύετο ὅσος ἐραστὴς, ἵνα τοῦ σκότου
τὸ πραττόμενον διαλάθοι. οὐκοῦν μήτε ὀμνύοντι μήτε κολακεύοντι
πείθου. γλώττης γὰρ σόφισμα δεινόμενον ἑκάτερον.

## Ηθ. Σωκράτης Κλέωνι.

ὅ Ταν οἱ λύκοι μεγάλης περιτύχωσι θήρας καὶ τοῦ κόρου φι-
λοσοφήσωσιν, ὥσπερ ἐγκράτειαν αὐτῶν ἔχουσι. τὸ ἦθος ἀπὸ
τοῦ ἀγρίου πρὸς φιλάνθρωπον μεταβάλλουσι. καὶ θαυμαστήν τινα
δικαιοσύνην ὁ κόρος ἐκδιδάσκει τοὺς λύκους. μετὰ τῶν προ-
βάτων συννέμονται. ἐπαίρουσιν αὐχένας αὖ αὐτοῖς ἡ γαστὴρ ἀναπνεύ-
σειεν. ἀλλὰ σὺ καὶ τῶν λύκων τὸν τρόπον ἀναιδέστερον κέκτησαι. καὶ
μᾶλλον πλεονεκτικώτερον τὸ ἀκόλαστον ἔχεις, ὅταν ὁ χρυσὸς σὸν
περιαναβλύζῃ τῶν σῶν θησαυρῶν ὥσπερ οἱ μέθυσοι. διψῶσι γὰρ
ὅταν κορεσθῶσι τοῦ οἴνου. ἐπισοφίζονται τῇ μέθῃ, μέθης ὑπάρχοντος. διὰ δὲ
τὴν ἐς ἄκρον δυσχερίαν πρὸς τὴν ἐναντίαν διάθεσιν μεταπίπτουσι
περιγανοῦντος τοῦ οἴνου τὰς οἰνόφλυγας καὶ ἐκκαίοντος. ἅπερ

τῆς ἀκολάστου μέθης ἀπόλαυε· ἵνα μὴ πρὸς τὴν ἐναντίαν ῥοπὴν μεταχθεὶς, ἀφαιρούμενος τῆς τύχης ἅπερ δέδωκε. τοιαύταις γὰρ τοὺς ἀχαρίστους ποιναῖς σωφρονίζεται.

Ἀγρ. Μίνθη. Ῥίζωνι.

Ποταμὸς χρυσορρόας τοῦ γηδίου τοῦ ἡμετέρου μοῖραν ἐ-
ὁ σύλησε, καὶ τῶν σῶν ἀγρῶν προσεκύρωσε, μωροῦντι πολὺν καὶ ἠλίθιον, ἀγόραιον ἐπαγγέλλει. ἀλλ' εἰ μὲν δικαστηρίου φόρτον ὤν τοῖς ὤμοις φέρειν οὐχ οἷός τε εἶ, δῶρα ποταμῶν μὴ προσίεσο· εἰ δὲ τῶν ἀλλοτρίων ἐρᾷς, μετ' οὐ πολὺ δακρύσεις τῶν ἰδίων στερόμενος.

Ἐρ. Μήδεια. Ἰάσονι.

Ὑδέρ τοῖς ἀνθρώποις περισπούδαστον οὕτως οὔτε δὲ προ-
ὁ σηνέστερον ἐρωτικῆς καθέστηκε χρήσεως. πεῦσαι τῶν διακρύων τὰ ῥεῖθρα. οἱ τοῖς ἡμετέροις ποσὶν ἐπελύμαντο. ποῦ σοι διέπτησαν τὰ μνεῖα γλυκὺ τῶν λόγων ἐκείνων, τῶν τε ῥημάτων τὸ ὑφηδυνόμενον καὶ χαμαίζηλον. οἶμαι μήτε τοὺς δανειζομένους τοιούτοις πρὸς τοὺς δανειστὰς κεχρῆσθαι τοῖς ῥήμασι, μήτε θαυματίαν τοὺς τῶν πολεμίων ἁλόντας χερσὶν. ἡ σιωπὴ τοὺς ἀγρυπνίας προσώχηκε. τὰ ἑωθινὰ καταλέλοιπας ᾄσματα. προσώπων τὰς μνείας πρεσβείας. τοὺς ἀσπονδεῖς τοὺς ὅρκους, ὡς διὰ τῶν προσαγορευμένων γυναικῶν ἐσπείσω μοι. πρὸς ἑτέραν ἄφνω προθέμενος ὠλίσθησας, ὥσπερ οἱ καθεύδοντες ἀμέσως ἀφ' ἑτέρας πρὸς ἑτέραν ἐνυπνίων ὑπόθεσιν μεταβαίνοντες. ἐπαινῶ τοὺς ζωγράφους. ὑποπτεύουσι γὰρ τοὺς ἔρωτας ἀναγράφουσι καὶ τέχνῃ διαμορφοῦσι τὰ πράγματα. καὶ τοῖς πλάσμασι τὴν ἀλήθειαν περιτιθέασιν.

Ἡθ. Παρμενίδης Χρυσοθέμιδι.

τ Ὁ μὲν ἐγρηγορέναι διὰ παντὸς, ἀθανάτου φύσεως ἴδιον· ὑπνοῦν δὲ μετρίως, τῆς καθ' ἡμᾶς εὐζωίας ὡς ἔοικε καὶ ἀνθρώπινον.

τὸ δὲ πέρα καθεύδειν τοῦ προσήκοντος, τοῖς τεθνηκόσι μᾶλλον ἢ τοῖς ζῶσιν ἁρμόδιον. τοὺς πλείστους χρυσωθέντες τῆς ζωῆς μοίρας ἀφῄρηνται. ἀεὶ γὰρ καθεύδεις. καὶ τῆς ἐνθάδε μεταβέβηκας λήξεως, οὐκ ἔτι σὺ δυνατός, τῆς καθ᾽ ἡμᾶς οἰκουμένης ἔξω πλανώμενος. ὠκεανῷ τινὶ τῷ ὕπνῳ χρώμενος. καὶ μήτε ἀνίσχοντα μήτε δυόμενον προσβλέπων τὸν ἥλιον.

## Αγ. Δαφνίων. Αἰγέρῳ.

Ι συγκλείσου πρὸς τὸ ἐμὸν χωρίον τὰς ῥίζας ἢ πλώσομαι. ὑπὸ τὴν σὴν ἐξουσίαν ἔτι τελεῖν οὐκ ἐθέλουσαι. καὶ τὸ σὸν ἀφελόμεναι δίκαιον, φιλοτιμοῦνταί μοι τὰ κτήματα. τοῖς ἐμοῖς ηὐτομόλησαν ἔργοις. καὶ τοῦτο νόμος ἐστὶ γεωργικός. καὶ γεγηρακόσι νόμοις πείθου γερόντιον. εἰ δὲ τοῖς παλαιοῖς ἔθεσιν ἀντιφθέγγεσθαι θέλεις, ὡς καινὸν ὄντα σε νομοθέτην καὶ πρόσφατον τῶν γεωργικῶν συλλόγων ἐκβαλλόμενον. καὶ τῶν ἡμετέρων ὅρων ἐξοστρακιζόμενον ὡς ἀλλότριον.

## Ετ. Πυρρίας. Φιλωνίδῃ.

Ι ἐρᾷς, μὴ κατηγόρει τῶν ἐρωμένων ἀπρέπειαν. οὐ δύναται μὴ τυφλώττειν ἐρῶσα ψυχή. ἀήττητος γὰρ ὑπὸ τῶν ἐρώντων προσαπέδειξα. εἰ δὲ οὐκ ἐρᾷς, τί δακρύεις καὶ στένεις καὶ κλύδωνας σαυτῷ προσφέρεις αὐθαίρετον. ἀδικεῖς οὖν ἑκάτερον. ποτὲ μὲν, ὡς ἐραστὴς ἔχεσθαι μένων. ποτὲ δὲ ὡς ἀνταγωνιστὴς βελτιούμενος.

## Ηθ. Δάμασκος. Ἀντιγόνῳ.

Ι μὴ βίος Σωκράτης ἐνέχυρα κέκτηται, παιδαγωγός του σοῦ μὴ προχειριζέσθω παιδός. ἐνέχυρα ἢ βίου, παιδεύσεως αἰτία. ὃν γὰρ εἶναι πατέρα φύσις ἐδίδαξε, τοῦτον καὶ παιδαγωγεῖν ἐστιν ἀξιόπιστον. πεῖραν μανθάνοντι γεννήσεως χρεία καὶ στοργῆς ἀληθινῆς

## Ἀγρ. Κνημίας. Κορίσκῳ.

υ Ὑμέριθος ἔσομοι μεσημβρείας ὥρα κορίσκε· αἱ μασιᾶ
γὰρ τὸν ἀγρὸν περιφράζομαι. κακοὺς γὰρ τοὺς ὁδίτας κε
κτήμεθα· οὐχ οἷός τέ εἰμι καὶ ζώοις ἀλόγοις καὶ τοῖς ἀνθρώποις συμ
πολεμεῖσθαι. ὁ λαγὼς τὰς ἀμπέλους, ἡ κάμπη τὰ λάχανα ὄλλυ
σι. τί δῆτα περὶ τῶν ἀσπαλάκων λέξαιμι. φοβοῦνται γὰρ τὸ γεωρ
γῷ τὸ κακὸν καὶ δυσανταγώνιστον τὸ πολέμιον. δέομαι συμπαρα-
στῆναί σου· καὶ τῶν πόνων συναντιλαμβάνου. κἀγὼ δέ σε αὖθις τοῖς
ἔργοις ἀμείψομαι. οὕτω γὰρ καὶ οἱ μύρμηκες συμμαχοῦντες ἀλ
λήλοις, τὸν μόχθον σώζονται. ἐν τῶν μεγίστων πόνων ἐφάπτονται.

## Ετ. Ἀνθία. Βείωνι.

Γ άντα τῷ γυναικείῳ φύλῳ δεδούλωται. Λαΐδος ὁ
ἀ Διογένης ἐρᾷ. Σωκράτης, ὁ Φρύνης. ἡ δὲ φιλοσοφί-
ας κομψότης διόλωλε. τὸ σεμνὸν ἦθος παρώσαντο.
τὸ αἰθέριον καταλελοίπασι φρόνημα. τὸ μετάρσιον ἐπάγγελ-
μα διεψεύσαντο. ἅπαντα φροῦδα τὰ περὶ ἐν αὐτοῖς μεμελετη-
μένα πρὸς ἄσκησιν. ἀωρόν μοι παίγνιον εἶναι δοκεῖ, ἄνδρας πρεσβύ
τας πολιὰν αἰδέσιμον ἔχοντας, ὑπὲρ ὡραϊσμένου σεμνότητι, νεα
νίδας ἑταίρας ἐρᾶν. ἐγὼ δὲ καγχάζω, τὸν γέλωτα φέρειν οὐ δύ
ναμαι, ὁπηνίκα συναντήσαιμι τοῖς γεροντίοις. πολλὰ γὰρ δὴ ἀ
φροδίτης κατηγοροῦν πολλαί. πρὸς τοὺς ἐρῶντας μανίαν νο
σεῖν αὐθαίρετον ἔφασκον. ἔφεσιν ἀκολάστου ψυχῆς τοὺς ἔρω-
τας ὁριζόμενοι. ἅπαντα φέρειν σοφόν. τὸ ἢ ἐλπίζειν λίαν οὐδὲν ἐμ
φρονέστερον. πολλὰ γὰρ χρόνῳ καὶ τύχῃ δεδούληται.

## Σώστρατος. Λυσιστράτῳ.

ε Πειθήνιοι πολλὰ καὶ θαυμαστὰ προσμεμέσαιντες τὸν τε μελοποιὸν ἐδόξαμεν ὑφαίνειν ἴσον, φέρε δή του φέρε τῶν μυθικῶν ἀπαρξώμεθα λόγων. ἴσως γὰρ τῆς διανοίας ἐφίκοιτο δὴ τὰ λεγόμενα. ἐν τοῖς νεοβλάστοις τῶν δένδρων ὁ τέττιξ ὀχούμενος, ὥρᾳ καύματος ἐκελάδει. τῇ δὲ ἑαυτοῦ ἁρμονίας αἰσθανόμενος ἐπετέρπετο. ὁ δὲ μύρμηξ περὶ τὴν τοῖς θερίζουσι καὶ περὶ τὴν ἅλω τὰς διατριβὰς ἐπεποίητο. καὶ τοῖς κόλποις τῆς γῆς τὴν ἑαυτοῦ τροφὴν ἐθησαύριζεν, οἷα προμηθέστερος ὢν ὁ μύρμηξ τοῦ τέττιγος. προϊὼν χειμὼν γίνεται ἐν τῷ βορείῳ ὁ ἥλιος. ἀπῆν τὸ μετόπωρον. καὶ ὁ χειμὼν ἀπήντα τῇ γῇ. ἡ δὲ θάλαττα τὰς γαληναίας σπονδὰς διέλυσεν. οἱ πλωτῆρες τοὺς λιμένας ὡς σωτῆρας ἠσπάζοντο. καὶ ὁ γεωργὸς ὑπὸ τὴν ἑαυτοῦ ἀλέαν κατέφυγε. καὶ ὁ μύρμηξ ἐν τοῖς λαγόσι τῆς γῆς καὶ τοὺς πόνους ἔχων ἑστίασιν ὑποτίθεται. ἱκέτευε δὴ ὁ τέττιξ τὸν φιλόπονον μύρμηκα τῶν θησαυρῶν μετασχεῖν. ὁ δὲ τὸ μελῳδὸν τῶν ἑαυτοῦ θυρῶν ἀπεπέμπετο πολλὴν αὐτοῦ τῆς ἀργίας καταχέων τὸν γέλωτα. τῶν θερινῶν ᾀσμάτων αὐτὸν ἀναμιμνήσκει. διόπερ ὁ μὲν ἔσχε λιμὸν τὴν ᾠδήν· ὁ δὲ τοὺς πόνους τρυφήν. ἁρμόττει σοι ὁ μῦθος Λυσίστρατε. τίς γὰρ ὢν ἀθλιώτερος ἐστι πυρέσσοντος, ἐσθίων μάτην διπλάσια. ἀπόστα δή τοι τῆς ἀργίας ὦ βέλτιστε. τὰ τῆς φύσεως γὰρ δῶρα κατῄσχυνας. τηλικαύτην ῥώμην καὶ εὐρωστίαν τοῦ σώματος ἀκόσμητον περιφορῶν ὑπὸ στήμη [illegible] ἀσκεῖν μὴ βουλόμενος.

## Τερπίων Πορφυρίωνι.

α Κορύδων ὁ δαίμων ἀνὴρ καὶ τῆς τύχης φίλος ὡς ἔοικεν.

καὶ αἱ ἄμπελοι τοῖς βότρυσιν ἄχθονται. αἱ ἀχράδες βρίθουσι καὶ τῶν τρυγώντων ὀρέγονται. αἱ ἐλαῖαι τῇ γῇ προσνενεύκασι καὶ τῷ πλήθει τοὺς ἐνεγκαμένους κλάδους βιάζονται. οἱ λειμῶνες κατάκομοι. ἡ ἄλσος τοῖς μελῳδοῖς ἐφάμιλλος αὔλαξιν. ἀλλὰ καὶ τὸ γυμνάσιον μετὰ τῶν ἄλλων εὐφραίνει τὸν ἄνδρα. τοσοῦτοι γὰρ παῖδες αὐτῷ, ὥστε καὶ Δαναὸν καὶ Αἴγυπτον τοῖς δύο κρίμασι νικᾶν. ἄλλος μὲν γὰρ ῥόδιν ὑπομείζιος. ἄλλος δὲ γαλουχέας ἐπαύσατο. ἕτεροι δὲ ἕρπουσι μήπω δὲ ὀρθῆς βαδίσεως ἀπτόμενοι. ἄλλοι παραψελλίζουσι καὶ τοὺς ὀδόντας ἀμείβουσι. ἄλλοι δὲ ἀκμῆς ὑποβαίνουσι. καὶ τὸ βρεφῶδες εἶναι κεκλήρωνται. σύζυγος δὲ καὶ αὐλῶν ἡ δὲ ἡλικίας αὐτῶν τάξις συντέτακται. σὺ δὲ πρώην τὸ θυγάτριον μετὰ τὸν ναῦν τῶν κορύδων. τὴν ἀρχαίαν ἱκανίζων ὥσπερ ἀφοσιούμενος τὴν συζυγίαν. οἴμοι βεβουκόλημαι ὁ δείλαιος. καὶ κουφότερον τὸ φρόνημα τοῖς ἀνθρώποις ἀνόμητον ἢ συζυγία. πλοῦτον γὰρ παρὰ πᾶσιν οὐδὲν ἐνδοξότερον.

## Χρυσὶς. Ἡφαιστίωνι.

ὀ Υκ ἔτι δὲ Διοδώρου ἐρᾷς. τὰς ἐρωτικὰς θρυαλλίδας ἀπέσβεσας. οὐ γὰρ ζηλοτυπεῖς ἐπ' αὐτῇ, ἐμφιλοχωρεῖς αὐτῷ λοισγαίτῳ θεώμενος. φιλονεικότερον ἐρώτων οὐδέν. ἢ πῶς ἐρᾷς τηλικαύτης ἀλγηδόνι φιλοσόφως ἀνεχόμενος.

## Ηθ. Σωκράτης. Μελανιππίδῃ.

γ Υμνασταὶ μὲν παιδοτρίβαι ἀθλητικοῖς παισί. δὲ σωφροσύνης δὲ διδάσκαλοι. ἐπειδὴ γὰρ φρονήσεως ἔτι καὶ νόμων οἱ παῖδες εἰσὶν ἀνεπίδεκτοι, ἀπειλαῖς χαλινοῦμεν τὸ τού

των ἀκόλαστον. τοὺς γὰρ παῖδας λόγοις μᾶλλον ἢ μάστιξιν ἐκπα-
ράττομεν. ἐγὼ δὲ τὴν σὴν ἀναίδειαν ἄγαμαι. οὐ γὰρ κολάσεις δι-
καστηρίων σοι φοβεραί. οὔτε λόγος ἐπιστρεπτικός ἐστιν αἰδέσιμος. τῶν
παίδων ἀφρονεστέραν ἐν γήρᾳ τὴν διάνοιαν ἔχεις. ἴθι τοίνυν εἰ
βούλοιο πρὸς βάραθρον. οὓς γὰρ λόγος καὶ μάστιγες σωφρονεῖν οὐ
διδάσκουσι, τούτους πείθειν κακίαν ἀνέχεσθαι λίαν ἐργῶδες. καὶ
τὸ καθαίρειν τὴν αὐγέου κόπρον ἐστὶ δυσχερέστερον. ἡ κοτύλη γὰρ
ἀτλαντικὸν ἅπαν ἐκροφῆσαι πέλαγος.

## Αγρ. Βουβαλίων Κισσυβίωνι.

ὁ Γοργίου παῖς ἡμᾶς ἀδικεῖ. ξυνοικοῦντι τοι γὰρ ἱππαζόμε-
νος ὁ παμμίαρος καὶ προσχήματι θήρας περιέπει τὴν
πανουργίαν ὁ κάκιστος. οὔτε γὰρ λαγωὸς φοιτᾷ παρ' ἡμῖν οὔτε
δορκὰς ἐνδημοῖ. οὔτε βουβαλίδες. οὐκ ἔλαφοι, οὐκ ἄλλο τι τῶν
πρὸς θήραν ἐπιτηδείων ὄντων. οἱ μὲν γὰρ εἱρκταὶ καὶ πάγαι τοὺς
λαγωοὺς ἀπελαύνουσι δι' ὧν καὶ ἁλίσκονται. δορκάδας δὲ ἢ καὶ
βουβαλίδας οἱ γείτονες ἂν λέοιμ τις. καὶ τί δὴ τοσοῦτοι τὰ μυεία τῶν
θηρείων ἀπαλλάξομαι γῆν. διὸ καὶ ἡμεῖς συλλιμώττομεν. ἀνα-
δρίαν γὰρ ἡμᾶς. ἀθεία δὲ τοὺς θῆρας κολάζεται. ἐπειδὴ οὖν ἀ-
γχιστεύουσι πρὸς τὸν ἀδικοῦντα κισσύβιε, ἐστὶν σοῦ τὸ συμφέρον.
καὶ σωφρονέστερον τούτων οἷς τοῖς διδασκέτωσαν λόγοι. εἰ δὲ γὰρ
αὐτὸν κινοῖ ἀσπαραξόμενον, εἰ ἐν τοῖς ἐμοῖς ἀγροῖς τὸ λοιπὸν ἐνδη-
μήσειεν. ἤδη γὰρ καὶ ἡ θήλεια κύων σὺν τοῖς τέκνοις περιφρουρεῖ-
μου τὸ γήδιον ἀνθρωπίνης ὀργῆς ἐπιμελῶς ἐφαψαμένη.

## Ξϛ. Γναθὼν Ἱππολύτῳ.

ὑ Ὑπερέπαινον οὐκ ἦθος σεμνὸν οἱ ποθοῦντες μᾶλλον ἀσπάζονται. οὐ γὰρ σωφρονεῖν οἱ ἔρωτες ἐπαγγέλλονται. ἀλλὰ κάλλος σώματος, ὀφθαλμὸν ἀκόλαστον δελεάζουσιν. εἰ τοίνυν διὰ τοὺς τρόπους τῆς Ῥοδοκλείας ἐρᾷς, τῶν σῶν ἡδονῶν οὐ βασιλεύουσιν ἔρωτες. φιλοσοφοῦντος γὰρ λογισμοῦ βέλος ἀφροδίσιον οὐχ ἅπτεται.

## Ηθ. Ἐρατοσθένης. Αἰσχίνῃ.

ἐ Σθίεις τοὺς ὅρκους ὡς λάχανα. καὶ ὁ τύπος ὀδόντων εἶναί σοι δοκεῖ τὸ τελούμενον. καὶ τοῖς ἐγκαλοῦσιν ἀντιφθέγγῃ παμπόνηρε. ἡ γλῶττα ὀμώμοκεν. ἡ δὲ φρὴν ἀνώμοτος. οὐκ εἰδώς, ἀχαλινωτέραν γλῶτταν, μείζονα τοῦ πλημμελήματος εὑραττομένην τὴν κόλασιν. ἃ γὰρ λόγοις ἁμαρτάνομεν, ἔργοις τὴν τιμωρίαν ὑφέξομεν. τὴν γλῶτταν δεῖ τοι σώφρονα κεκτῆσθαι, ὀμνύειν καὶ πρὸς ἀλήθειαν εὐλαβούμενον. ἀβαρές τι γὰρ χρῆμα ὁ ὅρκος εἶναι δοκεῖ. καὶ πάντος ἄχθους ἐστὶ δυσφορώτερον. ἐν πένθεσι καὶ Τάνταλος ἐκολάζετο. περὶ τὰ θεῖα γὰρ εἶχε τὴν γλῶτταν ἀκόλαστον.

## Αγ. Σευτλίων. Κοριάννῳ.

ἐ Λαν ὀψέ ποτε τὴν κακίστην ἀλώπεκα. ἐλαβών, ποικίλοις δεσμοῖς περιφρουρῶ τὴν παμμιαρόν. ἄξω δὲ ταύτην λεωφόρον Κορίαννε τοὺς ἀγροίκους συγκαλεσάμενος ἅπαντας. ἐν τὴν πολεμίαν θριαμβεύσω. ἡ δημοσία δίκας παρέξεται αὐτὴ πολλῶν ἀδικημάτων μίαν ὑφέξουσα κόλασιν.

Ετ. Καλλιόπῃ. Λαΐς.

κ Ῥωβύλῳ καὶ πέτηγι ὁ γοργίας σεμνύνεται. μήπω τοῖς ἰούλοις κατασκιάσας τὸ πρόσωπον. καὶ βρενθύεται τῷ κάλλει. καὶ δέλεαρ ἀνοίας προστίθησιν ἡμῖν τὴν εὐπρέπειαν. ἐγὼ δὲ γῆρας ἢ νόσον καὶ λύπην, πίναξιν ἐγχαράξομαι ἢ πρὸ τῶν θυρῶν ἀναθήσομαι τοῦ ἀγνώμονος. ταῦτα γὰρ ἕξει ποτὲ ἢ ἀπειπείας τὰ ἀντίπαλα.

Ηθ. Πλάτων. Ἀξιόχῳ.

η Νίκαις καὶ μάστιγι τοὺς ἵππους ἰθύνομεν. καὶ ῥαπιζόμεθα τῇ μὲν τοῖς ἱστίοις τὴν ναῦν ἐκπεταννύντες. τῇ δὲ ταῖς ἀγκύραις χαλινώσαντες κάθυβρίζομεν. οὕτω κυβερνητῶν τὴν πλῶτην ἀξίοχε. τῇ μὲν τοῖς λόγοις ὁπλίζοντες. τῇ δὲ σιωπῇ καταδυνάζοντες.

Αγ. Ῥόδων. Κυπρίῳ.

τ Οὐ λευκανοὺς ὠλέναις πάλιν φασί. καὶ τὸ ξίφεινον ἀπορρίψας, λόγχην καὶ σαυρωτῆρα χαλκεύσομαι. καὶ τὴν ἐνυάλιον τέχνην ἀσκήσομαι. οὐκ ἐᾷ γὰρ ἠρεμεῖν ὁ δαίμων ἡμᾶς. ἐμοὶ τοῦ χειμῶνος τὸ θέρος ὅτι κρυωδέστερον. τί γὰρ τοῦ πολέμου γένοιτ᾽ ἂν φρικωδέστερον. ἦρος φανέντος ἐδάκρυσα. ὡς κομᾷ τοῖς ἄνθεσιν ὁ ἀγρός. ὡς εὐώδεις ἐν τοῖς μυρρίναις τὸ γήδιον. ὡς κοσμία κομῶσα ἡ πλάτανος. χλοάζει τὸ λήιον. πάντα μοι πρὸς εὐτηνίαν ἐπείγεται. ἀλλ᾽ ἀδικοῦσιν ἡμᾶς οἱ πολέμιοι. ἀρότρου γὰρ αὐτοῖς ἡ μάχαιρα ποθεινοτέρα.

## Ετ. Σώπατρος. Τελεσίλλῃ.

ἐ Μὴ τοῖς ἀφροδισίοις ἡδοναῖς τὸν ἀτερπῆ κόρον ἡ φύσις ἐνέμιξεν, ἐδουλαγωγεῖτο τὸ ἄρρεν τῷ γυναικείῳ φύλῳ Τελέσιλλα. μὴ τοίνυν μέγα φρόνει πορνίδιον. ὁ δὲ ἀφροδίσιός μοι πυρσὸς ἀπηθάλωται. οὐ δ᾽ ἀθανάτους τὰς ἀλγηδόνας τὰ τῶν ἐρώτων βέλη παρέχεται.

## Ηθ. Πρόκλος. Αρχιμήδει.

τ Οἱ πολύποδας φασὶν ἀθυμίας τυγχάνοντας, τοὺς ἑαυτῶν κατεσθίειν πλοκάμους ὅπερ ὡς ἀληθῶς ἐμπεπαρῳσηκόσιν τὰ ἑαυτῶν δυστυχέστατα μέλη. ἐσθίωνται γοῦν οἱ τάλανες τῶν ἑαυτῶν μορίων τὰ καίρια. καὶ δαιτυμόνες τῶν ἰδίων σαρκῶν ἀναδείκνυνται. ἆρα τε ξανθίππη ἡ πολύπους τὴν συνμίαν εἶναι τοῖς ὅλοις δοκεῖς. ἐγὼ μὲν οἶμαι τοῦτο σαφέστατον. ἀδικεῖς γὰρ λίαν ἀπαμερωποῦσα τὸν πατέρα. μήτε τὴν φύσιν αἰδουμένη μήτε τὴν δίκην ὡς βάραθρον εὐλαβουμένη. ἀλλ᾽ εἰ μὲν μετανοοίης ἀμνήμονα τῶν πεπραχότων κακῶν ἕξεις τὴν πρόνοιαν. εἰ δὲ τὴν φιλόχρυσον ἐμμένεις ἀμετακίνητον τρόπον κεκλήρωσαι, τὴν ἰσόρροπον πλάστιγγα τὸ θεῖόν σοι ταλαντεύεται. καὶ παῖδας ἕξεις πατρικῆς κακίας εἰκόνας ἀληθεῖς καὶ ἰνδάλματα. οὕτω γὰρ καὶ τὰ τῆς ἐχίδνης κυήματα μητρικὴν ἀνοσιότητα διαδέχεται. τὴν κυοφόρον καὶ τιθήνην γαστέρα διαρρηγνύοντα.

## Αγ. Ελάφων. Δόρκωνι.

γ Ὁ λιμὸς πρὸς εὐκαρπίαν ὁ τῶν θρεμμάτων ὄνθος καθε-

στῆκεν. οὐκοῦν δίδου μοι τῶν σῶν θρεμμάτων τὴν κόπρον. καὶ λήψῃ καὐτὸς μισθὸν εὐτελείας ἀχράδας καὶ λάχανα. ἐπὶ τὸ σὸν φιλότιμον λαμπροτέραις ἀμείψομαι χάρισιν.

Ετ. Ἀριστόξενος. Πολυξένῃ.

ε Τῶν ἑταιρικῶν ἡδονῶν οὐδὲν ἀθερμέστερον. ἄπιστα τὰ τῶν σῶν χειλέων φιλήματα. ἀφύλακτος γὰρ πόθος θᾶττον μαραίνεται. ἐγὼ τὴν σωφροσύνην λοιπὸν αὐθάδη μὲν οὖσαν παρὰ τοῖς πολλοῖς μᾶλλον προσδέξομαι. τὸ γὰρ στεθερὸν ἐπαγγέλλεται καὶ προικέων τὸν γάμον ὀνήσομαι. πρίασθαι γὰρ πίστιν ἑταιρικὴν χαλεπώτατον.

Ηθ. Διογένης. Σωτίωνι.

τ Ὁ μικρὸν τοῦτο δοξάριον ὑπερενύπνιον εἶναι τοῖς εὖ φρονοῦσι δοκεῖ. καὶ τῶν πεπλασμένων μύθων τερατωδέστερόν ἐστι καὶ φαυλότερον. ἄστατον. κουφότατον ὄν. παίγνιον ἠχῶν καὶ πνευμάτων φαντασιωδέστερον. τοῦτο καὶ μὴ παρὸν ἀνιᾷ. καὶ προσγινόμενον πλέον ἐλύπησε. μετ' οὐ πολὺ γὰρ τοὺς ἐραστὰς ἠγνωμόνησε. καὶ πρὶν γενέσθαι πρὸς τὸ μὴ εἶναι μετέδραμε. μή σε καταπληττέτω τὰ τῆς τύχης φυσήματα. διαπαίζει γὰρ τοὺς ἀνθρώπους ὥσπερ καὶ βούλεται. εἴδωλα γὰρ εἰδώλων τὰ τῶν ἀνθρώπων τετύχηκε πράγματα.

Αγ. Βουκολίων. Μυρωνίδῃ.

ο Σὸς ἔγγονος ὑπερμαζᾷ Μυρωνίδη. Ἐρυθρὸν ῥάκος τὰ βουκόλια διετάραξε. καὶ τὴν δαμάλην τὴν πεδινὴν κατεκρήμνισεν

κρήμνισεν. οἱ δὲ ἡλικιῶται τὴν συμφορὰν ἐπεποίηντο παίγνι-
ον· μὴ παρέχουν δυοῖν χοινίκοιν τῷ παιδὶ πρεσβυτέρῳ. οἱ γὰρ νέοι καὶ
σφριγῶντες ἀκόλαστοι καὶ τρυφῶντες εἰσὶν ἀκρατέστεροι.

### Ετ. Περικλῆς. Καλλιόπῃ.

π Ἀρθενικῶν ἡδονῶν ὑπὸ τῆς ἀξίας ἀγανακτῶ δυσχερῶν καὶ λί-
αν. ἐγὼ δὲ ῥάθυμος τὴν ψυχήν. καὶ τί δράσαιμι ἄν. ἀ-
σύμβατος γὰρ ὁ ἔρως ὑποπέμπων τὸ βέλος. αὐτή μοι δίκαζε καὶ
τῷ ἔρωτι καὶ δίδου μοι ψῆφον φιλανθρωπίας. βασανίζουσι γὰρ
οἱ ἐρῶντες τὸ μὲν ποθεῖν παρεχόμενοι. τὸ δὲ τυχεῖν ἀφαιρούμενοι.

### Ηθ. Ἰσοκράτης. Διονυσίῳ.

ϖ Ῥόπομποι καὶ ῥαβδοῦχοι καὶ κήρυκες καὶ θρόνοι ὑ-
ψηλότατοι τῶν ὑπὸ τύχης, φιλοσοφίας εἰσὶν ἀχλὺς καὶ διαι-
ρετικώτατος πέφυκε τῶν ἀρετῶν χωρισμός. οὐκ ἤμειψας με-
τὰ τῆς τύχης τὴν φύσιν. ἔτι τὸν θύλακον ἔχεις δερμάτινον. μόνη
τὴν γὰρ ἔχεις τὴν προοιμίου τὴν σύστασιν. τί δῆτα τὸ κενὸν τοῦτο
δοξάριον ὑπὸ τοσοῦτον τὸν ἄλιμον ἀσκὸν διεφύσησε. μεγάλης
ἀνοίας ἐνεφορήθης ὦ δύστηνε ἐκ τῆς φύσεως τὴν συνουσίαν ἀφῄρησαι.
οὕτω τὰ μετέωρα τῆς τύχης κινήματα ἐκστήσασι τῆς παλαιᾶς θεω-
ρίας ἠνάγκασαν. καὶ τῆς σώφρονος ἐπιεικείας μανίας ἀντικαταχω-
ρεῖν παρεσκεύασαν. ἦν σοι πάλαι μετάρσιον τὸ χαμαίζηλον. νῦν
δὲ καὶ χθαμαλὸν καὶ περίγειον ὁ τῆς τύχης ὅρος ἀκρότατος. οὐ-
κοῦν τῆς ψευδοῦς εὐδαιμονίας ἀφίστασο. καὶ τὴν δραπέτιν τύχην
δραπέτευε. προφθάνων γὰρ τὴν ἀγνώμονα, ἄφνω τὴν μεταβο-
λὴν οὐ δυσφορήσεις προσαπίουσαν.

## Αγρ. Κρεμύλων. Αμπέλωνι.

οὐ Κ ἔστι τί γεωργῶν ἀθλιώτερον· τυραννούμεθα καὶ τοῖς ἀνέμοις οἱ τάλανες. ἀπόλλυσιν ὁμοίως ἡμᾶς. τοὺς ἀστάχυας δ' ἐξιτήλους μοι ἀπειργάσατο· τὴν ἄμπελον ἐλυμήνατο. καὶ τὰς ῥάγας διέφθορε. καὶ πρὸς δικαστήριον ἐλθεῖν οὐχ οἷός τε εἰμὶ τὸν λυπήσοντα. διὸ καὶ τὸ δρέπανον καὶ τὴν ἄμμην ἀποδώσομαι· ἀσπίδα καὶ κράνος ἢ ξίφος ἀράμενος. ἢ στρατιώτης γενήσομαι, ἢ τὴν τέχνην ἀμείψας, τὴν τύχην σοφίσομαι.

## Ετ. Λέανδρος. Καλλινόμῳ.

εἰ Ι μή τοι τοῖς ἀνθρώποις χρυσοῦ τιμιώτερον, δίδωσιν καὶ μείζοσι δώροις ἀμείψομαι τὴν ἀπόλαυσιν. εἰ δὲ μή, δίδου μοι θᾶττον τὰς χάριτας. οὐ γὰρ δαπάνης ἔχεις τὸ κάλλος οὔτε σεμνότερον, οὔτε δὴ ὅς ἐγὼ πλουσιώτερος, χρυσῷ τὴν παρθενίαν ὠνούμενος.

## Ηθ. Σωκράτης. Αλκιβιάδῃ.

κ Αἱ τῆς ποιήσεως παίγνια, πάσης σύμπλεα σοφίας καθέστηκε· κηρῷ τοὺς Ὀδυσσέως ἑταίρους διαβῦσαι τὰ ὦτα φησὶν ὁ τοῦ Μέλητος, ὅτε ταῖς ὁλκάσι πρὸς τὰς ἀκολάστους σειρῆνας ἀνήγοντο. τὸν δὲ Λαέρτου δεσμοῖς ἀπειργάσασθαι ὡς ἐν εἱρκτῇ δυσφύκτῳ τινί. μυθολογεῖται τὰ τῆς φιλοσοφίας ἀπόρρητα. σειρῆνας γὰρ δηλοῖ τὰς ἀσχήμονας ἡδονὰς τὴν ποίησιν ἀναπλάττεσθαι. καὶ θαυμάζω λίαν τὸν Ὅμηρον συγκρίνοντα

τα

τοῖς πράγμασι τὴν ἀλήθειαν. καὶ κυκεῶνα νεκταρέους προσηκέστερον ταῖς ἀκοαῖς ἡμῶν ἀναμίξαντα. οἷάπερ ὕδωρ τῷ ψευδεῖ οἴνῳ γνησιωτάτῳ τινὶ τῇ ἀληθείᾳ κεράσαντα. οὕτω γὰρ οὔτε τοῖς πλάσμασιν ἀπατώμεθα. οὔτε τῇ δυσεφίκτῳ τῶν ὄντων καταλήψει τὸν νοῦν μεθυσκόμεθα. διὸ Κίρκης μὲν τὴν ἀπειρίαν. δεσμῷ δὲ τὴν φιλοσοφίαν ἐδήλωσεν. ἐντεῦθεν Ὀδυσσεὺς μόνος τῶν ὑπερκυκρίων μελῶν ἀκούοντα περατοῦται, καὶ τοῖς δεσμοῖς τὴν ἔφεσιν διακόπτεσθαι. ἡ μὲν γὰρ τῶν κακῶν σαφήνεια, ἡ φιλόσοφος ἀρετή. ἡ δὲ τῶν ἡδονῶν ἀναχώρησις φιλοσοφίας ἐναγώνιον τρόπαιον. Ἐπειδὴ τοίνυν Ἀντιμάχου Ὀδυσσέως πλάνης ὁ παρὼν βίος εἰκόνισμα, καὶ τῇ θαλάττῃ τῶν θορύβων ὁ δείλαιος ἄνθρωπος περιρρήγνυται, καὶ σειρηνείων ἡμᾶς ἡδονῶν, τὰ ἐπιπολοῦσιν ἡ χρήματα, καὶ ἐνδυμάτων δίκην, ποτὲ μὲν ἐνθένδε, ἄλλοθεν δέ ποτε περικρατοῦσιν ὀξεῖσα, τὸν Πηνελόπης ὁμόζυγα μιμησώμεθα ἄρρηκτόν τινα τῶν ἀρετῶν καὶ θεῖον δεσμὸν τὴν φιλοσοφίαν ἀσκήσαντες.

Ἀγρ. Ἄρθμιος. Ἀμπελίωνι.

ο Τρυγητὸς ἤδη προσέκυψε. καὶ ὁ βότρυς γλεύκους πεπλήρωται. περιφρούρει σὺ τὴν λεωφόρον κάλλιστα. καὶ τὴν κρῆσσαν κύμα συνέριθον κέκτησο. ὁ δ᾽ ἴτου γὰρ χεῖρες ἀκόλαστοι. καὶ γεωργικοὺς ἱδρῶτας ἀδικεῖν ἑτοιμόταται.

Ἑτ. Χρυσίππη. Σωσιπάτρῳ.

ι Ῥωπικοῖς δικτύοις οὐχ ἑάλως Σωσίπατρε. τῶν αὐθούσης ἐρῶν. φρονίμων ὀφθαλμῶν εἶ τεκμήριον νεανί-

νος ἐρᾶν εὐπρεποῦς. μὴ στέναζε κάλλει νικώμενος. μείζονα γὰρ τῶν πόνων τὴν ἀπόλαυσιν ἕξεις. ἐρωτικὸν δάκρυον προσηνές. ἡδονῇ γὰρ τὰ τῶν ὀδυνῶν κεκέρασται. καὶ τέρπουσι λυποῦντες οἱ ἔρωτες. ποικίλος γὰρ ὁ θεσμὸς ὁ τῆς ἀφροδίτης κεστὸς ἐγκεχάρακται.

Πθ. Πλάτων. Διονυσίῳ.

ε Ι λύπης ἐθέλεις κρατεῖν, περιπόλει τοὺς τάφους· καὶ τοῦ
πένθους ἕξεις τὸ φάρμακον. καὶ τοὺς μετὰ
σὲ τῶν ἀνθρώπων εὐδαιμονίας ἐπὸ
τῆς περαιτέρω κόνεως κεκλη-
μένους τὸ
φύση-
μα.
*
***
*
Τῶν Θεοφυλάκτου Ἐπιστολῶν
Τέλος.
*

# ΕΚ ΤΩΝ ΑΙΛΙΑΝΟΥ ΑΓΡΟΙΚΙΚΩΝ ΕΠΙΣΤΟΛΩΝ.

Εὐθυκομίδης· Βλεπαίῳ.

α Ια τύγχαν τί μοι πρὸς τὴν ἅλω τοὺς βότρυς, ἡ Μανία προσελθοῦσα ἐθρύπτετο καὶ ὡραϊζομένη, πολλοῖς ἔβαλλε τοῖς σκώμμασιν· ἐγὼ δὲ παλαιὸν δή τι ὑποτεθυμημένος αὐτῆς, διενοούμην τί δρᾶσαι θερμόν. ὡς οὖν ἄσμενος ἐλαβόμην, πλησιάσας, τὰς μὲν ῥᾶγας εἴασα, ἐφορτώσας δὲ καὶ μάλα ἄσμενος, τὰ ὥρας ἐτρύγησα. τουτουσὶ πρὸς τοῦ Πανὸς μυστήρια τὰ μεγάλα ἔστω.

Κωμαρχίδης· Δρωπίᾳ.

β Μύρων ὁ μαλακὸς φελλέα ἐπέκοψε τὸ σκέλος πάνυ χρηστῶς· καὶ θέρμη ἐπέλαβεν αὐτόν. καὶ βουβὼν ἐπήρθη. βουλοίμην δ' ἂν αὐτὸν ἀναρρωσθῆναι, ἤ μοι μεδίμνους ἰσχάδων ὑπάρξαι τέτταρας. τὴν οὖν τὴν τὰ μαλακὰ ἔρια ἐπαινοῦσαν πρός σε, παρ' ἐμοῦ πρόσειπε· καὶ τὸ βοίδιον καὶ τὴν κύνα καὶ τὴν Μανίαν καὶ αὐτὴν χαίρειν κέλευε.

Εὐπειθίδης· Τιμωνίδῃ.

γ Δικεῖ με ἡ παρὰ σοῦ σκύλαξ παραφρουρουμένη τῶν δραγμάτων ἃ παραλείπουσα. ἐὰν μὲν οὖν παύσηται, καλά σοι. καὶ μένου μὲν φίλοι. ἐὰν δὲ ἔχηται ἔργου, δικάσομαί σε βλάβης. καὶ γὰρ ἂν εἰκότως μοι στενάξαι τὰ τῶν προγόνων ἠρία, εἰ Εὐπειθίδης ὁ Κορυδαλλεὺς ὢν ἐμαυτὸν περιόψομαι προσκαλούμενον. καὶ ταῦτα ὑπὲρ ἀνδραπόδου ἴσως δυεῖν μνοῖν ἀξίου.

## Ἀνθεμίων Δρακύλῳ.

Ἴσθι καλὸν ἔργασαι καὶ πίστει ἀπόρητον χρηστόν. ἐγὼ γὰρ ἀμπελίδος ὄρχον ἐλάσας, ἔπειτα μοσχίδια συκιδίων παραφυτεύσας ἁπαλά, καὶ ἐν κύκλῳ περὶ τὸ αὐλίον κατέπηξα ἐλαίας. ἔπειτά μοι δεῖπνον καὶ ποτὸν ἔτνος καὶ τρεῖς ἁδρὰς ἐξεκάναξα κύλικας. καὶ ἀσμένως κατέδαρθον.

## Βοΐτων. Ἀνθεμίωνι.

Ἀσμικώνη μοι τῶν μελιττῶν κενά. καὶ ἀπεφοίτησαν τῆς ἑστίας οὐκ οὖσαι τέως δραπέτιδες. ἀλλὰ γὰρ καὶ πᾶσαι δὲ ἔμενον. καὶ ᾤκουν ὡς οἴκους εἰς τοὺς αὐτῶν σίμβλους, καὶ εἶχον λειμῶνα εὔδροσον καὶ δὴ καὶ ἀνθῶν εὔφορον. καὶ εἱστίων μὲν αὐτὰς πανδαισίᾳ. αἱ δὲ ὑπὸ τῆς φιλεργίας τῆς ἄγαν ἀντεστίων ἡμᾶς πολλῷ καὶ καλῷ τῷ μέλιτι. κοὐδέποτε τῆς δὲ τῆς ὠδῖνος τῆς γλυκείας ἦσαν ἄγονοι. νῦν δὲ ᾤχοντο ἀπιοῦσαι λυπηθεῖσαι πρὸς ἡμᾶς οὐδέν. οὐ μὰ τὸν Ἀρισταῖον καὶ τὸν Ἀπόλλω αὐτόν. καὶ αἱ μέν εἰσι φυγάδες. ὁ δὲ οἶκος αὐτῶν χηρός ἐστι, καὶ τὰ ἄνθη τὰ ἐν τῷ λειμῶνι περὶ αὐτὰ γηρᾷ. ἐγὼ δὲ αὐτῶν ὅταν ὑπομνησθῶ τῆς πίστεως καὶ τῆς εὐχαρίστου χρείας, οὐδὲν ἄλλο ἢ νομίζω θυγατέρας ἀφῃρῆσθαι. ὀργίζομαι μὲν οὖν αὐταῖς. τί γὰρ ἀπέλιπον τροφέα αὐτῶν καὶ ἀτεχνῶς πατέρα καὶ φρουρὸν καὶ μελεδωνὸν οὐκ ἀχάριστον. δεῖ δέ με ἀνιχνεῦσαι τὴν πλάνην αὐτῶν. καὶ ὅποι ποτὲ ἀποδρᾶσαι κάθηνται. ἢ τίς αὐτὰς ὑπεδέξατο. ἢ τοῦτο. ἔχει γάρ τοι τὰς μηδὲν προσηκούσας. εἶτα εὑρὼν ὀνειδιῶ πολλὰ τὰς ἀγνώμονας ἢ ἀπίστους.

Κάλλαρος

κ Αἱ ποῖ τις ἀποστρέψῃ τὸ ῥεῦμα. εἰ γὰρ μήτε εἰς τὴν ὁδὸν ἐμβαλεῖ, μήτε εἰς τὴν τῶν γειτόνων διαβήσεται, οὐ δήπου κατακλύσεις ἡμᾶς ἐκ τῶν ἀγρῶν. πάλαι μὲν οὖν λέλεκται κακὸν εἶναι γείτων κακός. πειρῶμαι δὲ νῦν οὐχ ἥκιστα τοῦ σοῦ. ἀλλ' οὐδέν σοι πλέον τῆς βίας. οὐ γὰρ ἀποδωσόμεθά σοι τὸ χωρίον. δικάσεται δὲ πρότερον ὑπὲρ τούτων πρὸς σὲ ὁ δεσπότης ἐάν περ τὴν δικαίαν ὑγιαίνῃ.

Δέρκυλλος. Ὀπώρᾳ.

ι Υχ ὅτι καλὴ λέγῃ εἶναι, οὐ δ' ὅτι πολλοὺς ἐραστὰς λέγῃ ἔχειν, διὰ τοῦτο ἐπαινῶ σε. ἴσως μὲν γὰρ ἐκεῖνοι διὰ τὸ εἶδος θαυμάζουσιν· ἐμὲ δὲ ἀρέσκῃ διὰ τὸ ὄνομα. καί σε οὕτως ὡς καὶ τὴν τῶν τὴν ὀπώραν ἐπαινῶ. καὶ τεθαύμακα τὸν οὕτω σε καλέσαντα τῆς εὐνοίας. ἵνα μὴ μόνοι σε περιμαίρωνται δηλονότι οἱ ἐν τῇ πόλει, ἀλλὰ γὰρ καὶ ἄγροικος λεώς. τῆς ὀπώρας ἂν καταγελάσαις, τί ἀδικῶ. ἐπεὶ τά γε ἄλλα καὶ ἐφολκὸν μὲν ἔρωτα τὸ ὄνομα. καὶ ταῦτα ἀνδρὶ γεωργίᾳ ζῶντι. ἀπέσταλκα οὖν σοι τῆς ὁμωνύμου σοι ἐν ἀγρῷ σῦκα καὶ βότρυς ἄρτι τρυγηθέντα ἀπὸ λινῶν. ἦρος δὲ ἀποπέμψω καὶ ῥόδα τὴν ἐκ τῶν λειμώνων ὀπώραν.

Ὀπώρα. Δερκύλλῳ.

σ Υ μὲν ἐπεσπουδάζου εἰς τὸ ὄνομα τὸ ἐμόν, εἴτε παίζου, οἶσθα δήπου αὐτός. ἐγὼ δὲ οἷς πέμπεις οὐκ ἀξιῶ πρός με ὡραΐζεσθαι. καλὰ γάρ σου τὰ δῶρα, καλὰ ἀκρόδρυα δυοῖν ὀβελοῖν. καὶ ὑβριστὴς οἶμαι διὰ νεότητα. τοῖα δ' ἂν ἡ Φρυγία αὐτόν. ἐγὼ δὲ λέσβιον πίνω καὶ θάσιον καὶ ἀργεῖον δέομαι ὀπώραν ἤ.

ὀπώρα ἀπεστέλλειν, αὐτὸ χρῆμα πῦρ ἐπὶ πῦρ φέρειν ἐστί. καὶ ἐκεῖνο δέ σε οὐ χεῖρον εἰδέναι ταύτης πέρι ἢ περὶ ἐν καὶ αὐτῇ νῷ. τοῦ σοῦ χρηματίζεσθαι παρὰ τῶν βουλομένων μοι προσιέναι τὸ ὄνομα αἴτιον. ταῦτα δ' εἰς χάρμα, ὅτι τὸ κάλλος τῶν σωμάτων ὀπώρα ἔοικεν. ἕως ἐν ἀκμάζει, τὴν ὑπὲρ αὐτοῦ χάριν προσῆκόν ἐστιν ἀνταπολαμβάνειν. ἐὰν δὲ ἀπορρεύσῃ, τί ἂν ἄλλο εἴη τὸ ἡμέτερον ἢ δένδρον καρπῶν ἅμα καὶ φύλλων γυμνόν. καίτοι ἐκείνοις μὲν ἡ φύσις δίδωσιν ἀναθῆλαι. ἑταίρας δὲ ὀπώρα μία. δεῖ τοίνυν ἐντεῦθεν ταμιεύεσθαι πρὸς τὸ γῆρας.

## Χρέμης. Παρμένωνι.

ὦ Ψευδῆ ἔμαθον ὅτι μοι συνεβούλευσας καλῶς. ταῦτα δ' οὖν με ἀποδιδράσκειν τὰς ἑταίρας. λαβεῖν γὰρ κεχήνασι καὶ προσαιτοῦνται θέλειν. καὶ ἀποκλείουσι συνεχῶς. ἔστι τὸ πάντων μοι βαρύτερον πρὶν ὑπὲρ παλαιθῆναι καὶ γλυκέως διακορεῖς, οὐ βούλονται συγκαθεύδειν. ἀλλὰ ἀκκίζουσι καὶ θρύπτουσιν ἑαυτάς. εἶτα μυστιλῶνται πάλιν. καὶ λάθρα μὲν ἀλοῶσι πάντα καὶ καταπίνουσιν ὑπὲρ τοὺς ἐργαστῆρας τοὺς ἐν ἀγρῷ. παρόντων δὲ ἡμῶν ὡραΐζονται. ἐγὼ δὲ κατὰ χεῖρος ποιῶ πάντα. καὶ σπεύδω καταλαβεῖν ἐς δύο τὰ σκελήκαρας. καὶ ὑποστρέφειν ἐπὶ τὰς αἶγας πάλιν. ἐμέλλησα δ' αὖ τὴν κάλλιστα ἀπολουμένην Θηβαΐδα, αὐλουμένην πρὸς με ἀράμενος μέσην, εἶτα ῥίψας εἰς τὸ κλινίδιον ἔχεσθαι τῆς σπουδῆς. ἀπόλοιτο δὲ ὁ στρατιώτης ὁ διακωλύσας με. Θρασυλέων οἶμαι ἦν ὄνομα αὐτῷ. ἢ ἄλλο τι τοιοῦτο συμπεπλεγμένον θηρίῳ.

Φιλέριφος. Σιμύλῳ.

Επυσμαί σοι τὸν υἱὸν εἶναι λάγνον. τί οὖν αὐτὸν οὐ βίᾳ συλλαβὼν τομίαν ἐργάσω. ὥσπερ εἰώθασι μάγειροι τοὺς τράγους ἡμεῖς. τοῦτο γάρ τοι καὶ τὰ ζῶα ἀναπείθει ἡσυχίαν τε ἔχειν καὶ σωφρονεῖν εὖ μάλα. εἰμὶ δὲ ἐγὼ περὶ ταῦτα δήπου δεινός· ἀποφαίνω γὰρ παραχρῆμα ὁλικλήρους σούξας ἁλῶν καὶ ἐπαλείψας πίτταν. εἶτα ὑγιέστερος ἔσται κρότωνος δήπου καὶ κολοκύντης. καὶ ἐρῶν παύσεται καὶ ὧν τρίβουσι τὴν οὐσίαν ἐνόρχαν ἢ ἀκόλαστον, ὑγιαίνων τρέφοιτο ἄν.

Λαμπρίας. Τρυφῇ.

Γαθὸς διώκειν οἱ νεανίσκοι τρέφουσι κύνας. δρομικώτερον ἢ λαγὼν τὴν ἀσαρκότερον οὐδὲ πώποτε ἐθεασάμην. θαῦμα ταχὺ ὅπως καὶ κατέλαβον αὐτόν. ἐπεὶ γὰρ ἐδάρη καὶ τὸ δέρμα ἀπεδύσατο, φανερὸς τηλικαῦτα ἐγένετο. μᾶλλον δὲ οὐ γὰρ ὀρθῶς λέγω, ἀφανής ἐστι νῦν ἔτι πλέον. σὺ δὲ ὦ Τρυφὴ κιχλίζουσα παῦσαι πρός με. ἐὰν γάρ σε ὦ κακόδαιμον ὁ πατὴρ ἴδῃ, λήψῃ τι πάντως κακόν. ἐγὼ δὲ αὐτὸν ὑποδέδοικα καίτοι πρᾷον ὄντα. σὺ δὲ οὐκ οἶδα ὅπως διατέθρυψαι καὶ καταφρονεῖς αὐτοῦ.

Τρυφή. Λαμπρίᾳ.

Ροσαπαλύσομαί σοι ὦ Λαμπρία τὸν λαγὼ τὴν δορὰν ἵμασι τῶν κυνηγεσίων ἄγαλμα ἦ τοῦτο, κατὰ τοὺς μεγάλους ἐκείνους δήπου θηρευτάς. ἔσται δὴ καὶ τὸ σὸν εὔθηρον ἀνάγραπτον. πότερον δὲ αὐτὸς ἥρηκας ἢ δῶρον εἴληφας. πῶς δὲ καὶ ὤφθη τὴν ἀρχὴν διὰ σμικρότητα. εὔρινοι ἄρα ὄντως ἦσαν αἱ κύνες.

οὐ παρὰ τὴν αὐτοῦ μὴ δεῖν, ἀλλ᾽ ἤκαθον γὰρ αὐτοῦ. σὺ δὲ δὴ τὸ θηρᾶν ἤρξω, γέγονας ἡμῖν αὐτόχρημα ἱππόλυτος. ὅρα δὴ τὴν ἀφροδίτην μή τι σοὶ διὰ τὴν ὑπεροψίαν μηνίσῃ.

Καλλιππίδης. Κνήμωνι.

α Γροίκου βίου τά τε ἄλλα ἐστὶ καλά, καὶ δὴ καὶ τὸ ἥμερον τοῦ τρόπου. ἡ γὰρ ἡσυχία καὶ τὸ ἄγειν σχολὴν τοῖς ἐπὶ γῆς, καλὴν πραότητα ἐνεργάζεται. σὺ δὲ οὐκ οἶδα ὅπως ἄγροικος εἶ καὶ γέρων οὐκ ἀγαθὸς πάροικος. βάλλεις οὖν ἡμᾶς τοῖς βώλοις καὶ ταῖς ἀχράσι. καὶ μέγα κέκραγας ἰδὼν ἄνθρωπον ὡς διώκων λύκον. καὶ γὰρ χαλεπὸς εἶ. τοῦτο δὴ τὸ λεγόμενον ἁλμυρὸν γειτόνημα. ἐγὼ δὲ εἰ μὴ παρ᾽ ἑτέρων ἀγρὸν ἐγγὺς ἐώρων, ἄσμενος ἂν αὐτὸν ἀπεδόμην φυγῇ φοβεροῦ γείτονος. ἀλλ᾽ ὦ βέλτιστε κνήμων τὸ σκαιὸν τοῦ τρόπου κατάλυσον. μή σε ὁ θυμὸς ἐπὶ πλέον προαγέτω. μή τι μανεὶς, σεαυτὸν λάθῃς. ταῦτά σοι φίλα παρὰ φίλου παραγγέλματα ἴσως τι ἴαμα τοῦ τρόπου.

Κνήμων. Καλλιππίδῃ.

β Δέομαι μηδὲν ἀποκρίνασθαι. ἐπεὶ γὰρ ἐστὶ περίεργος τι βιάζημαι ἀκούοντά σοι προσδιαλέγεσθαι, τοῦτο νῦν κεκέρδηκα τὸ δι᾽ ἀγγέλων σοι λαλεῖν, ἀλλὰ μὴ πρὸς σαυτόν σε. ἴσως σοι τοιγαροῦν τὸ σκυθῶν λεγομένη ἀπόκρισις αὕτη. ἐγὼ μαίνομαι καὶ φωνῇ μισῶ τὸ γὰρ ἀνθρώπων γένος. εὐθὺς τοίνυν βάλλω τοὺς ἐσφοιτῶντας εἰς τὸ χωρίον καὶ βώλοις καὶ λίθοις. μακάριον δὲ ἡγοῦμαι τὸν περσέα κατὰ δύο τρόπους ἐκεῖνον· ὅτι τε πτηνὸς ἦν καὶ οὐδενὶ συνῆν τι. ὑπεράνω τε ἦν τοῦ προσαγορεύειν τινὰ καὶ ἀσπάζεσθαι. ζηλῶ δὲ αὐτὸν καὶ τοῦ κτήματος ἐκείνου οὐ μάλα, ᾧ τοὺς συναντῶντας ἐποίει λίθους.

τὸ π

γὰρ ἦν ἐμοί τις εὐμοιρία κατατυχεῖν ἐγλύετο, ἔδει ἂν ἦν ἀφθονώτερον λιθίνων ἀνδριάντων. καὶ σὲ δ᾽ ἂν ἐργασαίμην τοῦτο πρῶτον. τί γὰρ μαθὼν ῥυθμίζεις με τὸ πρᾶον ἀποφῆναι ταλίχω, ὅπως ἐχθρὰ πᾶσι νοοῦντα ἀνέσιον τοῦ χωρίου τὸ παρὰ τὴν ὁδὸν ἀργὸν ἔασα ἐστί τό μοι περὶ τῆς χειρὸς ὅσει κ παρῶν. σὺ δὲ ἔα σεαυτὸν τῶν ἀναγκαίων ἀποφανεῖς. τὸ συνδεῖς με φίλον ἔχειν μὴ δὲ ἐμαυτῷ φίλον ὄντα; τί γὰρ τὸ μαθὼν εἰμὶ αὐτός.

Καγιστάδης. Κνήμονι.

Υ μὲν τῶν ἀποφράδων διαφέρεις οὐδέν. οὕτως ἄγριος ὢν καὶ πονηρὸς τὸν τρόπον. δεῖ δέ σε ὅμως τὸ μὴ βουλόμενον ἡμέραν ἡμῖν γενέσθαι αἰδοῖ ἐπὶ ταύτῃ ἑστιάσεως. τὸ θεῶν ὀρέων τιμή. ὅτι γὰρ οὖν εἰσι κοινοὶ θύσαι τοίνυν περὶ παντὶ τὸ φυλασίων τοὺς μάλιστα ἐπιτηδείους εἰς τὴν ἱεροτρίαν παρακαλῶ. ἐν δὴ τούτοις ἐπὶ σὲ ἀφικέσθαι βουλοίμην ἄν. οὐδὲ ἐπὶ ἐμπαιὼν τὸ κοινωνήσαι σπονδῶν ἔστι τι καὶ πρᾳότερος. ὁ γάρ τοι διόνυσος φιλεῖ τὰς μὲν ὀργὰς μαραίνειν καὶ καταλυοιμίζειν. τὰς δὲ εὐφροσύνας ἐγείρειν. ἔσαι δέ σοι ὁ αὐ οὗτος θεὸς τὸ πικρὸν καὶ ἀπολύσει σε τῆς ἀκράτου χολῆς, οἴνῳ σβέσας τὸ τοῦ θυμοῦ ὑπέκκαυμα. ἐπὶ αὐλητρίδος δὲ ἀκούσας ἴσθ ὦ κνήμων καὶ εἰς ᾠδὴν ἐμπεσών, καὶ εἰς μέλος ὑπολισθών, ἐξῆς τι καὶ γαλήνην ἐν τῇ ψυχῇ. οὐ χεῖρον δὲ ἂν εἴη καὶ οἰνωμένους καὶ μαχλῶν ἐρᾶν. εἰ δέ που τὸ μεθύων κόρης περιπέσοις ἁβρᾶν ἀνακαλούσης ἢ τὴν τίτθην ὑπολειφθεῖσαν εὑρεῖν πειρωμένης, τάχα που τι ἐπὶ ὁρμὴν δράσεις καὶ νεανικὸν ἔργον. οὐδὲν ἀπεοικὸς εἴη καὶ τοῦτο παραχθῆναι, ἐν τῇ τοῦ παντὸς θυσίᾳ. καὶ γάρ τοι κἀκεῖνος ἐρωτικὸς εὖ μάλα καὶ οἷς ἐπαρίστασθαι παραθέμενος. λῦσον δὲ τὸ τὴν ὀφρῦν. καὶ τὸ σκυθρωπὸν τοῦτο καὶ συννεφὲς χάλασον εὐθυμίᾳ. φίλου ταῦτα παραίνεσις νοοῦντος εἰς ἀγαθόν.

## Κνήμων, Καλλιππίδῃ.

ἰ Νάσσει καὶ λοιδορήσωμαι, ποῦ τ' ἂν ἐπιστέλλω· καὶ ἀφῶ τὴν ὀργὴν εἰς σέ. μάλιστα γὰρ ἐδεόμην παρόντος, ἵνα σου καὶ αὐτὸ χθὲς γένωμαι. τί γάρ με διαφθείρειν ἐλίχη, τί δὲ τοὺς ἄλλους ἀπολέσαιμι· εἰς ἑστίασιν καὶ θοίνην παρακαλῶν. πρῶτον μὲν γὰρ τὸ πολλοὺς ὁρᾶν καὶ συνεῖναι πολλοῖς, δεινῶς πέφευγα. φεύγω δὲ κοινὴν θυσίαν ὡς οἱ δειλοὶ τοὺς πολεμίους. ὑφορῶμαι δὲ καὶ τὸν οἶνον ὡς τὴν βουλεύουσαν καὶ τὴν θέλουσαν γνώμην δεινῶς καρτερόν. τοὺς δὲ θεοὺς τούς τε ἄλλους καὶ τὸν Πᾶνα ἀσπάζομαί τε καὶ προσαγορεύω παριὼν μόνον. θύω δ' οὐδέν. οὐδὲ γὰρ αὐτοὺς ἐνοχλεῖν ἐθέλω. σὺ δέ μοι καὶ αὐλητρίδας προσάγεις καὶ ᾠδὰς ὦ καταγέλαστε. τὴν μὲν δὴ τούτοις καιρὸν οὐκ ἀψαίμην σου. καλὰ δέ σου κἀκεῖνα. ὀρχήσασθαι τὸ ὁμιλῆσαι κόρῃ θερμοτάτῃ. σὺ μέν μοι δοκεῖς κἂν εἰς πῦρ ἅλλεσθαι κἂν εἰς μαχαίρας κυβιστῆσαι. ἐμοὶ δὲ μήτε θύων εἴης φίλος, μήτε ἄγων.

## Δερκύλλος, Αἰγέᾳ.

οὐ Κἀγὼ ἔλεγον ὅτι πλοῦτον ὁρῶντα ὀξὺ καὶ οὐ τυφλὸν αὐδῶσιν ἄνδρες, ἢ καταγέλασμα καὶ τὴν τῆς τύχης. ἐπεὶ τῶν χρυσῶν τῶν μὲν ἔλαβον τὴν θεόν. σὺ νῦν ἀπέδειξα τῶν εὐδαιμόνων ἐκείνων εἷς ὤν, οὓς τῶν κρόνου φασὶν ἐκ τῆς γῆς αὐτόματα ἔχειν πάντα τὰ κοινωνίαν ἐν αὐτοῖς ἀφθονοῦν πολιτεύεσθαι. τὰ ἀφελξαν τὸ πόνου τὰ ἔνια οἰκεῖν τὸν ὑπερουράνιον τόπον πάντα. πλουτήσαντι νῦν οὔτις ἔστω Σολόμων ἢ κακὸς ὡς ἄχθεσθαι καὶ ζηλοτύπως νοεῖν. μὴ τοσαύτης κακίας ἀναπλησθείη γεωργῶν ἤθη. ζηλοτυπεῖν τε εἰς πλοῦτον καὶ ὑπὲρ χρημάτων φρονεῖν. εἰς ἀγρίας αἶγας ταπεινὰ ταῦτα καὶ ἐς τοὺς ἐν δικαστηρίοις ῥήτορας.

## Δήμυλος. Βλεψίᾳ.

γ Εὐεργίαν καὶ γεωργεῖν ἀπολ. πάνυ ὁ γείτων λάχης, ἐπιδεῖν νεώς.

νεώς. καὶ πλεῖ τὸν αἰγαῖον φασί, καὶ ἅμα πελάγη μερίζει καὶ ἐπὶ κύματι ζῇ. καὶ λάβρον βίον ζῇ καὶ ἀνέμοις μάχεται διαφόροις. ἄκρα τε αὐτὸν ἐξ ἄκρας διαλαμβάνει καὶ περιβλέπων ἄδρον κέρδος καὶ περιουσίαν πλούτου ἀθρόον μακρὰ εἶπε χαίρειν αἰπολίοις ἐκείνοις καὶ νομευτικῷ τῷ προτέρῳ βίῳ. ὀλίγχρως τε καὶ κατ' ὀλίγον ἐκ τῶν ἀγρῶν ἀποζῶν οὐ δυνάμενος, οὐ δὲ ἀρκούμενος τοῖς παροῦσιν, αἰγυπτίους καὶ σύρους φαντάζεται. καὶ περιβλέπει τὸ δεῖγμα καὶ πολύς ἐστι νῦν διὰ τόκους ἐπὶ τόκοις λογιζόμενος, καὶ χρήματα ἐπὶ χρήμασιν ἀριθμῶν καὶ διαφλέγει τὴν διάνοιαν αὐτοῦ καὶ ἐκκάει κέρδος ἀμφοτερόπλουν. χειμῶνας δ' οὐκ ἐννοεῖς, οὐ δὲ ἐναντία πνεύματα, οὐ δὲ τὸ τῆς θαλάσσης τὸ ἀστάθμητον. οὐ δὲ τῶν ὁρώντων τὰς ἀκαιρίας. ἡμεῖς δὲ εἰ καὶ μικρὰ κερδαίνομεν μεγάλα πείθοντες, ἀλλὰ πολὺ ἡ γῆ τῆς θαλάττης ἑδραιοτέρα καὶ αὐτὴ πιστοτέρα, βεβαιοτέρας ἔχει τὰς περὶ ἑαυτῆς ἐλπίδας.

## Μορμίας. Χρέμητι.

ἐ Ἐγὼ μὲν ἔθυον γάμους ὁ χρυσοῦς μάτην καὶ περιῄειν ἐστεφανωμένος. οὐδὲν δέον. καὶ τούς τε οἴκοι καὶ τοὺς ἔξωθεν ἐκολάκευον. ὁ δὲ παῖς, κατήγαγε μὲν καὶ αὐτὸς τὸ ζεῦγος ἐκ τῶν ἀγρῶν ὡς τὴν νύμφην ἐξάξει εἰς τὸ πατρῷον χωρίον ἐπαινάζων. αὐλητρίδα δὲ λυσάμενος ἧς ἔτυχεν ἐρῶν, νύμφης στολὴν αὐτῇ περιβαλὼν, ἐπανήγαγέ μοι φάτταν αὐτὴν περιστερὰν φασὶν ἑταίραν αὐτὴν νύμφης. καὶ τὰ μὲν πρῶτα αἰδουμένη κοσμίως εὖ μάλα καὶ κατὰ τὸν τῶν γαμουμένων νόμον ὑπέκρυπτε τὴν τέχνην. μόλις δὲ ἀπεῤῥάγη ἡ σοφία τε αὐτῶν καὶ αἱ κατ' ἐμοῦ μηχαναί. οὐ μὴν εἰς τὸ παντελές μου καταφρονήσουσιν ὥσπερ οὖν πολιτικοί. ἐπεί τοι τὸν μὲν καλὸν νυμφίον ἐς κόρακας ἀποκηρύξω, ἐὰν μὴ τῆς ὑπερβαλλούσης τρυφῆς παυσάμενος, σὺν ἐμοὶ ταφρεύῃ καὶ βωλοκοπῇ. τὴν δὲ

νυμφίῳ ἀποδώσομαι καὶ κείνην ἐπεξαγωγῇ, ἐὰν μή τι καὶ αὐτὴ τῶν ἔργων, τῇ Φρυγίᾳ τε καὶ τῇ ἐρατῇ ἡ συναπολαμβάνῃ.

Φαιδρίας. Σθένωνι.

Φύεται μὲν ἐν τοῖς ἀγροῖς καλὰ πάντα καὶ κόσμια· ταῖς τε γὰρ γῆ τούτοις τε τρέφει πάντας. καὶ τὰ μὲν διὰ τῶν κακῶν διετήσια. τὰ δὲ καὶ πρὸς ὀλίγον ἀντέχοντα ὥσπερ τὰ ὡραῖα. πάντων δὲ τούτων, θεοὶ μὲν ποιηταί, ἡ γῆ δὲ μήτηρ ἅμα τε τροφὸς αὐτῶν. φύεται δὲ καὶ δικαιοσύνη καὶ σωφροσύνη, τε ταῦτα ἐν τοῖς ἀγροῖς δένδρων τὰ κάλλιστα καρπῶν τὰ χρησιμώτατα. μὴ τοίνυν ἡμῶν ῥᾷον καταφρονῇς. ἔστι γάρ τις καὶ ἐνταῦθα σοφία. γλώττῃ μὲν οὐ πεποικιλμένη, οὐδὲ καλλωπιζομένη λόγων δυνάμει. σιγῶσα δὲ εὖ μάλα καὶ διὰ τοῦ βίου τὴν ἀρετὴν ὁμολογοῦσα. εἰ δὲ σοφώτερα ταῦτα ἐπέσταλκά σοι ἢ κατὰ τὴν τῶν ἀγρῶν χορηγίαν, μὴ θαυμάσῃς. οὐ γὰρ ἐσμὲν οὔτε λίβυες οὔτε λυδοί, ἀλλ᾽ ἀθηναῖοι γεωργοί.

Θ

·Θ✳Θ·

Θ

Τῶν Ἀλκίφρονος Ἐπιστολῶν.

Τέλος.

·✳·

# ΑΙΝΕΙΟΥ ΣΟΦΙΣΤΟΥ ΕΠΙΣΤΟΛΑΙ

## ΙΩΑΝΝΗ.

ά Σὺ ἐτύγχανες τὸ βιβλίον, ἐρῶν δὲ, πρὸς ἐμοῖς δὴ καλῶς αὖ κἀγώ· τοιοῦτον ἡ φιλία. νῦν δὲ δεσπότης ἐγώ· σὺ δ' οὐ δίδως. ἀλλὰ μὴ πρὸς φιλίας δίδου· μὴ γάρ μοι τοῦτο τὸ βιβλίον. ἐμοὶ γὰρ οὐσία τοῦτο. καί μοι τῶν ἱερῶν κτημάτων σεμνότερον εἶναι τὸ κτῆμα δοκεῖ. ἄγος μὲν γὰρ σμινύης ἐρᾷ γεωργὸς, ἵππου ἕτερος, πρὸς κύνας ὁ ἔρως κυνηγέτης· οὐ τοξότης ἄλλο τόξον ἐν ἡδονῇ· τῷ δὲ ἵππος τὰ παιδικά. ἐμοὶ δὲ βιβλία καὶ λόγοι. ἀλλ' ὃ μᾶλλον τῶν ἄλλων τὸν κεκτημένον χαίρειν ποιεῖ, τοῦτο μᾶλλον τῶν ἄλλων ἀφῃρημένον λυπεῖ. εἰ μὲν οὖν ἀποδώσεις, πείθομαί σοι τῇ διανοίᾳ τὸ βιβλίον ἐγγεγράφθαι. εἰ δὲ μὴ, δόξεις οὐ τῶν γεγραμμένων ἐπιθυμεῖν, ἀλλὰ τοῦ βιβλίου κεκτῆσθαι δοκεῖν. ἀλλὰ τί ταῦτά φημι. οὐ χθὲς πολλάκις εὐφράνθην, ἐντεῦθεν αὖ ἰασόμεθα.

## Κάσῳ.

λ Λαέρτης ὁ γέρων οὐκ ἐπιθέλεσεν εἶναι βασιλεὺς, οὐδ' ἀνθρώπων ἄρχειν· ἀλλὰ κηπουρὸς γενέσθαι καὶ τῶν δένδρων ἐπιμέλεσθαι. σὺ δέ μοι δοκεῖς ἐζηλωκέναι τὸν ἄνθρωπον· οὐ γὰρ αὖ τὴν πόλιν καὶ τοὺς σαυτοῦ ἀπολιπὼν, χρόνον οὕτω μακρὸν ἐν ἀγρῷ προσκαθήμενος τοῖς φυτοῖς διηγῇς λαλῶν. ἔδει δὲ οὐ τοῦ Λαέρτου μεμνῆσθαι· ἀλλὰ Σωκράτους καὶ τῶν Σωκράτους δογμάτων, ἐν οἷς ἐκ ἑνὸς χαριέντως καὶ σεμνῶς λέγων φιλοσοφεῖ. ὅτι τὰ χωρία καὶ τὰ δένδρα οὐδὲν ἐθέλει διδάσκειν. οἱ δ' ἐν τῷ ἄστει ἄνθρωποι. τούτῳ μᾶλλον πειθόμενος, μακρὸν τῶν ἀγρῶν ὑπεριδὼν ἐν οἷς ἀπορεῖν σοφίας

κεν τῷ. τοὺς γεωργοῦντας ὀφείλει πείθεσθαι, ἀλλ' ἀμυνέσθω τῶν συνήθων ἐκείνων διατριβῶν ἐν αἷς ἔνεστι σοφόν τι μαθεῖν καὶ διδάξαι. καὶ τὸ διημέτερον εὐφραινέτω τοὺς φίλους.

## Ἀλφείῳ Πρεσβυτέρῳ.

τ Οὐναντίον ἔγημεν, ὁ μὲν ἀναστάσιος ἡσυχίαν ἄγει. σὺ δὲ πολεμεῖς. ἀλλ' οὐ τοσοῦτον πρέπον, ἢ τοῦ ἄλλως καλόν. βούλομαι φράσω καὶ τοῦ πολέμου τὸν τρόπον. ὁ κορνήλιος ἀναστασίου χωρίον κατέλαβεν, ὃν ἐκεῖνος ἐπολέμει χρόνον. καὶ ἐπειδὴ ἀφίκετο, ὁ μὲν ἠξίου τὸ πεδίον λαβεῖν ὁ δεσπότης. ὁ δὲ γεωργὸς ἠξίου κεκτῆσθαι, ἀλλ' οὐ προῖκα. χρῆμα καὶ τιμὴν ὥριζεν. ἔδοξε. καὶ περὶ τῶν ὠνῆς γράμματα γίνεται. ἤδη δὲ ἐπὶ τὸ χρυσίον φέρων ὁ κορνήλιος ἕτοιμος ἦν καταθεῖναι τὴν τοῦ χωρίου τιμήν. σὺ δὲ προσαπεστὼν ἐξαίφνης ἐκέλευες μὴ τοῦτο ποιεῖν. σὸν εἶναι τὸ κτῆμα φάσκων. ἐντεῦθεν ὀργὴ καὶ πόλεμος. εἰ μὲν οὖν ἀδικεῖς καὶ πρὶν εἰς ἡμᾶς ἐλθεῖν τὸ γεγονὸς διάλυσον. εἰ δὲ δοκεῖς, ἤκεν τελευταία χρῆσθαι. ὡς παρὰ δικασταῖς ἂν δῶσιν εὐθύνας. οὔτε γὰρ ἀδικεῖν οὔτε δοκεῖν βουλοίμην τοὺς φίλους.

## Ζωσίμῳ Σοφιστῇ.

π Ὁ ἀλλὰ κἀγαθὰ γένοιτο τῷ Θεοφανίῳ τῷ καλῷ. ὅτι περ ἡμᾶς ἐνέπλησεν ἡδονῆς. ἀγαθὸν γάρ σε ῥήτορα καλῶν, μᾶλλον σου τὸν τρόπον ἢ τὸν λόγον ἐθαύμαζε. τὸ δ' οὖν κεφάλαιον, φίλος ἔδοξας ἀληθινός. καί μετρέσει πεπολλάκις παίζων ἅμα τῷ λόγῳ, ὑπὲρ σοῦ τοῦτο ποιῶν. σὺ γὰρ τοῦτο πράττειν ἐκέλευσας. οἶδας δ' οἷος ἐκεῖνός ἐστιν ὅτι περὶ χάριτος ἐραστής. ἀμέλει καὶ ὀχληρὸς ἦν θαμά μοι παρὰ σοῦ χαίρειν κελεύων. σὺ δὲ αἴτιος. εἰ γάρ μοι σμικρὰν ἐπέπομφας ἐπιστολήν, ἀπέλαβον ἂν ἡδέως μικρὰ χαίρειν ἀπ' αὐτῶν καὶ ἀκούσας.

κ Ἂν οἱ κακῶς ἀπόλοιντο, οἵτινές ποτε ἦσαν οἱ τὸν ὑμέτερον οἶκον οὕτω πονήρως διαθέντες. ὅσον γὰρ ἠνιάθην ἐγὼ μὰ τοὺς θεοὺς οὐκ ἂν δυναίμην εἰπεῖν. ἀλλά μοι τὶς εὐτυχῶς ὅτε ποτὲ παραπέπτωκε παραμυθία, ἧς καλὸν ὑμᾶς κοινωνεῖν ἐνεθυμήθην. ὡς οὐ παντελῶς ἄχρηστος ἡ συμφορά. νῦν γὰρ βεβαιότερον γνώσεσθε ὅτι χρυσὸς καὶ ἄργυρος καὶ περιφανεῖς ἐσθῆτες, τοῖς μὲν πολλοῖς περιμάχητα, ἀβέβαιον δ' ἐστὶ χρῆμα καὶ οὐχ ἑστηκὸς οὐδὲ τοῦ ἔχοντος ὡς ἀληθῶς, εἴγε τῶν βουλομένων διαρπάζειν ἔξεστι. τὰ δὲ μαθήματα καὶ ἡ σοφία τοῖς μὲν ἀνοήτοις καταγέλαστον. βέβαιον δὲ τὸ κτῆμα καὶ πεπηγὸς καὶ ἀνάλωτον καὶ τὸ ὅλον κρεῖττον λῃστείας. τούτου μᾶλλον ἀντέχετε. καὶ οὐκ ἔτι πρὸς φυλακὴν δεήσεσθε, οὐ τείχους, οὐχ ὅπλων, οὐ φυλαττόντων φύλακος.

Γάμπῳ Γραμματικῷ.

α Φεῖλε τὸ μου δι' ἐπιστολῆς τὴν ἡδονήν, διὰ λῃστείας ἡ λύπη. δι' ἣν οὐ χεῖρον ἠνιάθην ἐγώ, ἢ εἴπερ αὐτὸς ἐτύγχανον ὁ πεπονθώς. καὶ οὐκ ἀπίθανος ὁ λόγος. εἰ γὰρ κοινὰ τὰ φίλων, κοινὴ δήπου καὶ ἡ τούτων ἀφαίρεσις. ἀλλὰ τί ταῦτα συνάχθομαι. πάντως ὁ τοῦ κέρδους κρεῖττον, καὶ ζημίας ἐγκρατής. ἐντεῦθεν ἡμῖν ἡ παραμυθία. εἰ δ' ὀρθῶς γινώσκω, βουλοίμην παρὰ σοῦ μανθάνειν.

Διοδώρῳ Σχολαστικῷ.

δ Ἤλλαξεν ἡμῖν ὁ καλὸς Ἡρόδοτος ἀπεμπτοικὸς τυχεῖν. ὑπὲρ τὸν Ὀρφέα καὶ Θάμυριν ἐκεῖνον, ἡ τοῦ ἀνδρὸς μουσική. νῦν τοῦ ἔστω μὲ αἰγλῆς ὥσπερ ἐν συγκρουμαχίᾳ πρότερον πολεμοῦντι. καὶ εἰρήνη συγχεῖ

ἀλλὰ κρατῆρα στήσαντες οἷον ἐν εἰρήνῃ, σπονδὰς ποιησώμεθα θεῶν μὲν ἑρμῇ, ἀνθρώπων δὲ ἡροδότῳ. οἳ τὴν στάσιν ἡμῖν μόλις διέλυσαν. τούτοις ἄγοντες τὴν ἑορτὴν, τὴν μὲν κωμῳδίαν ἣ ἀναιδῶς περιτρέχουσα, ἐκκαλεῖ τὰ τῶν φιλτάτων, αὐτῇ σκευῇ τῶν ἀποστολῶν ἐξελάσωμεν, εἰσκαλεσάμενοι ὅπερ σαν φιλίαν δορυφορεῖ, τὴν πειθώ. τὴν χάριν. τὴν ἡδονήν. τὸν κρότον. τὸν ἔπαινον. τούτοις καθίσωμεν σεμνότερον θέατρον ἀπειπόντες κωμῳδίᾳ μηδὲ ἐνοχλεῖν.

Ζωσίμῳ. Προτίοντι.

ὅ Τι πλείων διεσώθης, οὐκ οἶδα. οὐ γὰρ κατὰ λῃστείαν ἀνδρὶ νηὸς ἐπέβης· οἷον οἴδημα τῷ ταλαιπώρῳ τῶν πολλῶν. οὐ γὰρ ἐκπεμπτίαν οἷον οἱ πολλοὶ τῶν νῦν θνητῶν. ἀλλὰ πόθῳ φιλτάτων ἀνδρῶν τε καὶ τόπων. ὡς πέσοι τὸν φίλιον μὴ ἐκχεῖ συμπλεῖν, λέγειν οὐ θέμις. ἀγάσαι γένοιτο ἡ πόλις δυομένης μετὰ τὴν θάλατταν τυχὼν τέρψεως περὶ φίλων πρὸς φίλους ἐπανήκοις.

Σωπάτρῳ. Σοφιστῇ.

ἐ Ἐπήνεσα τοῦ καλοῦ κωνσταντίνου τὸν τρόπον, τὴν τύχην μεμψάμενος. ἔδει γὰρ εἶναι μακάριος ὢν μιᾶς ἀπολαύειν πόλεως τῆς πατρίδος. νῦν δὲ, οὐ γὰρ ἔδοξε τῇ τύχῃ, πολλῶν ἀνθρώπων ἰδεῖν ἄστεα. πλανᾶται δὲ κατὰ ζήτησιν βίου. καὶ τὴν ἀπορίαν ἀποσεμνύνειν ἀναγκάζεται ποιητικὴν ἐπαγγελλόμενος οὐκ ἐκ τῆς ἑλλάδος ἀλλ' ἐξ ἰταλίας πεποιημένην. φοβεῖ γοῦν βαρύτατα ὑπὲρ ὄγκον. μετὰ ταύτης προσελθὼν ἐδεῖτο μου συμμαχεῖν. ἐγὼ δὲ σοῦ. πάντως δὲ καὶ σὺ διασώσεις πρὸς ἕτερον.

Ζωσίμῳ. σοφιστῇ.

ε μὲν νέος ἦν ὁ χρηστὸς παῦλος ποιητὴς δὲ, τιμῆς ἄξιος ἦν· νῦν δὲ ποιητὴς καὶ γέρων· ἀμφότερα δὲ ταῦτα τοὺς θεραπεύειν εἰδότας ἐπιζητεῖ. τούτων ἐθέλησον εἶναι καὶ πρῶτος καλῶς γε ποιῶν ἕξεις οἷον οὐ ποιήσεις.

Μαρινιανῷ ἀπὸ ὑπάτων.

τ Ων ἐμῶν γυμνασίων ὁ καλὸς πάντων, φιλοπονίᾳ τοὺς ἄλλους παραδραμὼν, μέγα δὲ τοῦτο συμβάλλεται πρὸς μαθημάτων συλλογὴν, ἀμελεῖ ῥητορικῆς ἔχων παλαίσματα, καὶ νόμων προσέθηκε ποικιλίαν, καὶ οὐ πάντων πόνων ἐμπίμπλαται. ἄπεισι δὲ πρὸς ὑμᾶς ὥσπερ ἀγαθὸς ἀθλητὴς εἰς ὀλυμπίαν ἀποδημῶν, ἤδη μὲν εἰς ἀγῶνας παρεσκευασμένος καλῶς. εἰ δὲ ὑμεῖς ἐμπνεύσητε, ὀλυμπιονίκην εἶναι τὸν νέον μαντεύομαι. γένοιτο δὲ ὑμᾶς λαμπρῶς ἀγωνοθετεῖν καὶ ἆθλα τιθέναι, οὐ τιμῆς καὶ πάλης, ἀλλὰ λόγων τε σωφροσύνης. προσφθέγγομαι τὸν ἐνδοξότατον Βίκτορα. καὶ τὸν περίβλεπτον Στέφανον καὶ τὸν χαριέστατον Ἰωάννην. καὶ τοὺς ὑμετέρους οἰκείους καὶ ἐμοὺς ἑταίρους.

Ἐπιφανίῳ σοφιστῇ.

τ Οἷς μὲν ἄλλοις ἐρασταῖς καὶ ὑπόδημα τοῦ ἐρωμένου φανέν, ἱκανὸν παραμυθεῖσθαι τὸν ἐρῶντα· σὺ δὲ καὶ τὴν ψυχῆς τε σώματος εἰκόνας ἐπιζητεῖς. οἱ μὲν οὖν λόγοι τὴν διάνοιαν σαφῶς ἑρμηνεύοντες, αὐτὴν ἀτεχνῶς ὑπογράφουσι τὴν ψυχήν. ἐποίου τὸ σῶμα τοῦτο, πρὸς ὑμᾶς ἀπῆρεν. ἐμοὶ δὲ ἦν δεδογμένον μηκέτι τοῦ εἰδώλου τὸ εἴδωλον ἐγκαταγράφειν. ἀλλ᾽ ὅμως αἰσχυνθεὶς τὸν ὑμέτερον ἔρωτα, προσκαλεσάμενος τὸν τὰ ζῶα γράφοντα, τε ἐναντίον καθήμενος, ἀτρεμίζοντι τῷ προσώπῳ σεμνῶς πάνυ σιγῶν καὶ

ἐμαυτὸν περιστέλλων, ἀφῆκα τὴν τέχνην τῇ φύσει συνάπτεσθαι. καὶ τοῦ μὲν εἴδους ἀναρπάσασα ἡ τοῦ ζωγράφου δεξιά, τοῖς χρώμασιν ἐγκατατίθεται φέρουσα. τὸ νῦν δ᾽ εἶναι παρὰ σοί, ὡς ἐξεῖναί σοι διαλέγεσθαι καὶ ὁρᾶν. καὶ τῶν ἐμοὶ προσόντων μηδὲν ἔλαττον ἔχειν. διακονεῖ δὲ ἡμῖν ὁ καλὸς Εὔθυμιος. τὸ ὑπὲρ τούτου θάλατταν ἢ δέος ὑπομεῖναι. ὃ τοῖς αὐτεραστοῖς χαλεπὸν εἶναι δοκεῖ. ἀλλὰ θεραπείᾳ τοὺς πόνους αὐτοῦ συγκαλύψομεν.

Ἐγκρατίῳ.

χ Θεὸς παιδαγωγὸς ἦν, ὁ σήμερον ὑπὸ παιδὸς ἀγόμενος. ὁ σεμνὸς ἔδοξε τοῖς νέοις, ὁ νῦν ἐλεεινὸς οὕτω φαινόμενος. τοιοῦτον ἠτύχησε· τί οὖν ἡμεῖς συναχθόμεθα μὲν, οὐ βοηθοῦμεν δέ. μὴ σύ γε ἐστρατιώτης ὤν, εἶτ᾽ ἐξαίφνης αὐτοῦ τὴν δεξιὰν δι᾽ ἧς ἐκεῖσε σεν ἠτύχει παρείλετο. ἆρ᾽ οὐκ οἶδε τοὺς μαχομένους τῶν στρατιωτῶν, τῶν λαφύρων αὐτῶν εἰς ἔρανον φέρειν τὸ μέρος. μὴ τοίνυν ἡμεῖς οἱ ἀπὸ τῶν λόγων ὁ βίος, τῶν ἐν τοῖς ὅπλοις ζώντων φαυλότεροι πρὸς φιλίαν ὀφθείημεν.

Ἰωάννῃ Πρεσβυτέρῳ.

τ Ἀλλ᾽ ἀχαρῆ νῦν μᾶλλον εἶδον ἡδέως, ἢ πάλαι τὸν ἐκ μέλιτος καὶ ἀμυγδάλων συμπλακέντα κύκλον. τότε μὲν γὰρ ἡ κατὰ τοῦ παιδὸς διαβολὴ ἀφῃρεῖτο τοῦ μέλιτος τὴν ἡδονήν. νῦν δὲ ἡ τοῦ τρόπου σου πραότης, χρυσοῦ μοι δοκεῖν ἐποίει τὰ λάχανα. ὁ δὲ γὰρ πατὴρ οὐκ ἐκ διαβολῆς ὀργιζόμενος, ἀλλ᾽ ὑπὲρ τὴν εὐνοίας εἶναι παρακαλῶν. καὶ ἐγείρων εἰς προθυμίαν αὐτῷ τὸν διδάσκαλον.

Στεφάνῳ Πρεσβυτέρῳ.

ο Ὑν ὦ πρῶτον, ἀλλά σοι πάλαι δεῖ λέγειν. ἦν δὲ ἡμῖν ὁ λόγος περὶ τῷ νείλῳ. οὐ περὶ τὰς ὄχθας τε τοῖς μούσαις

σιν ἐμπαίζουσιν· ἐκεῖνο μέντοι δὲ καὶ γελᾶν ἐδόκει σπουδάζων ὁ λόγος. κάλλους ἦν ἀγών. κεῖται δὴ ὅσον οἱ ἑλλήνων. ἀγωνισταὶ δὲ Νιρεὺς ὃς κάλλιστος γέγονε τῶν πεχθονίων ἀνθρώπων, καὶ θερσίτης ὃς αἴσχιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε. καὶ τὸ χαριέστατον, τὸ πλέον ἔχειν ὁ θερσίτης ἠξίου καὶ προὔλεγεν αὐτῷ τὸ ἆθλον ὁ λόγος. καὶ οὐδὲν ἐκώλυσεν ἡ τοῦ ὁμήρου κωμῳδία μέρος ἕκαστον τοῦ σώματος ἀπὸ τοῦ πάθους ὀνομάζουσα καὶ μέχρι στίχος γελῶσα τὸν ἄνθρωπον. τὰ μὲν οὖν τότε συνέπαιζες τοῖς ἀκροαταῖς. νῦν δὲ σεαυτὸν δεῖξαι ἀκούω καὶ τοῖς ἱεροῖς τὸ καλὸν δόγμα κηρύττειν καὶ λόγῳ μεταρρυθμίζειν τῶν πολιτῶν τὸν τρόπον. καὶ νῦν ὁ οἰκοδόμος καὶ τέκτων ἔχουσί τι περὶ τῶν θείων εἰπεῖν. καὶ περὶ ἀρετῆς, μεταξὺ τῆς ἐργασίας διαλέγονται οἱ πρὸ τῶν σῶν λόγων λίθους καὶ ξύλα καλοῦντες. ἀλλὰ πολλὰ κἀγαθὰ γένοιτο τῷ στρατιώτῃ καλῷ· ὅτι πολλὰς πλὴν διαδρομῶν, τοῦ σοῦ ὀνόματος πόλεις ἐνέπλησε. μηδεὶς γὰρ ἀγαθὸς λανθανέτω. ὁ ... ρος καὶ ταύτην ἀνέπεισε τὴν ἐπιστολὴν ὡς ὑμᾶς ἰέναι. ἐλπίδι μετεωρίσας καὶ μείζονα ὑπισχνούμενος. χρύσεα χαλκείων ἀντὶ τῆς ἡμετέρας τὴν ὑμετέραν ἐπιστολήν. ἀλλὰ μὴ καλῆς ἐλπίδος διαμάρτοιμεν.

Σαραπίωνι.

Τὸ παρ' ὑμῖν ἀνήκοα δρᾶμα, καὶ αὐτὴν ἐδάκρυσα τὴν γῆν. εἰ ἐκ τῶν ἱερέων ὁ πόλεμος ἄρχεται, παρ' οἷς εἰρήνη τὸ κήρυγμα, ἐκ γὰρ ὅθεν ἔδει σωθῆναι, ἐντεῦθεν ἀπολλύμεθα, τίς πόρος σωτηρίας, ἡμῖν καταλείπεται. ταῦτα μὲν οὖν ἐποιτίσ ἂν οἶμαι θρηνῶν. ἐγὼ δὲ συνάχθομαι καὶ συνήδομαι.

ὁ καιρὸν μὲν γὰρ τῶν κινδύνων ἡ πεῖρα. ἀκριβεστέρα τῆς μεγαλοψυχίας βάσανός ἐστιν ἢ ἐν τοῖς κινδύνοις εὐψυχία. ποίας δ' ἀρετῆς κτήσεως, ὅσα γ' οὖν μὴ προηγήσατο. εἰ μὴ τὸ στρατηγὸν φανῆς ἄριστον, τὸν μηδὲ πώποτε κατιδόντα πολέμιον. φέρε δὲ δεῖ καὶ μὴ ἀθυμεῖν. ἐκ πολέμου γὰρ ἡ μὲν εἰρήνη βεβαιοῦται. εἰ δὲ μή, ἀγεννῶς τὸν πόλεμον διενέγκοιμεν ἀγαθοὺς ὥσπερ τοὺς φίλους. ἐγὼ δὲ ῥητορικῆς ἐμαυτὸν πρὸς ὑμᾶς ὡμολόγουν, ἐλπίσας παρ' ὑμῶν εὑρήσειν τὸ φάρμακον· ἀλλ' οὐ τοὐναντίον γέγονεν. ηὐξήσατε γὰρ μᾶλλον ἢ διελύσατε τὸν ἔρωτα. θέατρον τῇ ἐπιστολῇ συλλέγοντες καὶ κρότον διεγείροντες. πῶς οὖν αὖθις ἀτιμάσῃ τὸ παρ' ὑμῶν ἐπαινούμενον.

Διονυσίῳ σοφιστῇ.

ω Ἄλλαι μὲν τὸ πάλαι ἦν κοινὸν διδασκαλεῖον τῶν ἡρώων ἰδίᾳ. νυνὶ δὲ ἡ ὑμετέρα ἐστὶ τῶν μουσῶν πόλις. ἐστὶ ἐπ' αὐτὰς συνοικοῦσι πατέρες τοὺς ἥκοντας αὐτοῖς, ὅσοι ὑμᾶς φοιτῶντας ἢ λόγους μανθάνειν ἢ λόγους εἰδέναι δοκεῖν. καὶ θαυμαστὸν οὐδέν. ἡ γὰρ πόλις ἀρχαία τε παλαιᾶς μυθολογίας γέμουσα περὶ ἧς ᾄδεται ἄλλα τε πολλὰ καὶ καλά, καὶ ὅτι καὶ γιόπη θαυμάζουσι τὴν πόλιν, ἣ μὲν παρακαλεῖται τὸν Ἑλικῶνα περιαθέουσα καὶ τὰς ἀδελφὰς αὐτῇ πείθει συνοικεῖν. ὁ δὲ Ἑρμῆς πάντως οὐκ ἀνέξεται μὴ συμπαίζειν ταῖς ἀδελφαῖς. ἀλλὰ καὶ Ἀπόλλων μουσικὸς ὢν θεός, Ἰασ τε ἱερῷ μᾶλλον ἢ τοῦ περὶ Παρνασσοῦ τε περιπολήσουσιν αὐτοῦ δοκεῖ μοι χαίρειν ἀδελφῶν τε τὸν κύκλον τῶν παιδικῶν. ἐπὶ τῇ περὶ ἀδελφῶν τε δὴ δελφὶ τὸ ἄλσος. ἔνθα ἐστὶ τὸ ὕδωρ ἐπικαθαίνεται τοῦ θεοῦ. καὶ τί μουσικὸν ὑποχεῖν λέγεται. τὸ δ' ἦν κάλλιστον, ὁ Διόνυσος διδάσκων ὥσπερ ἄλλους θιάσους τὰς τῶν θεῶν τελετάς. ταῦτα δὲ ἐπείρα πρεσβύτας.

ταῦτα

τοῦτο συγκαλεῖ νέους· διὰ ταύτην καλὴν ἐλπίζω τὴν εὐπεί-
ας γενέσθαι τῶν νέων. ἀγνὼς δὲ ὅτι προτετελεσμένος καὶ τῶν παρ' ἡμῖν
καλῶν ἐν παρασκευῇ γενόμενος, ὥσπερ ἐν ὡς ἀθήνησιν οἱ τὰ μικρὰ
μυστήρια προτελούμενοι τῶν μεγάλων. δέχου τοίνυν εὐμενῶς τὸν
νεανίσκον, δοκιμάζων αὐτοῦ τὴν φύσιν ἐκ τῆς νῦν προθυμίας.
εἰ δὲ καὶ θάλατταν πολλὴν καὶ πολλὴν ἤπειρον ἐλαύνεις ὁ μάλα ἐρ-
ρωμένος τῷ σώματι· ἐχέτω δέ τι καὶ μεῖζον διὰ τὴν ἐπὶ σὲ ὁδόν. δεῖ δὲ
τὴν θαρρεῖν· μηδαμῶς τε ἐρυθριᾶν νῦν πρῶτον ὡς ὑμᾶς φοι-
τῶντα ἐρωτικῶς τε προσιέναι καί τι πρὸς αὐτὴν ἡδέως λαλεῖν,
ὥσπερ πολλάκις ὡς ὑμᾶς ἴοι.

## Θεοδώρῳ. Σοφιστῇ.

ξʹ Ἔστω σμυρναῖος ὅμηρος. Ἀριστείδης κοινωνείτω τῆς φιλο-
τιμίας. ὁ ἐμὸς ῥήτωρ Θεόδωρος. πάντως ἐμὸν καὶ τοῦ-
το ἐπεὶ τὰ τῶν παίδων καλὰ τοῦ πατρὸς εἶναι νομίζεται. ἀλλ'
ἔργῳ τῆς ὑμετέρας εὐφωνίας. δι' ἣν τῶν ἀθηναίων οἱ παῖδες οὐ
παρὰ τῶν πατέρων, παρὰ δὲ τῶν σοφῶν ἀττικίζειν ἀξιοῦσι μαν-
θάνειν. οὐκέτι γοῦν εἰς τὸν πειραιᾶ καταίρουσι τῆς ἀκαδημίας
ἐρῶντες. οὐδὲ φοιτῶσι παρὰ τὸ λύκειον, παρ' ἡμῖν τὴν ἀκαδη-
μίαν καὶ τὸ λύκειον εἶναι νομίζοντες. ἐγὼ γοῦν ἱκανὰς ἔχω πα-
ρ' ὑμῶν τὰς ἀμοιβάς. εἰ καί με πρόγονον δι' ὑμᾶς ᾄσουσιν ἴσως.
καὶ τῆς ἐμῆς ψυχῆς τὰς εἰκόνας καθαρῶς θεωροῦντες, ἤδη καὶ
τοῦ σώματος τὸ εἶδος ὑπογράφουσιν. ἡ δὲ παρ' ὑμῶν στολή, ἐμοὶ
μὲν λαμπρότερον ἀποφαίνει τὸ σχῆμα· σοὶ δὲ καλλίω τὴν φή-
μην ἐργάζεται.

Γεσίῳ ἰατροσοφιστῇ.

ἐ Μὸς προκόπιος, γινώσκεις δὲ σύ, ἐλπιδίου παῖς, ὃν ἐβουλόμην ἐπιζῆν. διὸ οὖν ἤκμασε περὶ ἡμῖν ἰατρικήν. ἀλλὰ γὰρ χαλεπὸν περὶ τοὺς λόγους φιλοπονεῖν καὶ τὸ σῶμα καλὸν διασώζειν. οἷα γοῦν πέπονθα· ἐγὼ μὲν ὑπέγραφον· ὑμεῖς δὲ ὥσπερ θεαταὶ τοῦ πάθους γέγονατε. ἀλλὰ τί δράσω. βραδεῖαι μὲν αἱ τῶν νεφρῶν ὀδύναι καὶ ὀξεῖαι. ὑμεῖς δὲ βραδεῖς ὡς ἔοικε χάριν διδόναι. ἢ πόσον χρόνον οἴεσθε ἄλλον. τῷ δὲ κάμνοντι ἡ ἡμέρα μία πολλῶν ἐστι περίοδος. ἢ τοῦ φιλοσοφοῦντος τὸ πάθος βραδύτερον. σὺ χρὴ τέχνη παρὰ σοί, οὐ χρήσιμος ἡ τῶν φαρμάκων κατασκευή. τί οὖν ἐμποδών. πλὴν εἰ μὴ τῆς εὐνοίας ἐλλείπεται· ἔστι ἄμεμπτον ἀγνοίας μᾶλλον ἢ κακίας κρίνεσθαι. χαλεπαίνει γοῦν ὁ δικαστὴς οὐ πρὸς ἀγνοοῦντα, ἀλλὰ πρὸς ἐθελοκακοῦντα. ἀλλ' ὡς τῆς τῶν φιλτάτων προδοσίας. ἔτι μὲν ἡ νόσος παρ' ἐμοί· ἔτι δὲ τὸ φάρμακον παρὰ σοί, ἀλλὰ μεταξὺ λόγου τοῦ πάθους πληττόμενον.

Περὶ αὐτοῦ.

ὁ Καλὸς Νεμεσίων ἀπὸ τῆς τῶν νόμων ἐπιστήμης ἐπαινούμενος ἀπὸ τοῦ τρόπου μᾶλλον ἐπιθαυμάζεται. τί τούτου μέγιστον σημεῖον. φίλους οἶδε θηρεύειν. καὶ οὓς πράττουσι μὲν συνήδεται, πεπονθόσι δὲ οἷα πολλὰ οὐκ ἔδει συνάχθεται. βουλοίμην δὲ καὶ σὲ πρὸς τῆς ἄλλης φιλοσοφίας καὶ τοῦτο μελετᾶν. μελετήσειας δὲ τῶν ἀπόντων φίλων ἢ τῶν παρόντων μεμνημένος. ἕως μὲν γὰρ αὐτὰ πάθη λανθάνῃ, καὶ τὰ φάρμακα ἐν μέσῳ κείμενα λανθάνει. καὶ ἀκμάζει περὶ τὴν θεραπείαν ἡ πλάνη. ἡ δὲ τοῦ πάθους διάγνωσις, οἷον φῶς ἐξέλαμψε τῇ τέχνῃ· καὶ διανοίγει τὴν τῶν φαρμάκων

μάχων περιουσίαν. ὅτι οὐκ ἐπαμφίβολον τὴν θεραπείαν συνεισφέρει. ὑπεγράψαμεν τὸ πάθος ἔπιπον μέμνησαι, ὡς συνεχὴ προηγήσατο κίνησις. ὡς πολλὴ συνηκολούθηκεν αὐτῇ τῶν περὶ τῆς ὑγρότητος, ἡ τοῦ αἵματος ῥύσις, ὡς ἡσυχία δὲ δίαιτα τὸ πάθος συνεσκίαζε. τὸ πάλιν κίνησις καὶ πάλιν αἵματος ῥύσις καὶ αὖθις ἡσυχία καὶ δίαιτα. καὶ ὡς οὐκ ἔτι τὸ πάθος συνεκρύπτετο. ἀλλὰ σύψις ἐπέκειτο. τὸ μὲν πρῶτον μετρία. εἶτ' οὐκ ἀγχιμής. τελευτῶσα δὲ φορητός. αἰκιζομένη καὶ ἔνδοθεν ὑβρίζουσα τὸ ὅλως τὸν ὀμφαλὸν συναράττουσα. τί γὰρ αὖτις πρὸς ὑμᾶς ἀποκρύπτοιτο, ἃ δημοσιεύει ἡ φύσις οὐκ αἰσχύνεται. μᾶλλον δ' ἐπικαταλείπεται φάρμακον τῷ πάθει μονομαχεῖν. πλὴν εἰ μὴ ὑμεῖς ὑπὸ σοφίας ἕτερον ἐξεύροιτε. ὅθεν διὰ τῶν τόσας συμπεπλεγμένος κύκλος ἦν φυσαλλίδα μαλασσεμνῶς ὀνομάζουσι τῶν ἰατρῶν οἱ παῖδες: τινὰ πάλιν ἱκανὸν τὰς τοῦ νοσήματος ἐνέδρας τὸ λόχους ἀμύνεσθαι.

## Δωροθέῳ. Πρεσβυτέρῳ.

Οἱ μὲν πολλοὶ τὸ δὴ λεγόμενον αὐτόπται σχοινίῳ περιδοῦσι τοῖς ἱεροῖς, καθάπερ ὁ τοῦ πλάτωνος χαλκοῦς ἐκεῖνος ὁ Φαλαιρίς, ὅς ἔτι καπνοῦ καὶ δυσωδίας ὄζων ἐπανέστη τῇ διανοίᾳ. σὺ δὲ ἐξ ἱεροῦ διαβαίνεις εἰς ἱερόν, ἐκ φιλοσοφίας εἰς ἱερωσύνην. ὁ δὲ τὴν ἐπὶ πολλῶν κομίζων, ἱερῶν ἐστὶν ὑπηρέτης. οὐκοῦν σὺ οὗτος. ἐρᾷ δὲ ἡσυχίας. καὶ οὐκ οἶδ' ὅπως μαθὼν ὅρος εἶναι θεῷ κεχαρισμένον δι' ἐρημίαν εἰς ἡσυχίαν ἐπιτήδειον, πρὸς ἐκεῖνο πορεύεται. ἀλλ' ἡ ἐμποδὼν ἀπορία τῶν ἀπορίας αἱ μηχαναί. ἃς δυνάσαι διαλύειν τοῖς ἐν μέσῳ τῆς χώρας ἱερωσύνῃ κελεύοντι, μέχρι τοῦ ὄρους διασώζειν τὸν ἄνθρωπον.

εἰ Πόλεμος ἡμᾶς πρὸς ἀλλήλους πολλὰ κελεύει λαλεῖν· εἰρήνη δὲ συχνὴν ἐπάγει τὴν σιωπήν, μόνος οὗτος ὁ πόλεμος εἰρήνης κρείττων ἐστί. τί γὰρ χαριέστερον ἢ θαμὰ παιδικοῖς ἀδολεσχεῖν. λύσωμεν τοίνυν ἢ τὴν εἰρήνην ἢ τὴν σιωπήν. μὴ γὰρ τοὺς φίλους. μὴ γὰρ τοὺς ῥήτορας σιωπῶντας ὁ ἥλιος κατίδοι.

Ἐπιφανίῳ σοφιστῇ.

εἰ Σὸν κάλλος ζῶν ἡ γραφὴ μεμελέτηκεν, ᾧ δὲ δέδωκα μὲν τὴν ἐπιστολήν. δύναται δὲ τὴν εὐδαιμονοῦσαν οἰκίαν τῷ κεκτημένῳ διασώζειν καλῶς. ὅσοι τοῦ βίου κοινωνὸν ἔχειν ἐβούλοντο. ὁ δὲ τὸ τῆς πατρίδος μᾶλλον ἢ περιουσίας ἐρᾷ. πολλὰς δὲ πόλεις καταμαθὼν, οἷά τις Ὀδυσσεὺς, ὡς ὑμᾶς οἷα πρὸς Ἀλκίνουν ἀφῖκται. καὶ ὁ μὲν ὑμῖν διηγήσεται τὴν πλάνην, οἵων ἐκεῖνος ἐκείνῳ. ὑμεῖς δὲ καταλύσαντες τὴν πλάνην, οἴκαδε διασώσατε. ὥσπερ ἐκεῖνος ἐκεῖνον. μὴ γὰρ διαμάρτοι τῆς δόξης δι' ἐμοῦ πρὸς ὑμᾶς καταφυγών.

Μαρκιανῷ.

φ Ἦλθεν ἐκέλευσας. ἐγὼ δὲ καὶ αὐτεῖν ἄρχομαι. ἠδίκηται γὰρ ᾧ δέδωκα μὲν τὴν ἐπιστολήν. κατέβαινεν τῶν Φοινίκων ὁ νῦν φέρων χρυσίον τὴν τῶν Φοινίκων τιμήν. ἀλλ' ὢ τῆς τύχης. οὐ δὲ πενίαν αὐτὸν κινδυνεύων ἐστὶν ἀμύνεσθαι. ὁ μὲν γὰρ ἤλαυνεν ἀγαθαῖς ἐλπίσιν ἐποχούμενος. τῶν δὲ φιλίαν ὑποκρινομένων βαρβάρων οἱ λῃστρικώτατοι προσπεσόντες, παίουσί τε καὶ στρεβλοῦσι. καὶ γυμνὸν τὸ ξίφος ἐπανατείναντες, ἀποσφάττειν ὅλως ἠπείλουν. τέλος δὲ τὸ χρυσίον λαβόντες, ἐκέλευον χαίρειν εἰδέναι, ὅτι τὴν τύχην οὐ τὸν

βίον

βίον μετήλλαξε. δίκη δ' ὑστέρα οὖσα τῶν ἠδικηκότων ἐνίους συλλαμβάνει. ἤκουσεν ὁ στρατηγός· ἐχαλέπαινε μισῶν ἀεὶ τοὺς κλέπτας μᾶλλον, ἢ τοὺς φανερῶς πολεμίους. καὶ μάλα γε εἰκότως. τοὺς μὲν γὰρ ἔστι πόρρωθεν φυλάττεσθαι, οἱ δὲ τοῖς φίλοις ἐξ ἀφανοῦς ἐπιτίθενται. καὶ προσέταττεν ἐπανορθοῦσθαι τοῦ πένητος τὴν ἀπώλειαν. καὶ ἀναλαμβάνειν ὅσων ἀφῄρηται. ὁ μὲν προσέταττεν ὁ στρατηγός. ὁ δ' ἄπορος ἔτι πενίαν ὀδύρεται. ἀλλὰ στήσατε τοῖς μὲν τὴν λῃστείαν. τῷ δὲ, τὴν ἀπώλειαν· προσφθέγγομαι τὸν μεγαλοπρεπέστατον καὶ θεοφιλέστατον στρατηγόν.

## Ἰουλιανῷ Ἀρχιτέκτονι.

τ Οὐ ἄλλ' ἢ ἵνα τὸν κῆπον οἶμαι κεκτῆσθαι διὰ τὴν καλὴν μηχανήν, ἣν σὺ μὲν ἐξεῦρες, ἐποίησε δὲ ὁ τέκτων. ἐγὼ δὲ γράφω τῷ λόγῳ. ἥδιστον γὰρ τὸ θέαμα. δύο μὲν οἱ μέγιστοι κύκλοι σανίσι καὶ γόμφοις συναπτόμενοι. ὥστε ἐν αὐτοῖς ἔξωθεν θεωμένοις δοκεῖν εἶναι. ἐπὶ δὲ τῷ κατασκευάσματι πεδίον ἔνδοθεν ἐκτρέχει περὶ τὸν αὐτὸν τόπον μακρόν τινα δρόμον. ὁ δὲ κύκλος συμπεριθεῖ καὶ τοῦτον ἀκολουθεῖ, ὅσον τὸ πεδίον βούλεται. ὁ δὲ ἄξων περὶ ὃν ὁ μέγιστος κύκλος, αὐτοῦ μένων στρέφεται. καὶ συγκινεῖ μικρὸν ἕτερον κύκλον τὸν ἔσω περὶ τῷ φρέατι. ἐπὶ τούτῳ τὰ χοινία καὶ οἱ χόες ἐπίκεινται κατὰ μέρος συνδεδεμένοι. ἀλλ' ὅ ξυνταύτῃ μὲν ἐκίνησας. τοῦ δὲ μικροῦ κύκλου τὸ μέσον στενοχωρεῖται. ὥστε μόνον τὰς ἀπαρχὰς τῆς ἐκροῆς ὑποδέχεσθαι. τὸ δὲ πλέον τοῦ ὕδατος ἐπὶ τὸ φρέαρ ἐκχεόμενον, ῥᾳδίως αὖθις καταδυθέν, μόλις ἀνάγεται. τουτὶ μὲν οὖν ἐπανορθώσασθαι δεῖ. περὶ γὰρ τὴν ἀρχὴν ἐξευρόντι, οὐ χαλεπὸν τὸ τέλος γίνεται. μὴ γὰρ περὶ ἰδὼ μὲν οὕτω καλὸν θέαμα τῆς ἑτέρου σοφίας δεόμενον. μὴ ταυτὸν πάθοιμεν ὥσπερ ἂν εἴ τις ζωγράφος τὴν Ἑλένην εἰς κάλλος γράφων τῆς κεφαλῆς ὑπολάθοιτο.

Τῶν Αἰνείου τοῦ σοφιστοῦ ἐπιστολῶν Τέλος.

A

Νηφαλίῳ.

ἤ θελον δεξάμενος τὴν ὑμετέραν ἐπιστολὴν, εἰς ἔργον δὲ ταύτην ἄγειν βουλόμενος, ὅτι ἔχειν ὑπουργοῦσαν τῇ προθυμίᾳ τὴν χρείαν. τὸ δ᾽ αἴτιον τί χρὴ λέγειν; μὴ ὅτι αὐτὸ ποτε εἴποιμι καὶ μάλιστα πρὸς ὑμᾶς. θεοῦ δὲ πάντως πρόνοιαν κυβερνῶσαν ὡς βούλεται τὰ ἡμέτερα.

Φιλίππῳ ἀδελφῷ.

τ Οἷς ἀγαθοῖς τῶν ἀνδρῶν ἀρκεῖ μὲν εἰς οὐσίαν φιλίας ὁ τρόπος. ἀλλ᾽ ἐπειδὴ καὶ ἀφορμὴν εἶναι προσήκει τινὰ δι᾽ ἧς δεῖ πρῶτον εἰς λόγους ἐλθεῖν, εἶτα πειραθέντας θαυμάζειν, ἰδού σοι χαρίζεσθαι ἐπέδωκα τῷ λογίῳ Θέωνι τὴν ἐπιστολήν. πρῶτον μὲν διὰ ταύτην εἰδὼς αὐτὸν ὄψει. ὕστερον δὲ περιττὰ νομίσας τὰ γράμματα, δι᾽ αὐτὸν οἶμαι θαυμάσεις τὸν ἄνδρα.

Καισαρείῳ καὶ Δεβούλῳ.

π Υθαγόρας ὁ σάμιος τοῦτον φασὶν ὡς οὐ μέχρι παντὸς ἐπίταμα σιγήν. ἀγωνιστὴς χρόνου αὐτοῖς μεταβολὴν ἄγων ἐπὶ λόγους καὶ μετεβάλλοντο. ἀλλ᾽ οὐδ᾽ ὁ πρὸ τοῦ ἐσιώπων χρόνον, ἔδει δὴ πυθέσθαι μὲν δεῖν περὶ ἀλλήλων εἰδέναι· ἀνάγκη τὴν μὲν γλῶτταν ἐν χρόνῳ σιγῆ, ἡ δὲ χεὶρ διηκονεῖτο τῇ γλώττῃ καὶ διὰ τῶν γραμμάτων πάλιν ἐφθέγγοντο. ὑμεῖς δὲ εἰ μὲν τὸν Πυθαγόραν ζηλοῦτε, καὶ δὴ πέρας ἐς σιωπῆς λῦσαι αὐτὴν εἰκότως ὁ χρόνος. εἰ δὲ τι πλέον φέροντες ἥκετε, σκληροί τινες ὑμεῖς καὶ αὐστηροὶ ὄντες εἰδότες. καίτοι τὸν Ἀλφειὸν λόγος ποταμὸν ὄντα καὶ τοσοῦτον ἀρεθούσης ἀπεχόμενον, μέχρι καὶ νῦν ἐκ Πελοποννήσου τὴν Σικελίαν ὁρᾶν. καὶ διὰ μέσης θαλάττης ἀγόμενον, σκοπεῖν πῶς καλός τε εἴη καὶ διαμένοι γλυκὺς τῇ πηγῇ. ἡ δὲ χεῖται τὸν ἐραστὴν κεκμηκότα. καὶ δίδωσιν ἑαυτήν. καὶ ἴδοις ἂν τότε

ην ἀφροδίτην τὴν τοῦ ποταμοῦ καὶ πηγῆς. ὑμεῖς δὲ οὔτε φοιτᾶτε πρὸς ἡμᾶς τοῖς λόγοις, οὔτε φοιτῶντας ἀμείβεσθε. ἀγαθῶν, δοίητε τέλος ἐγκλήματι τῶν ἡμῖν. εἰ δὲ μή, ἀλλ' οἱ βουλόμενοι λέγειν ἵνα μὴ λυπήσας ἀπέλθω.

Γερμανῷ.

ο Σον ἀγαθοὶ λυποῦσιν ἄνδρες πεῖραν αὐτῶν παρέχοντες καὶ ἀφιστάμενοι τῶν ἐγνωκότων, νῦν ἔργῳ μαθὼν καὶ διηγοῦμαι τοῖς ἄλλοις. ὑμᾶς γὰρ ᾔδειν μὲν καὶ πρὶν εἰς λόγους ἐλθεῖν. εἰ δὲ θαυμάζεις ὁπόθεν, διδάσκαλοι παρεῖχον ὅσοι πεῖραν δόντες ἐθαύμαζον. ὡς δὲ κἀγὼ συμμίξας ἐμάνθανον, χάριν μὲν ὡμολόγουν τῇ τύχῃ. πάλιν ταύτην ἐμεμφόμην ἐπὶ τοσοῦτον γλυκέος πράγματος ἄκρῳ δακτύλῳ φασίν, εἶτα τὴν ἡδονὴν ἀφαιρήσει. καὶ ἐπὶ τοσοῦτον εὔφρανε τὸ παρόν, ὅσον αἱ τοῦ μέλλοντος ἐλπίδες ἐλύπουν. ἐλογιζόμην γὰρ ὅτι δεῖ θᾶττον ὑμᾶς οἴχεσθαι καταλιπόντων. τοῦτο καὶ γέγονε καὶ συμβὰν λυπεῖ. καὶ ἀποροῦμαι τῷ πράγματι. σὺ δὲ φιλονεικεῖς ἐπὶ τὸ μεῖζον ἡμῖν ἐξάπτειν τὸν ἔρωτα. ὅπερ ῥᾷον γινόμενον. τῇ γὰρ εἰς ἐμὲ σπουδῇ καὶ τὰς ἐμὰς ἐλπίδας ὑπερβαίνων ἐνίκας. ἀλλ' εἴθε γάρ τις θεῶν εὐμενὴς ἡμῖν γένοιτο. ὃ σὲ θᾶττον ὡς ἡμᾶς αὖθις ἐνέγκοι.

Ἰωάννῃ.

ε Ἴσθι περὶ φίλους ὀλιγωρίας ἦσαν γραφαί, καί μέ τις εἰσῆγεν εἰς τὸ δικαστήριον αὐτὸ δὴ τοῦτο κατηγορῶν, ὡς ἀδικοίην οὐ μετρίως, ἐν οὐδενὶ φίλον ποιούμενος, οὐκ ἂν ἄλλως ᾤμην τὴν νίκην ὅσον λαβεῖν, ἢ σὲ παρεχόμενος μάρτυρα τὸν οὐκ οἶδ' ὅπως ὀφθέντα κατήγορον. οὔπω μοι παρ' ἐλπίδας ἐξέβη τὰ παρὰ σοῦ. εἰ βραχύ τι σε πρᾶγμα διεσπάσεν ἐπ' ἐμοὶ παρεσκεύασεν. ἐγὼ γὰρ οἶδα καὶ μὴ φίλους πυκνὰ δὴ τοῖς γράμμασι βάλλοντας ὅταν λανθάνειν ἐθέλωσι. ὃ φίλοι σιωπῶντας, ὁπόταν τῇ μνήμῃ τῶν ἀπόντων ἀρκούμενοι πρὸς ἑτέροις ἀσχολῶνται, ἐκεῖνο ὅτε τὸ γράφειν εὐνοίας,

οὔτε πρὸς σιωπῶν ἐγκλήματος, μὴ δὲ γνώμης βεβαιότης ἀμφότε-
ρα· οὐ κοινῇ ταῦτα πρὸς εἰς, ἐκεῖνα δὴ σκόπει· εἰ μηδὲν μοι τῶν ὑμετέ-
ρων δίδωσι λήθην, εἰ διὰ παντὸς ἀγαθολόγου καὶ θαύματος ὥσπερ ἐστὶ τῇ
μνήμῃ κοσμοῦμαι, εἰ τὸν Ἰωάννην εἰπὼν, τὸ γλυκὺ πάντως τῷ λό-
γῳ προσέθηκα, ταῦτα σκοπῶν, ἀγαπήσεις σιωπῶντα μᾶλλον ἢ
φθεγγομένου ἑτέρου, εἰ καὶ τὸ δωδώνης αὖ περὶ χαλκεῖον τοῦ δὲ γλώττης
ἠχεῖ· ἄλλως πῶς μὴ ταύτην ἀπολογίαν ἔχειν ἢ γυμνὸς, σιωπήσης,
ἄδε· μὴ τὸν ἀντιφθεγξώμεθα. Φιλίππῳ.

μ Ἄκρον ἡμῖν ἔστησε χρόνον τὸ πρᾶγμα φέρειν οὐκ ἔχω· ἐπειδὴ γὰρ ... χειμὼν ἦν καὶ οὐ μετρίως ἐφερόμην· ὤφθησαν χελιδόνες καὶ οὐ μετὰ τούτων ἐφθέγξω· καὶ νῦν ἀηδόνες τέττιγες· καὶ περὶ ἐλπίδας ἡμῖν ἡσυχία· εἰ μὲν πρὸς λύπην ταῦτα, ἀγνοοῦμεν ὅ,τι ποτὲ παθὼν ἐλύπεις· ὅμως οὐκ ἂν οἶμαι μείζω τιμωρίαν λαβεῖν. εἰ δὲ πάλαι σπουδὴν εἰς ῥαθυμίαν μετέθης, ἀδικεῖς μὲν συγγενείας νόμον, παραβαίνεις δὲ φιλίας θεσμόν. εἰ δὲ μὴ δυσχερὲς εἰπεῖν, τάχα τις σφαίρας σαυτοῦ κατήγορον γεγένησθαι. οἷς γὰρ ἡμῖν σιωπῶσιν ἐπέπληξας, τούτοις ὤφθης αὐτὸς ἁλισκόμενος. τὸ πῶς ἔχοι λόγον τὸν ἐπιτετιμηκότα λαλεῖν, τοῦ τὸ πεισθέντος μεταλαμβάνειν σιωπήν. ἀλλ' ὅρα λοιπὸν καὶ σοφιστήν με καλεῖν τὸ παίζειν ἅμα τῷ λόγῳ· οὐδὲ τοῦτο πρᾶγμα πάντως. καὶ ὅ,τι ἂν λέγῃς, οἷς συμμετρίως, εἰ φθεγγομένου μόνον ἀκούσομαι.

Τοῦ αὐτῷ.

μα Μὲν λυποῦσα διὰ τὴν σιγὴν ὥρα, καὶ δὴ πέρας ἔχει τὸ πέπονθα· ἐγὼ δὲ τοι μὲν γὰρ φρονεῖν ἐθέλων ἐλπίδι γραμμάτων τῶν παρὰ σοῦ, ἐμαυτοῦ γίνομαι τὸ μνήμην λαμβάνω τῶν παρελθόντων· ὅσον γὰρ τοῦ τι σοὶ σιωπῶντι τὸ πᾶν ἡμῖν ἐστὶν, ἔγωγε

χειμῶν. μᾶλλον δὲ καὶ πολὺ ξενότερον ἡμῖν τὸν ὄντως χειμῶνα ποιεῖς. ὅσον ἐν ἐκείνῳ μὲν φέρει παραμυθίαν, τὸ τὴν σιγὴν αὖ ἀφέρειν, τῇ τῆς ὥρας ἀνάγκῃ. τοῦ δὲ θέρους λείπεται ἡμῖν δακρύειν, ὅτι μηδεὶς παρὰ σοὶ λόγος τῶν ἐραστῶν. τὸ γὰρ ἀπεῖναι μὲν τὴν ἀνάγκην σε, ἢ πάλιν σιγᾶν, ἡμῖν τοῦ καταφρονεῖσθαι παρέστησι δόξαν. ἀλλ' ὦ πάντες ἔρωτες εἰς πεῖραν ἄγετε τοῦτον τῶν ἡμετέρων, ὅπως αἴσθησιν λάβῃ ποτὲ, δεινὸν ὅσον ὑπάρχει ἐραστὴς παρορώμενος.

## Ζαχαρίᾳ.

λ Ὕσον ἡμῖν μετὰ τοῦ χειμῶνος τὴν σιωπήν. ἀμφότερα μὲν γὰρ ἐπαχθῆ. εἰ δὲ ἦν διὰ παντὸς σοῦ λαλοῦντος ἀκούειν, ὁ χειμὼν αὖ ἡμᾶς οὐδὲν ἐλύπει τοσοῦτον. ἀγαγὼν γὰρ ὅλῳ ῥεύματι τὴν σὴν ἡμῖν ἐπαφῆκας πηγήν. νικᾷ γὰρ αὐτὴ παρ' ἐμοὶ τὴν ἐκ τοῦ ἔαρος ἡδονήν, εἰ καὶ νέον ἐν τούτῳ τὸ φῶς. εἰ καὶ χελιδόνες ἐν τούτῳ πληροῦσι τὰς ἀκοὰς τῆς ᾠδῆς, ἐμοὶ δοκεῖν ὑμνοῦσαι τὴν ὥραν. καὶ τὰ ῥόδα τῆς κάλυκος ἀναδύονται, μέσην τινὰ καὶ κεκραμμένην παρέχει τὴν θέαν. ἢ εἰς μνήμην ἄγει διηγημάτων ἀρχαίων. ὡς ἦν ἄδωνις καλὸς, καὶ ἀφροδίτη τοῦτον ἐζήτει. καὶ ἡ τεκοῦσα τοὺς ἔρωτας, οὐκ οἶδε πῶς ἐρᾶν ἐπαιδεύετο. τῶν δὲ παιδικῶν ἀποτυχοῦσα, πλήττεται τὸν πόδα καὶ φαίνει τὸ ῥόδον. ἀλλ' ἡμῶν ἐρώντων ὡς πρὸς τὴν σὴν φωνὴν, μικρὰ ταῦτα νομίζεται.

## Τῷ αὐτῷ.

ι Δυσὶ καιρὸς πάλιν ἀπαιτῶν, τὴν πρὸς τοὺς δεομένους ῥοπήν. ὁ δὲ τὴν ἀφορμὴν πάλιν διδοὺς, πάλιν ἐγώ. ὡς περὶ χρόνου δὲ οἶδ' ὅτι χάριν ὁμολογήσεις. ὅτι παρ' εὖ ποιεῖν εὗρον. καὶ ὁ ποιεῖ τοῦτο γίνεται δι' ἐμοῦ. χαίρεις γὰρ, ὄντως εὖ ποιῶν, ἢ πάσχοντες ἕτεροι. καὶ γὰρ τὴν ἀφορμὴν δεδωκότα καὶ εὐεργέτην προσεί

ποιεῖ. ὡς γινώσκουσι χαρίζεσθαί σοι μᾶλλον ἢ λυπούμενος, οὕτω σε μιμνήσκομαι. ἀλλὰ τί τὸ πρᾶγμα. γελῶν δ' οἶδ' ὅτι πυνθάνῃ. Ἀλέξανδρός τις παρ' ὑμῖν ἐπὶ ξύλοις τὴν ἐμπορείαν ποιεῖται. κἀντεῦθεν ἔχει τὸν βίον. οἷα δὲ εἰκὸς τοὺς τοιούτους, κοινωνίαν τινὰ ποιεῖται τοῦ πράγματος Εὐθύμιος αὐτῷ τοὔνομα. ὅπως ὁ μὲν πέμπει τὰ δὲ κομίζηται, ὁ δὲ μένων δέχοιτο. τὴν ἐμπορείαν οὕτω ποιῶνται ἐπεὶ τοίνυν τὴν ῥόδιον οἰκεῖ παρ' ὑμῖν ὢν ξένος. καὶ ὅμως φησὶ μὴ δίκαια πάσχειν. τὸν δὲ ἀδικεῖσθαι ῥωμαίων γλώττῃ κυαίστωνα αὐτοῖς νομοθετεῖ γὰρ μὴ εἰωθότα. καὶ καινοτέρου κέρδους ἀφορμὴν μηχανᾶται. ὡς παρ' οὐ χρὴ μὲν ἀρχόντων διὰ ῥόδου. ἀλλὰ ταῦτα μὲν ὡς εἰκὸς ὑμῶν οὐκ εἰδότων. οὐ κοινῇ πάντως μαθόντων. ὅπως ἐγὼ μὲν σοὶ χάριν εἰδείην, ὁ δὲ τυχὼν τῶν δικαίων ἐμοί. διηγούμενος ὡς ἠδίκηται καὶ πέπονθε.

## Φιλίππῳ.

π Πάλιν γράμματα παρ' ὑμῶν. καὶ πάλιν τῶν σιωπώντων ὑμεῖς. καὶ δέδοικα μὴ καὶ φλυαρίαν τινὰ καταγνῷς. παντελῶς γὰρ σιγῶν, καὶ τοὺς ὁπωσοῦν λαλοῦντας φλυάρους εἶναι δοκεῖς. εἰ δὲ σὺ τοὺς φίλους ἀπαιτῶν παρορᾷς, πᾶσι τοῖς ἀποβλέπεται τὸ σιγᾶν. οὐκοῦν γενοῦ πάλιν ἐκεῖνος καὶ φθέγγου πρὸς ἡμᾶς. οἱ γὰρ ἀγαθοὶ τὸ προσῆκον ποιοῦντες, παράδειγμα πρόκεινται τοῖς πλημμελεῖν βουλομένοις. σὲ δ' αὖ βουλοίμην καὶ συνήθεισμα φέρειν ἀνδρὸς. μηδὲν ἔτι γένοιτο τῶν προσηκόντων ὑπερορῶντος πρὸς δὲ τὴν χρείαν τὴν ὑμῖν γραφεῖσαν οὕτω σπουδαίους ἑαυτοὺς ἐπιδείξατε, ὡς ἡμῖν ταύτην ἀνύοντες. ὀκνῶ γὰρ εἰπεῖν ὡς τὸ πλέον ἃ τὴν προθυμίαν γενέσθαι βούλομαι παρ' ὑμῶν. αὐτὶ γὰρ πλείστων χαρίτων μίαν ταύτην ἐκτίνομεν τοῖς δεομένοις τῆς χρείας.

Στεφάνῳ

Στεφάνῳ καὶ Ἰλασίῳ.

π Ἄλιν ὑμῖν ἐκ τῶν ἀμπέλων ἰχθῦς. ἀγροῖται γὰρ θαλάσσης ὡς ἔοικε χρηστοῦσι. καὶ ἅμα χωρία καὶ θάλατταν ὑμῖν ὑπάρχει τρυγᾶν. καὶ νῦν μὲν βότρυς λαμβάνειν, νῦν δὲ πάλιν ἰχθῦς. καὶ ἔοικεν ἡ θάλαττα τοὺς ὑμετέρους τρόπους μιμεῖσθαι. ὑμεῖς τε γὰρ προθύμως χορηγεῖτε, κἀκείνη πρὸς τὴν ὑμετέραν ὑπουργεῖν ἐθέλει φιλοτιμίαν. ἡ δὲ παρ' ἡμῖν θάλαττα ἴσα καὶ ἠπειρώτας ἡμᾶς ἀπεργάζεται. πλὴν ὅτι παρέχει τὰ κύματα, καὶ χορηγεῖ τὴν ἐξ αὐτῶν ἀπειλὴν ἰχθύων χωρίς. Ἰωάννῃ.

ό Λογιώτατος Διόδωρος, λύσις ἡμῖν ἔστω τῶν πρὸς ἀλλήλους στάσεως. καί σε γράφειν ἀπαιτῶν καὶ τὰ παρ' ἡμῶν σοι διδούς. φίλος μὲν γὰρ οὗτος ἐμός. ἤδη δὲ πρὶν ἰδεῖν καὶ σὸς ἐτύγχανεν ἐραστής. οἱ γὰρ ἐξ ἡμῶν λόγοι τὰ περὶ σοῦ διηγούμενοι, καὶ πρὸ τῆς θέας ἐποίουν τὸν ἔρωτα. ὁ γὰρ ἀνὴρ ἐρωτικός ἐστι τῶν καλῶν. καὶ πολυπραγμονεῖ τοὺς χρηστούς. ὥσπερ δεδιὼς μή ποτέ τις τοιοῦτος ὢν διαλάθῃ. καὶ τίσι τὰ περὶ τούτου λέγειν με δεῖ. πάντως γὰρ τῇ πείρᾳ τοῦτο μαθὼν, ἐλάττω νομίσεις τὸν ἔπαινον. καὶ ἀσθενῆ με καλέσειας ῥήτορα, ὡς οὐδὲ τὰ προσήκοντα λέγειν δυνάμενον.

Εὐσεβίῳ.

ε Εἰ τοὺς ποθοῦντας καὶ μία γηράσκειν ἡμέρα ποιεῖ, ἐξ ὅσου με χρόνου γεγηρακέναι δοκεῖς. ἔτω μὲν συμβληθέντα τῷ πόθῳ (τίς γὰρ πειραθεὶς οὐκ ἐρῶν ἀπαλλάττεται) τοσοῦτον δὲ χρόνον ἐστερημένον τῆς θέας. ἀλλ' οὔγε ποιῶν τοῖς γράμμασιν ἐπικουφίζεσθαι τὰ δυσχερῆ. τοὺς σοφοὺς ζηλώσας τῶν ἰατρῶν. οἳ μὴ δὲ θεραπεύειν ἔχοντες, μόνον παραμυθοῦνται τὸ πάθος. τοιοῦτος ἡμῖν γέγονας αὐτὸς σαυτοῦ παρέχων τὰ γράμματα. καὶ νῦν

τοὺς σφοδροὺς μιμούμενα τῶν ἐραστῶν. καὶ διὰ τὸ εἰκόνιον παραμυθοῦμαι τὸν ἔρωτα. τῷ δὲ καλῷ Μεγάλῳ σὲ μὲν φύσις, ἐμὲ δὲ τέχνη πατέρα ποιεῖ. ὥστε δι' ἐμοῦ παρεῖναι νόμιζε τὸ παιδίον. εἰ δέ τι παραλείψω, τοῦτο νόμιζε μήτε δύνασθαί με ποιεῖν. τὸ μέμφομαι τὴν τύχην μή, καὶ πάντα δυνάμενος. ἵνα σοι χαρίσωμαι τοσοῦτον, ὅσον καὶ βούλομαι. ἀλλ' ὦ θεοὶ μὴ διαμάρτοιμεν ἀμφοτὸ ἐλπίδος ἣν ἐπὶ τῷ παιδίῳ πεποιήμεθα. Ιλασίῳ.

ε Ι τὰ τῶν φίλων κοινὰ παλαιὸς εἶναι βούλεται λόγος, ἐμοὶ δὲ φίλος ὁ λογιώτατος πέτρος, καὶ σὺ ἂν εἰκότως νομίζοιτο. εἰ δὲ δικαίως τοῦτον ἀσπάζομαι, δείξει μὲν πολλάκις ἡ πεῖρα. εἰ δὲ θεὸς ἐστί πως μαρτυρήσει τὸν τρόπον. ὅ τε τοσ ὑμῶν τιθέμενος, καὶ βουληθεὶς πάντως ἐπιτυχεῖν, ἐμὲ πρὸς ταύτην ἐκίνησε τὴν ἐπιστολήν. νομίζων τοσοῦτόν με δύνασθαι παρ' ὑμῖν, ὡς μηδὲν ἂν εἰκότως διαμαρτεῖν. ἀλλ' εἰ μὲν ἀληθινὸν μέλει, βεβαιώσατε τὴν γνώμην. εἰ δὲ ψευδῆ, καὶ οὕτως ὑπουργήσατε. ἵνα μὴ δειχθῶμεν ἐν τοῖς ἄλλοις τὴν πρὸς ἀλλήλους φιλίαν πλαττόμενοι. ἔχει δὲ καὶ τὸ δίκαιον συμμαχοῦν. ὅπερ σοι καὶ μηδενὸς αἰτοῦντος καθέστηκε φίλον. τὸ δὲ δυνάμενον ἀδικίαν κωλύσαι περιιδεῖν, ἐν ἴσῳ καθέστηκε τῷ ποιεῖν. ὅπερ τῆς σῆς γνώμης ἀλλότριον. ἴσθι δὲ ὡς πάντως ἐπινεύσεις ἢ τοῖς γράμμασι τοῖς ἐμοῖς ἢ τῇ περιουσίᾳ πειθόμενος. οὐ μόνον λυπήσεις. ἀμβλυτέραν τῇ ἀναβολῇ τὴν ἀρετὴν ἐνδεικνύμενος.

## Φιλίππῳ ἀδελφῷ.

ϛ Πόσα δύνανται καὶ μεταβάλλουσιν ἔρωτες. καὶ βεβαιοῦσι τοῖς ἔργοις ὡς οὐδὲν αὐτῶν ἐκείνων μεῖζον ἰσχύει. ἐοίκασι δ' ἐλέγχειν ὡς μάλιστα πάντων μισούμενοι προψίαν τε τὴν ὀφρῦν.

πισ

πὺς ἀναστάσει καὶ περὶ ὧν οἱ λόγιοι ἐρῶντος. ἂν ἤλλαξαν οὕτω τὸ
τάξιν. καὶ ὁ σεμνὸς ἐκεῖνος ἐξαίφνης ἐρᾷ καὶ φθέγγεται ταπεινόν.
ἀλλὰ τί μοι βούλεται ταῦτα. ἤδη μὲν πάντως οἶσθα σὺ καὶ γελᾷς.
ἀλλ' ὅμως τιμῆς ἕνεκα τῶν ἐκείνων εἰρήσεται. ἐμοὶ γὰρ ὁ σὸς πό-
θος ὅλῳ τῷ σώματι προσβαλὼν, εἷλε τὸν λογισμὸν ὑφ' αὑτόν. καὶ δει-
νῶς ἠπόρουν καὶ οὐκ εἶχον ὅτι καὶ γένωμαι. μίαν τοίνυν ἐδόκουν εἶναι
παραμυθίαν ἐπὶ λέξεις ἀπάσων, καὶ φθεγγομένου πολλάκις ἀκού-
σω. ὡς οὖν ἔγνων τὸ πρᾶγμα πέπονθα ἐπὶ ξένον οἶμοι καὶ πρὸς ἀλα-
ζονείαν ἐπήρθης. καὶ ἐγὼ μὲν ἤρων. οὐδὲ ταῦτα πᾶσιν οὐ προσεῖ-
χες δεόμενης. καὶ ἦν μοι πλέον οὐδέν. παρ' ἔφερον τὴν συνήθειαν. ἀδελ-
φὸν προσεῖπον. ὑπέμνησα φιλίου διός. σὺ δὲ καὶ πάλιν ἐσίγας. ἀμή-
χανον ἦν τὸ πρᾶγμα λοιπόν. τί οὖν καὶ γέγονεν. ἐπ' αὖθις πρὸς τοὺς ἔρω-
τας καὶ ἐδάκρυσα. καὶ παρεκαλοῦμεν τὰ τόξα. καὶ πείθονται. καὶ
οἱ μὲν ἔβαλλον. σὺ δὲ πεῖραν θεῶν μετέβαλου. καὶ ὁ πρὶν ἡμῖν ἀλα-
ζὼν, ἤπεισε με γενέσθαι φιλάνθρωπον. ὅπως μὲν τῶν αὐτῶν πειρα-
θῇς παρ' ἡμῶν, ὧν παρ' ἡμεῖς παρὰ σοῦ. ἀλλ' ὦ φίλοι ἔρωτες. ἐγὼ μὲν πείθο-
μαι καὶ πρὶν ἀμύνασθαι διαλλάττομαι. εἰ δέ τι πάλιν νεανιεύσε-
ται, ἀλλ' οὐκ ἂν οἶμαι τολμήσει.

## Ἠλία.

τ Ης ὑμετέρας δωρεᾶς ἡ μὲν πεῖρα τοὺς ἐγνωκότας, ἡ δὲ
μνήμη τοὺς ἄλλους εἰς θαῦμα κινεῖ. ἐμὲ δὲ ἀμφότερα
πρὸς τὸ ἀναγκαιότατον ἐστὶ τὴν ὑμετέραν ἔχειν εὐεργεσίαν. καὶ θαυ-
μαζόμενος ἐφ' οἷς τοιούτων ἀγαθῶν γέγονα τῇ πατρίδι ὑπηρέ-
της, εἰς ὑμᾶς ἀνάγω τῇ μνήμῃ τῶν ἀγαθῶν τὴν αἰτίαν. ὅθεν ἀεὶ
παρὰ τὸ προσῆκον παρ' ἐ ἰσάζομεν τὰ μικρὰ προσάγων ὑ-
μῖν. οὐδὲ οἱ τοῖς θεοῖς λιβανωτὸν ἐπιθύοντες πρὸς ἀξίαν τὴν

χαίρειν· πρὸς γὰρ δύναμιν τῶν δοκεῖν δυναμένων καὶ δείκνυνται. καὶ τῶν ὑμῖν προσαγομένων τὰ μέγιστα τοῖς ἐλαχίστοις τὴν αὐτὴν ἔχει δύναμιν πρὸς τὴν εὐεργεσίαν μετρούμενα.

Θωμᾶ.

ν Ὗν ὄντως ἡμῖν ἀνθοῦσι δίκη καὶ μοῦσαι· καὶ συνῴκησαν ἄνον-τες τὴν σὴν εὑροῦσαι τύχην, μεγαλομένην ψήφῳ δικαίᾳ καὶ λόγοις. συνῴκησι γὰρ νῦν ἀλλήλαις ὥσπερ εἰκὸς ἀδελφαί τε οὖσαι καὶ κοινὸν ἔχουσαι πατέρα τὸν δία. ἐξ οὗ γὰρ ἀπέλιπες πάλαι διὰ χεῖρος οὐκ ἔχων ἔτι τὴν κρείσσορος, οἷα δίκην καὶ λόγους, ἀπέλιπον μὲν τὰς πόλεις ἡμῖν, ὑπερεώρα τὸ δὲ τὰ ὑμέτερα. ἧσσον γὰρ παρὰ τῷ πατρὶ κατηγοροῦσαι τῶν ἐπὶ γῆς. ἀλλ' ἐπένευσε πάλιν καὶ γέγονας ὑπὲρ ἡμῖν. καὶ νεάζει πάλιν τοῖς ὑπηκόοις ἡ τύχη. καὶ γὰρ ψῆφον ἂν ἐγκλήσεις οὐκ ἀρνεῖται ταύτην ἡ δίκη. καὶ λόγου εἴ τις ἐπαινοῦσι πάντως αἱ μοῦσαι. ὃ γὰρ μάλιστα τεθαύμακα λέξω. τὸ δὲ τοσούτων προύχοντα, μὴ τῶν ἐλαττόνων ὑπεριδεῖν, ἀλλὰ καὶ λόγων ἄρχειν καὶ φιλίας μεμνῆσθαι, καίτοι λεγόντων ἐθέλειν ἀκούειν, σοὶ μὲν προσθήκη τοῦτο τοῦ θαύματος τὸ σωκράτους οἶμαι φιλοσοφοῦντι. ἐμοὶ δὲ τὸ χρῆμα βαρὺ κατ' ἐμαυτὸν ὡς δύναμαι ζητοῦντι καὶ δυσχερὲς λαθεῖν. καὶ εἰ μὴ κωλύειν ἐβουλόμην ἑτέραν αὖθις ἐπιστολὴν, ἐσίγων ἂν ἀπορῶν ὅ,τι φθέγξωμαι μετὰ σέ. νυνὶ δὲ καὶ γράφειν ἐρυθριῶ καὶ σιωπῶν οὐκ ἀνέχομαι. τὴν σὴν ἐγείρων γλῶτταν μουσικὸν αὖθις ἠχῆσαι καὶ μικροῖς τὰ μεγάλα θηρώμενος. πολλὰ δὲ κἀγαθὰ γένοιτο ταῖς πόλεσιν ἡμῖν ἐπιτροπεύειν λαχόντι. δεῖξαι γὰρ πρὸ τῆς πείρας τὸ μέλλον βουλόμενος ἡ παλαιὰ τύχης ἄγουσα εἰς μνήμην, ὑμᾶς ἐκάλει σωτῆρας καὶ πρὸς τὸ μέλλον εὐθὺς ἐμαντεύετο. τὸν δὲ καλὸν Μέγαν ἠγάπων μὲν καὶ πρὶν

ὄντα

ὅσον εἰκὸς καὶ ὅσον εἶχον ἐδίδουν. ὁ γὰρ τῆς τέχνης οὕτω βούλεται νόμος. ἀλλὰ καὶ παρ' ὑπάρχει τὰ κηδεστικὰ, ἱκανοὶ διὰ ἀρετὴν ἐμποιῆσαι καὶ τῷ ῥαθυμοῦντι σπουδήν. ὑμῶν δὲ νυνὶ προστεθέντων τῷ νέῳ, εὔχομαι δικαίαν εὐχήν. ζῆν αὐτόν τε θεοί. δυναίμην τι μεῖζον ἢ πρότερον καὶ ὄναιτο μέγιστη μὲν ὁ πάππος ὁ κηδόμενος βούλεται.

Στεφάνῳ.

ξ Τί περὶ τὸν νεῖλον οἰκεῖς, ἔτι ποθοῦντας ὑπερορᾷς. τί τοσοῦτον ἐπέμεινας χρόνον. εἰ μὲν γὰρ οἶδε τὸ βράδος ἐπὶ πλέον ἡμῖν ἕξοντι τὴν τὸν ἔρωτα, ἴσθι δὴ καλῶς ὡς εἰς ἄκρον ἀφῖκται. καὶ οὐκ ἂν ἔχοις ὅτι προσθήσεις ἔτι περὶ τὸ πρᾶγμα. εἰ δέ σε τοῦ μακεδόνος ἡ πόλις ἐφέλκεται, χαιρέτω ἕνεκεν καὶ τοῦ δοκεῖν αὐτὸν ἔχειν ἤδη τὸν ἑλικῶνα, ζήλου τὸν ὀδυσσέα. καὶ περιελθὼν τὰς σειρῆνας μέμνησο τῆς ἰθάκης. καὶ γὰρ σε νῦν τῶν ἐνθυμῶν ἀρχαίων σχήματι περιστεφόρον ἰδεῖν, κέχηνα τῇ θαλάττῃ καὶ περισκοπῶ τὰς ὁλκάδας εἴ ποτε προσίοντα θεάσομαι. σὺ δέ μοι δοκεῖς τὸν θησέως ἐκεῖνον ἐζηλωκέναι. καὶ ταῦτα τοῖς ποιητικοῖς θηκούμενος. νυμφίος δημοφόων ἀεὶ κεξένηκας οὐ δὲ παῖδας, θέλεις σοῦ μεμνῆσθαι καλοῦντος τὸν καὶ ἔτι πρέπειν ἤδη σε δυναμένου πατέρα καλεῖν.

Φιλίππῳ.

ξ Τοῖς γονεῦσι τὸ προσῆκον ἀποδιδόναι, παλαιοί τε λόγοι καὶ ὁ τῆς φύσεως βούλεται νόμος, ὅσον εἰκὸς παρ' υἱῶν χάριν ἐκτίνειν, ἐξ ἧς προῆλθε. καὶ τοῖς γονεῦσιν ἀρχὴ ἐπὶ ταύτην σε νῦν ὁ καιρὸς καλεῖ. ἀλλ' ὅπερ ἐνεγκεῖν σοι ταύτην σοι δὲ ἔμπροσθεν ἀφικέσθαι, οὕτω καὶ τὸ δέον ἔστη πεπληρωκὼς, καὶ μνήμην ἡμῖν παρέχοις τοῦ πράγματος, ὅσω καὶ περὶ τῶν μεγίστων ἡ χρεία. βαρὺ δὲ προσδοκᾶν μηδέν.

ἀλλὰ σοὶ μὲν ῥᾷστον δοῦναι· μέγα δὲ τοῖς λαβοῦσι τυχεῖν. βασιλεῖ τε μεγάλῳ τὰς ὑπὲρ τῆς πόλεως δεήσεις ἀποδοῦναι βουλόμεθα διὰ τοῦ παρ᾽ ὑμῖν ἀρχιερέως ἢ τοῦ βασιλέως ἀδελφοῦ. ἵνα τὸ τοῦ ἀποδιδόντος ἀξίωμα λόγον τινὰ παράσχῃ τῷ δεξαμένῳ. ταῦτα γὰρ ποιῶν κοινὴν καταθήσει χάριν καὶ τοῖς αἰτήσασι καὶ τοῖς αἰτηθεῖσιν ἡμῖν.

Ζαχαρίᾳ.

τ Ἣν παρ᾽ ὑμῶν ἐδεξάμην ἐπιστολὴν, ὅπερ ἔδει μὲν πάλαι γενέσθαι. ὅμως δ᾽ οὖν δὲ νῦν γενόμενον ἀπήμβλυνε χάριτος. τοιοῦτόν τι τὸ τῶν ἐρώντων πάθος· ἐπειδὰν μὲν ἀτυχῶσι, δυσχερὲς αὐτοῖς τὸ πρᾶγμα δοκεῖ καὶ φέρειν οὐ δύνανται. ἡνίκα δ᾽ ἂν λάβωνται τοῦ ποθουμένου, ὡς μηδὲν παθόντες τῶν προλαβόντων πόνων ἐπιλανθάνονται. ἀλλ᾽ ὅπως μὲν νῦν τοῦτο μαθὼν, πρίν τι γράφειν αὖθις ἡμᾶς ἀνιάσῃς τῇ σιωπῇ. οὐ δὴ γὰρ βουλοίμην ἔγωγε πολλὰ παθὼν, εἶτα πάλιν εὐφραίνεσθαι. οὐδὲ γὰρ οἱ δελφοὶ ἴσως αὐτῶν ἀποθανεῖν τὸν πύθιον ἕλοιντο, εἰ καὶ παρόντος εὐθὺς ἑορτὴν ἄγουσι τὴν ἐπιδημίαν ἀπόλλωνος.

Θωμᾷ.

τ Ὧν ἀγαθῶν ἀνδρῶν εὐφραίνειν οἶδε καὶ χωρὶς θέας ἡ μνήμη. καὶ τότε μᾶλλον ἡνίκα τοὺς πειραθέντας ὅλου πληρώσαντες ἔρωτος, μηκέτι παροῦσι χορηγοῦντες ἀεὶ τῇ θέᾳ τὴν ἡδονήν. τότε γὰρ ἀπορροῦντες οἵτινες γίνονται, τὸν πόθον ἔχουσιν ἀντὶ τῆς θέας ἀεὶ χορηγοῦντα τὴν μνήμην. ἑαυτοῖς γὰρ ἀνατυποῦσι τοὺς ἀπελθόντας. καὶ παρόντων σώζονται μίμημα. ταῦτα συνομολογῶ τοίνυν παθεῖν περιπεσών. ἐξ οὗ καὶ παραφρανθεὶς ἐθαύμασα, καὶ μὴ παρόντα πάλιν ζητῶ. καὶ τὴν τύχην προσδέχομαι μηχανήσασθαί τι καινὸν, καὶ συνάγειν ποτὲ τοὺς τοσοῦτον ἀλλήλων ἀπέχοντας ἐραστάς.

Κάσει

Κάστορι.

τ Ωφέροντι τὴν ἐπιστολὴν, πολλὰ παρὰ σοῦ τὴν εὔνοιαν ἀπαιτεῖ, γένος συνάπτον ἐμοί· γάμος τὴν οἰκειότητα βεβαιοῖ. καὶ τὸ δὴ μέγιστον ἡμέτερα γράμματα. καὶ οὐκ ἀλαζονείας ὁ λόγος θαρρ' ἐροῦντος ἢ μᾶλλον, ὡς τὰ μὲν μικρὰ μὲν τῇ φύσει, μεγάλα δὲ δύναται παρὰ σοί. δεῖται δὲ γλώττης δικαίας καὶ λόγων εὐροίας σβέσαι δυναμένης συκοφαντίαν. οἶδα τοίνυν ὡς τῆς ἐμῆς ἐλπίδος κρείττων γενήσῃ. φιλοτιμῇ γὰρ ἀεὶ μείζονας πεῖραν ἐλθεῖν, ὧν αὐτὸς ἐλπίσειε περὶ σοῦ. σὸν δὲ ἓν ἔτι λοιπὸν ἢ τὴν ἐμὴν ἐλπίδα νικῆσαι τοῖς ἔργοις, ἢ μὴ τοῦ τε λάττω δεῖξαι τὰ πράγματα.

Νεστορίῳ.

χ Ρεμύλος πεπλούτηκεν ἐξαίφνης ἡ κωμῳδία φησί. καὶ σὺ νῦν πλουτεῖν ἔοικας οὐ πώποτε τοῦτο μαθών. Ἴσου δὲ πτωχότερος ἀεὶ γεγονώς. ἐκεῖθεν ἄρα σοι ποθεινοτέρα γέγονεν ἡ πατρὶς ἣν πρότερον ἀπεκάλεις τῶν οἰκουμένων τὸ βάραθρον. ὅλως δὲ τῆς ὕλης γέγονας τῇ φιλοσοφίᾳ χαίρειν εἰπών. τὸ δὲ πρᾶον ἐκεῖνο καὶ ἥμερον, ὅ σοι μόλις ἐνέπνει ἧσσον ἢ πρότερον, καὶ τὰς ἐπὶ σοὶ τοῦ προκόπτειν ἐλπίδας, φροῦδα πάντα πεποίηκας. νῦν ὡς εἰκὸς ὄρφος γέγονας. καὶ οἷον ὁ τῆς χώρας βούλεται νόμος. τοιαῦτα παρὰ τῆς τύχης ἀπήλαυσας, ὁ παρὰ τὴν πενίαν πάλαι φιλοσοφῶν. ὅθεν ἐμφιλοχωρεῖς τῇ πατρίδι καὶ σκοπεῖς οὐχ ὅθεν ἔσῃ σοφώτερος, ἀλλ' ὅθεν αὐτοῖς ἰδίοις κομῶντα τὰ λήια. ἐγὼ δέ σε ποθῶν, τοὺς ἔρωτας μέμφομαι, εἰ μὴ δύνανται τὴν ψυχὴν μίαν οὖσαν αὐτεραῖ ποιῆσαι τῶν οὕτω ποθούντων.

Εὐσεβίῳ καὶ Ἠλίᾳ.

ε Γὼ καὶ παρόντας ἡμᾶς ἡδέως ὁρῶν, καὶ ἀπόντων ἀεὶ μεμνημένος, οὐκ ᾠήθην δεῖν σιγῇ τὸν καιρὸν παρελθεῖν. ἀεὶ μὲν γὰρ

ὑμῖν ὥσπερ ἄλλο τι ἡδύ. τὸν δὲ κοινὸν παῖδα μὴ μετὰ γραμμάτων προ-
πέμπειν, οὔπω ὑμεῖς ἐπῃνέσατε, κἀγὼ ποιεῖν ᾐσχυνόμην. ἕως μὲν
οὖν μοι παρῆν, σπουδῆς αὐτῷ χαίρειν ἐδόκουν καὶ φύσει γεγονέναι πατήρ·
νυνὶ δὲ τὴν ἐξ ἡμῶν ἰόντι μόνον εὔχεσθαι δύναμαι δι' ἡγουμένων ἄλ-
λων ἀκοῦσαι, ὡς οἷον ἐβούλετο τὸν νέον, θεὸς ἐπένευσεν ἤδη τε γέγονεν. ἀγα-
πῆς γένοιτο τούτων τῶν λόγων πατήρ. δύνασαι μᾶλλον καὶ μαθεῖν. κρεῖττον
δὲ ἴσως.

Φαίδρῳ.

οὐ Τοσοῦτον ἄρα τὸ τῆς ψυχῆς εἰκόνων ἦσαν οἱ λόγοι, καὶ τοὺς ἀπόν-
τας ἔδειξαν οἵαν ἔχουσι γνώμην, οὐχ ἧττον ἢ ζωγράφος ἂν
περ αὐτὸ θέλων μιμήσασθαι. τοῖς γὰρ ὑμετέροις γράμμασιν ἐντυχὼν, ὃν
ἠγνόουν τῇ πείρᾳ, τοῦτον ἐκείνων ἐδόκουν ἔχειν. ὡς εἴ τις ἐξελθὼν τὸ
πρόγραμμα τὴν ἐπιστολὴν ἐπεδίδου, ᾤμην ἂν παρ' ὃς εἶναι φιλο-
στόργου πρὸς παῖδα τὰ γράμματα. τοιούτοις ἡ ἀρετὴ γὰρ ἐᾶν
τὰ ἔοικε προφήμους δεικνύναι. τό γάρ σε μήτε ἰδόντα μήτε προ-
πεπειραμένον, καὶ λόγων προκατάρχειν, καὶ κοινὰ πρός με ποιεῖσθαι
τὰ παρόντα τῶν ἀγαθῶν, τίνος εὐφημίας οὐκ αὐτόχρημα δικαίως. ἀλ-
λ' ὅμως προῄρημαι μηδὲν ἔτι γένοιτο τὴν ἐμὴν ἰθάκην ὑπερ-
δεῖν· ἀγαπῶ καὶ τὸν ὁμηρικὸν ὀδυσσέα διὰ ταῦτα ζηλῶ, ὅτι πάντων παρι-
δὼν, τὴν μικρὰν ἐπεθύμησεν. καὶ ἧς οὐκ αὐτῆς ὑπὸ βελτίστοις ἐμνήσθη.

Ἱερωνύμῳ.

ω Ἁλιεῖς ἀγρεύοντες καὶ ζυφή. καὶ πένητες ἡμεῖς παρὰ σοὶ τὸ λό-
γος ἀπόντων οὐδείς. οὐδὲν τοῦτο πρᾶγμα. γέλα μόνον γεν-
σῷ ῥέοντα τὸν νεῖλον ὁρῶν· κἂν ἔτι μᾶλλον τὴν ὀφρὺν ἀνασπάσῃς, ἀ-
σμένως πάντως ὑπερορώμενοι ἔσεσθαι. ἡμῖν γὰρ ὅπερ ἄλλο ὄψει τὴν ἔλον
σαν. τὰ δακρύσεις ψάμμον μεθισταμένην τοῖς πνεύμασι τέμνου-
σ' εἰς ῥίζας τὴν ἄμπελον. ἔνθα τε νύμφαι ξένα τινὲς καὶ θαλάττῃ

καὶ

καὶ ζηλοτυπήσεις οὐδαμοῦ· τὸ περιγελάσω μὲν ἐγὼ καὶ κωμῳδήσω τὴν τύχην. σὺ δ' ἢ νομίσεις εὐδαίμονα τὸν νοῦν ἀπερριμμένον ἐμέ. πλὴν ἐν ὅσῳ ἄν σοι δίδωσιν ὁ Νεῖλος εὐφραίνειν, γράφε μόνον καὶ καλεῖς μικροὺς ἡμᾶς ἐπὶ χαμαί τινας ἐρχομένους. οὕτω γὰρ καὶ σοῦ γράφοντος ἀπολαύσομεν. καὶ τὴν σὴν ἀλαζονείαν τῇ τοῦ μέλλοντος ἐλπίδι παραμυθήσομαι.

Ἰλασίῳ.

τ Ὁ παρ' ὑμῖν χωρίον κρατεῖ μὲν τίκτειν ἔοικεν ἀγαθούς. ἀντικεῖσθαι δὲ μόνοις τοῖς σώμασι. τοὺς μὲν γὰρ θαύματος ὁρῶσι παρέχει, καὶ τὴν τῶν ὡρῶν βιάζεται φύσιν. τὰ δὲ λαβὼν ἐῤῥωμένα, μικρὸν ὕστερον ἀπέδωκεν ὠχριῶντα. ὅθεν οὐκ ἂν ἑλοίμην ὀλίγων καρπῶν ἀπολαύσας νοσεῖν. καὶ τὴν αἰτίαν ἐρωτώμενος αἰσχύνεσθαι καὶ σιγᾶν. ὃ δὴ ποιεῖν εἴωθας σιγῇ τὰ χωρία κοσμῶν. σὲ γὰρ βούλομαι καὶ πλείστων ἀγαθῶν ἀπολαύειν καὶ τῇ τοῦ σώματος ῥώσει τὴν τοῦ χωρίου φύσιν νικᾶν.

Διοδώρῳ.

δ Ἐδεξάμην πάλιν ἐπιστολὴν τοῖς μὲν λόγοις σαφῆ καὶ λίαν καλήν. τοῖς δὲ γράμμασιν ἀσαφῆ καὶ τῶν λόγων τὴν χάριν καλύπτουσαν. δοκεῖς γάρ μοι δεδιὼς μήποτε πρὸς λήθην ἔλθοις τῆς φύσεως πρὸς τὸ σαφὲς αὐτὴν βιασάμενος, διὰ τοῦτο τῶν γραμμάτων παραμυθεῖσθαι τῶν ῥημάτων τὸ εὐφυές. ὅπως αὖ πάλιν ἐκ τῆς συνήθους ἀσαφείας ἔχῃς τὸ συνήθισμα. οὕτως οὖν πλεονέκτημα τὸ πρᾶγμα φαίνεται. καὶ δεδήγμαι μοι δοκεῖς ἐκ ποιεῖν τοῦ προσρήματος. θάρρει δὴ τοίνυν ὡς οὔποτε μεταθείμην τῆς δόξης ἐπὶ τοῖς ἀφρονοῦσι περὶ σοῦ. οὐ δὴ ἐκ τῶν εἰκαίως τῆς θαυμαστῆς εὐκλείας στερήσομαι. μόνον μή με ἀναγκάσῃς πυθέσθαι φοιτῶντα δεικνύοντα τὰ γράμματα, φράσιν λέγειν ὦ μάντι ἐπιθετίντε λέγειν ὁ γράφων ἐβούλετο. ταῦτα δέ μοι πέπαιχα πρὸς σὲ τὴν ὑμετέραν χάριν ἐκμιμούμενος.

## Μακαρίῳ.

τ Ης περὶ ἡμᾶς εὐνοίας ἀνήνυστον καθέστηκε τὸ σύμβολον, καὶ μιμεῖται τὴν ενωμίαν τὸ δῶρον τῷ μέλιτι συμπλεκόμενον. λόγων γὰρ γενόμενος ἐραστὴς καὶ τούτων ἐμφορηθεὶς, ἔγνως ὡς μέγα ἐστὶ χρῆμα φιλία συμπροϊοῦσα χρόνῳ καὶ μὴ τῇ διαστάσει δεχομένη τὴν λήθην. ὅθεν σε καὶ πρὶν ἐπαινῶν, νῦν ἔτι πλέον τεθαύμακα, ὅτι καὶ μὴ παρὼν, καθέστηκας παραπλήσιος. ἀλλά μοι πρᾶττε καλῶς καὶ τῶν νόμων ἐμφοροῦ· καὶ γίνου δὴ τοιοῦτον ἵνα τι καὶ λέξω ποιητικὸν, πατρί τε σῷ μέγα χάρμα πόληΐ τε παντί τε δήμῳ.

## Στεφάνῳ.

ἤ Σθην δεξάμενος τὴν ὑμετέραν ἐπιστολὴν. ὃν ἡ δόμην ἀεὶ τῇ μνήμῃ λαβὼν, τοῦτον διὰ τῶν γραμμάτων θεώμενος. εἰσὶ γὰρ ψυχῆς εἰκόνες ὄντως οἱ λόγοι· καὶ εἴ μοι δέδωκας εἰπεῖν, μείζων ἢ κατ' ἐμαυτὸν ἔδοξα γενέσθαι. σκοπῶν ὥσπερ φίλων ἐγκαταλέγεσθαι χορῷ, καὶ λόγος ἐμοὶ παρὰ σοί. τὸ γραμμάτων ἀρχὴ προκαλουμένων τὰ παραπλήσια. δι' ὧν ἦν θαυμάζειν ἔδοξας, σαυτὸν ὁρᾶν παρέχεις τοῖς γράμμασι. δι' ἐμοῦ μέσου τὰ σαυτοῦ διηγούμενος. ὥστε μεμψιμοιροῦντα λέγειν πρὸς ἐμαυτὸν, ὡς ἀληθεῖς οἱ λόγοι εἰ καὶ τοὺς θεοὺς περὶ τοῦ γεγραφότος ἐλέγοντο. νυνὶ δὲ λέγειν ἐλάνθανες ἔχων ὡς ἔργῳ. ἄξιον εἶναί με δεῖ τοιούτων ἐπαίνων ἐλπιζόμενον. πολλὰ δέ σοι κἀγαθὰ γένοιτο καὶ σπουδῆς ἕνεκα καὶ τρόπων πρᾳότητος. καὶ μνήμης εὐνοίας. τὸ δὲ μέγιστον ὅτι καὶ μὴ παρὼν καθέστηκας παραπλήσιος.

## Παγκρατίῳ.

οἱ Τὰς σειρῆνας ποτὲ παραπλέοντες, τὰ μέλη τοῖς ἀκοαῖς ἀρνούμενοι, οὐ πατρίδας ἐπόθουν οὐ παίδων ἀνεμιμνήσκοντο· πάντα δὲ παρέχειν αὐτοῖς ἔδοξε καλὸν, ἢ τοῦτ' ἀπο-

ρέων τῆς ἡδονῆς ἐπειράθησαν. ἡμεῖς δὲ τῆς σῆς μούσης ἄκρῳ φασὶ δακτύλῳ γευσάμενοι, οὕτως ὅλῳ πόθῳ πρὸς αὐτὴν ἐβακχεύσαμεν, ὡς μηδὲ μικρὸν ἀπεῖναι ταύτης αἱρεῖσθαι, καὶ ἀνάγκῃ διεστάναι τοῖς σώμασιν. ἀνακραμένοις δὲ ἡμῖν τῇ διανοίᾳ συναγηγόμεθα. καὶ τὴν Ἀλεξάνδρου νῦν οἰκοῦμεν, τὸ σὺν ὑμῖν εἶναι τῇ φαντασίᾳ πλαττόμενοι. τοιαύτην μοι γνώμην ἐναποτίκτουσιν ἔρωτες. καὶ πρὸς ὀλίγον ἀνενεγκών, ἐν ἐμαυτῷ πάλιν γίγνομαι, τοῖς σοῖς ἐντρυφῶ διηγήμασι. καὶ πάντες ἀνὰ μέρος τὰ ὑμέτερα μνημονεύουσιν. ὁ μὲν τοῦ λόγου τὸ ἥμερον· ὁ δὲ τῶν τρόπων τὸ σεμνόν. ἄλλοι τὴν κοινὴν προσωνόμασαν. ὁ δὲ τῆς γνώμης λέγει τὸ μέτριον· ὁ δέ σε φέρειν ἐπὶ τῆς γλώττης εἶπε τὰς μούσας. ἡ πῶς τῆς φιλοσοφίας φθάσαι τοὺς ἄλλους, μόνος τὰ σὰ διηγούμενος. σὺ δὲ γράφε τὴν ἀπουσίαν θεραπεύων τοῖς γράμμασι. ἢ τὸν φέροντα τὴν ἐπιστολὴν ἡδέως ἰδεῖν καταξίωσον.

Νηφαλίῳ.

Σοὶ ἡμῖν πάλαι τὸν θυμὸν ἐπαφῆκας τοῖς γράμμασι, τοσοῦτον νῦν χρηστότητι τὰς ἡμετέρας ἐλπίδας ἐνίκησας. τὸ δ' ὀρθοῦσθαι τοὺς φθάσαντας καὶ παραμυθεῖσθαι τὸν εἰς φιλίαν ἀδικεῖσθαι πειθόμενον, πῶς οὐ σοφοῦ τὴν γνώμην ἀνδρὸς καὶ τὸ λυποῦν θεραπεύειν εἰδότος. σύ με μόνον τῶν ὑμετέρων ἠνίασεν. εἰ τοσοῦτον ἐμὲ πεποιθέναι δοκεῖς, ὡς καὶ δώροις δεῖσθαι μεταβαλλόντων τὴν γνώμην. ὥσπερ καὶ Ἀγαμέμνων τὸν Θετταλὸν στρατιώτην. πλὴν καὶ τὰ δῶρα δέχομαι προθύμως, οὐ ταῦτα ζηλώσας μᾶλλον, ἢ τὴν τοῦ πεποιθότος προαίρεσιν. ὁ δὲ φέρων τὴν ἐπιστολὴν τῆς ὑμετέρας εὐνοίας δεόμενος, τυγχανέτω ταύτης, ἐν οἷς καὶ τῶν οὐ λυπεῖ.

Ἰωάννῃ.

[illegible] Ἐδεξάμην σου τὴν φίλην καὶ γέμουσαν ὄντως ἀφροδίτης ἐπιστολήν. τῆς μὲν μακρᾶς σιωπῆς, σωκρατικῶς αἰτιωμένην ἡμῖν τὸ δαιμόνιον. τὸν δὲ χαμαὶ κείμενον ἐμὲ καὶ πρὸς ὕψος ἀρετῆς ἀναβλέπειν οὐκ ἔχοντα, καὶ τί γὰρ ἕτερον ἢ σοφιστὴν, ὡς ἂν αὐτὸς ἐπισκώψαις, εἰς αὐτὴν φιλοσοφίαν τοῖς ἐπαίνοις ἀνάγουσαν. μᾶλλον δὲ τὴν ἀκοὴν ὑποσυρομένην, ὅπως κλαπεῖσα τοῖς μηδὲν προσήκουσιν ἐπαίνοις, ἀνάσχοιτο πρᾴως κατηγορουμένης ῥητορικῆς. καὶ φέροι τὰ συνήθη ταῦτα δὴ περιτρίμματα τῆς πολιτικῆς μορίου εἴδωλον, καὶ τὸ δήμοις ὁμιλεῖν καὶ ὅσα δὴ παίζοντες ἐθέλουσι λόγοι. οὐ γὰρ ἂν εἴποιμι φθονούντων αἰδοῖ φιλοσοφίας καὶ πλάτωνος. καὶ αὐτὸς δὲ οἶμαι περὶ τῆς τέχνης ὦ σοφώτατε τἀναντία φρονῶν, σκώμματα τῶν ὡς ἔοικε χαίρειν, ὄνου φασὶ σκιὰν, ἐγκαλεῖς θρασυμάχοις ἡμῖν καὶ πώλοις ἐπικυκλῶν, καὶ ὅσα δὴ Πλάτωνος ἀνέπλασαν τοχαίρει τις. ἀλλὰ ποῦ σοι λοιπὸν ὦ λῷστε τὰ μέγιστα τῶν πραγμάτων ἀγροίκων κακῶς. εἰ δὲ μὴ, ἀλλ' εἰς ἀμείνω καιρὸν ἐπέχω τὴν ἀπειλήν.

Διοδώρῳ.

τ Οἷς ὑμετέροις γράμμασιν ἐντυχὼν, παλαιᾶς εὐδαιμονίας ἀφικόμην εἰς μνήμην. τὸν νεῖλον ἐκεῖνον, καὶ τὴν παρ' αὐτῷ τῆς ὑμετέρας θέας ἀπόλαυσιν, τῇ διανοίᾳ τυπούμενος. καί μοι δακρύειν ἐπῆλθε τὴν τῆς τύχης ῥοπὴν ὡς ἄνω καὶ κάτω στρεφομένην. νῦν μὲν συνάγει τοὺς ἀνθρώπους ὡς οὐκ ἄν τις ἐλπίσειε, νῦν δὲ πάλιν διίστησιν οὓς παρ' ἐλπίδα συνήγαγεν. ἀλλὰ σοφόν τι πρὸς αὐτὴν ἐμηχανήσαντο φάρμακον, ἐπιστολαῖς ἀνακινοῦντες τὸν πόθον. καὶ τὴν παρουσίαν τρόπον τινὰ τοῖς γράμμασι μηχανώμενοι.

τῷ

Τῷ αὐτῷ.

τ Οἷς περὶ φιλίας ἐσπουδάκασιν ἀρκεῖν ἡγοῦμαι τὴν εὔνοιαν. καὶ τὸ τοὺς τῶν συνήθων χρείας ὑπουργεῖν ἑτοιμότερον. τὸ δὲ προσαναλίσκειν οἴεσθαι, οὔτ' ἄλλως δίκαιον, οὔτε τῷ δεξαμένῳ τὴν χάριν καλόν. ὁ γὰρ ἅπαξ ζημιωθεὶς, περὶ δευτέραν χρείαν καθέστηκεν ὀκνηρότερος. ὅπερ εἰ καὶ μὴ πάθοιτε, νόμῳ φιλίας ἀεὶ βεβαιούμενοι, ἀλλ' οὖν ἐγὼ τοῦ γράφειν ὑπὲρ τῶν δοκούντων, ὑπ' αἰδοῦς ἀνακόπτομαι. οὐκοῦν εἴ με βούλεσθε τῇ πρὸς ὑμᾶς παρρησίᾳ χαίρειν ἀεί, οὐκ ὀκνήσετε χρέος λαβεῖν ὀφειλόμενον.

Ἰουλίῳ.

ο Ἷα μοι συνέβη δέξασθαι ἐν ᾧ τὴν ὑμετέραν ἐπιστολὴν, οὐ χεῖρον πρὸς ὑμᾶς διηγήσασθαι. πρώην γάρ τις τὰ οὐράνια σοφὸς εἶναι βουλόμενος, καὶ τέχνην ἔχων ὡς ἔλεγεν ἐκ τῶν ἀστέρων προλέγειν τὰ μέλλοντα, περιτυχὼν ἐξαίφνης ἐμοὶ καὶ θεὶς ἐπὶ δακτύλων τὴν ψῆφον, ὡς εὐτυχὴς φησὶν ὑπάρχων ἐλάνθανες. μέγα τι σοι καὶ λαμπρὸν ὅσον οὔπω παρ' ἐλπίδα γενήσεται. ἐγὼ δὲ τούτων ἀκούσας, τὸ πολὺ τοῦτο ἔφαν παιζόμενον αὐτόν. ἀξιώματα τὴν ἐμὴν τὴν διάνοιαν καὶ τὰ ἐν ἐλπίδι τύχης σοβαρωτέραν ἔχον τὴν γνώμην. ὡς οὖν οὕτως ἔχοντί μοι προσιών τις ἐπεδίδου τὰ ὑμέτερα γράμματα. τοῦτο ἔφην ἐκεῖνο. προῆλθεν εἰς ἔργον ὁ λόγος. χρηστὰ γάρ μοι μηνύειν μαθόντες, πρὸ τῶν ἄλλων ἐπείγονται. τί γὰρ αὖ καὶ παθόντες, οὕτω νῦν παρ' ἐλπίδας ἐπέστειλαν. ὡς δὲ τοῖς ἔνδον ἐντυχὼν καλὰ μὲν οὐδὲν ἔνδον ἀπήλλαττον, καὶ ἐμπειρίαν ἀτιμοτάτην, εἶτ' εἶς πρὸς ἐμαυτὸν ἔφην παρ' ἐλπίδας εὐτυχεῖν. τὸ δὴ λεγόμενον ἀφ' ἵππων ἐπ' ὄνους μεταβεβήκαμεν. πάντα μὲν ὁμοιοῦσθαι νομίζειν οἶδεν ἡ τύχη. ἀλλ' οὔποτ' ἂν ἤλπισα κα

λειμώνων γενέσθαι πατὴρ ὑπὸ καλύβῃ καθήμενος. ταῦτά μοι ζηλῶ ὡς ἔοικεν ἀνατέλλων χαρίζεται. καὶ γέλως διὰ τῶν ἀκουόντων, ἐ-πέρχεν ἐπ᾽ ἐμοί. καὶ δέχου τὸν ἄνδρα φησὶ καὶ τὸν ὄρνιν τοῦ θεοῦ.

Διοδώρῳ.

σ Ὑμεῖς σκώπτετε ἡμῶν τὴν σιωπήν. ἐγὼ δὲ σοῦ φέρειν τὴν ἀλαζονείαν οὐκ ἔχω. δι᾽ ἣν ἴσως οἴει τις εἶναι σεμνὸς ἢν ἡμῖν διὰ πλείστου φανῇς καὶ τὸν λόγον πολλάκις ἐμβάλῃς ἡμῖν. πότε πρὸς ἡμᾶς ὁ καλός. ὁ τὴν θέαν ἡδύς. ὁ τὰς σειρῆνας ἀποκρύπτων ταῖς ἡδοναῖς. ὁ τὴν πατρίδα παρορῶν ἵνα σώσῃ τὴν καίσαρος. τοιαῦτα λογοποιεῖν ἡμᾶς ἢ γὰρ τῇ μελλήσει κατατείνων ἀεί. καὶ παρὰ σαυτῷ πάντως συνωμολογεῖς ὡς τὸ σπάνιον ἀεὶ τοῖς ζητοῦσιν ἐπιτείνει τὸν πόθον. ὅθεν ἡμᾶς παρορᾷς. καὶ οὐ τοῦτο δεινόν, καὶ τὸ ὂν τοιοῦτον. ἀλλὰ καὶ τὰς πατρίους πανηγύρεις ἐν οὐδενὶ λόγῳ ποιῇ. ἀλλὰ πολλάκις ἐμβαλὼν ἐλπίδας ὡς ἥξεις, εἶτα πάλιν ἀνέδυς καὶ διεψεύσμεθα. ὥστε δέδοικται καὶ πρεσβείαν πέμπειν ἡμᾶς καὶ καλεῖν τὸν ἀρχηγέτην. οὕτω γὰρ καὶ χαίρεις λεγόμενος. ἀλλὰ φάνηθι μόλις ὦ λῷστε τὴν μεθ᾽ ἡμῶν ἐπιτελέσων πανήγυριν. εἰ δὲ τὴν πρεσβείαν περιμένεις, ὥρασι κατομένεις ἐκ τῶν γὰρ καλούντων οὐδείς.

Γεωργίῳ παραμυθητική.

ω Πικρὰ τὰ καθ᾽ ἡμῶν τῆς τύχης βουλεύματα. καὶ πρὸς δεινῆς ἀρκοῦντα τραγῳδίας ὑπόθεσιν. οὔπω παίδων οἰ-κτίστου τάφου ἀπεποιούμεθα καὶ τὴν τεκοῦσαν ἐφελκεῖ ἐκείνη μὲν ἴσως δρᾶσαι καθήδον ἦν, ἐν παισὶ φιλτάτοις προσέθηκεν. ἡμῖν δὲ πάθη συναπτοῦσα ὑποθέσει καὶ τάφῳ τάφον ἐργαζομένη βαρύτερον. καὶ τῆς μητρὸς ἀπεστέρησεν οἴμοι παιδεία ἔπι τῆς μητρώας ὀρφ-

τημένα θηλῆς δακρύων ὄντως καὶ ταῦτα καὶ σκηνῆς ἐπέκεινα πά-
θη. καὶ οἷα βεβαιῶσαι μῦθον ὡς γυνὴ δυστυχὴς, ἀνθρώπων λίθος ἐ-
γένετο. ἦν γὰρ ὡς ἔοικε φρυγία καὶ βάρβαρος. τὸ πρὸς τὸ τῆς τύ-
χης πτῶμα τοῖς ἐκ φιλοσοφίας φαρμάκοις οὐ προκατείληπτο
τὴν ψυχήν. οἷα δὴ τὸν μέγαν ἐκεῖνον ἀναξαγόραν λόγος προσαγγεί-
λαντος αὐτῷ τινος τοῦ παιδὸς τὴν ἄωρον τελευτήν, εἰπεῖν εὐθέως
ὡς δὴ περιεσκευασμένον ἐκ πολλοῦ καὶ μηδὲν μέγα παθόντα πρὸ
τῆς ἀκοῆς, ὡς ᾔδειν καὶ ἐγὼ θνητὸν γεννήσας. καὶ οἶμαί γε τοῖς εἰρημέ-
νοις τεκμαιρόμενος, ὡς εἰ καὶ τὸ γενναῖόν τις ἀπήγγελλεν ἐπὶ τοῦ
παιδὸς κεῖσθαι, πάντως ἂν προσέθηκεν, ὡς ᾔδειν καὶ θνητῇ συνοι-
κῶν. ὅθεν ἐπαινῶ τοὺς πρώτους τραγῳδίαν εὑρόντας, ὅτι κατα-
μαθόντες τὴν τύχην αὐτῷ τῷ κατὰ τῶν κυκᾶν τὰ τῶν ἀνθρώπων πράγ-
ματα, τὴν σκηνὴν ἡμῖν ἐπενόησαν. ἀλλοτρίοις δὲ μάλα καλῶς
τὰς τῶν οἰκείων προκαταλαμβάνοντες συμφοράς. τί γὰρ
δεινὸν ἐν ἡμῖν ὃ μὴ φθάσας ὁ χρόνος ἀπέδειξε. τί δ' ἂν γένοιτο και-
νὸν ὃ μὴ πρὸς εἰκόνα παραπλησίαν ἀνάγεται. ἀλλ' εἴ γε φίλον ἡμῖν
τῆς τύχης ἐφθῆναι κρείττοσι, πρὸς τὸν τῆς συνήθους φιλοσοφίας
ὅρμον ὑποδραμούμεθα τίνες τέ ἐσμεν σκοποῦντες καὶ ὅθεν ἀφίγ-
μεθα. καὶ τίνες ἄρα τῶν καθ' ἡμᾶς πραγμάτων οἱ λόγοι. καὶ ὡς δέ-
θέντας λυθῆναι δεῖ πάντως ὁ πηνίκα δόξῃ τῷ δήσαντι. καὶ ἀποθέ-
σθαι τὸ προσωπεῖον ὅπερ ἡμῖν ὁ τοῦ μεγάλου δράματος περιτέ-
θεικε ποιητής. τοῦτο γὰρ ὄντως ἡ τοῦ σαυτὸν γνῶθι παραίνεσις. τοῦ
το σὸν ἔργον ὦ σοφώτατε. καὶ τῆς προνοίας ὡς οἶμαι λόγοις συνεχῶς
ἀνελίττοντος, καὶ τοῖς σοφίας ἀμυήτοις καρτερίας σαυτὸν πα-
ρεχομένου παράδειγμα. ὅθεν εἰς ἑαυτοὺς ἐπανέλθωμεν. ἀλλὰ τί
περιέξομεν λέγοντες καὶ τό, θεὸς διὰ πάντα τελευτᾷ. ταῦτα

καὶ σκοπῶν σαυτοῦ τε δράσεις ἄξια καὶ τὸ θεῖον παρασκευάσεις εὐμενέσι ποτὲ τοῖς καθ᾽ ἡμᾶς ἰδεῖν ὀφθαλμοῖς.

Διοδώρῳ.

λ Ἐδεξάμην τὰς καλὰς ἰσχάδας καὶ κρείττους οἶμαι τῶν Ἀττικῶν, δι᾽ ἃς φασὶν ὁ μέγας ἐκεκίνητο πόλεμος, ὅτε βασιλεὺς ἐπὶ τὴν γῆν ἐπεμβάλλων θαλάττῃ, καὶ διατέμνων ὄρος εἰς θάλατταν. ἐδεξάμην δὲ καὶ ὑποδήματα καὶ λίαν καλά. πλὴν ἀλλ᾽ ἐξ ὑμῶν περὶ κυνόσβατος, οὐδὲν ἐμῶν ἀνὰ πρὸς ῥόδα. ἀσαφὴς γὰρ μακρὰ ἐσυμμέτρῳ σὺν τῷ τὴν ἔμφυτον παραμυθουμένην γλυκύτητα, ποίων μὲν ἰσχάδων Ἀττικῶν, ποίων δὲ πλακούντων ἐφ᾽ οἷς ἀεὶ τὴν γλῶτταν προτείνεις, κρείττων καθέστηκε. πέπομφα δὲ καὶ στρουθοὺς ἐξ ἅλμης ἀδηφάγου γαστρὸς παραμύθιον. ἆρ᾽ οὖν κρείττω πολλῷ τὰ ἡμέτερα, πῶς αὐτά; οἶμαι τέθνης φήσεις δικαστής. πλὴν ἴσως τὰς μελλούσας βλαύτας ἐρεῖς. ἐγὼ δὲ κέχηνα μὲν πρὸς αὐτάς, ἐπειδὰν δὲ πέμψῃς, ἀλλ᾽ οὐ βούλομαι λέγειν οἷα δὴ καὶ σκώπτειν πειράσομαι.

Δωροθέῳ.

η Νάρα τοῖς ποθοῦσιν ἔαρ οὐ καιροῦ μεταβολή. ἡ ὥρας λαμπρότης καὶ χελιδόνων ᾄδουσαι. ἡ γῆ ποικιλλομένη τοῖς ἄνθεσιν. ἀλλὰ καὶ παιδικῶν φωνὴ χειμῶνας γῆς, τὴν τῶν ἐρώντων ψυχὴν παρενοχλοῦντα, πρὸς εὔδιον ἀκολουθίαν μεταβάλλουσα. τοιοῦτός τις πέφηνας κρείττων πάσης ἡδονῆς τὰ γράμματα χαρισάμενος. ὡς ὅγε προεληπτεύσας χειμὼν, ἐπῆλθε μὲν τῇ φύσει πολύς. σοῦ δὲ σιγῶντος ἔδοξε δυσχερέστερος.

Ὠρείωνι.

τ Οἱ δὲ ἀγαθοὺς τῶν φίλων ἀπόντας μᾶλλον οἶδεν ἐλέγχειν ἡ πεῖρα. κρείσσους γὰρ εὐνοίας οὐ τὸ παρόντα τιμᾶν. τοῦτο γὰρ ἔθος τε ποιήσειεν αὖτις καθάπερ ἐπὶ σκηνῆς ὁ τῶν ἀγαθῶν τὸ

πρόσω

προσώπου περικείμενος, ὃ μὴ πέφυκεν, ὑποκρίνεται. εἰ δέ τις τῶν τρόπων διεστὼς, εἰς ἓν χωρεῖ τῇ σπουδῇ καὶ τῇ γνώμῃ συνάπτεται, οὗτος ἐκεῖνος ὁ φιλίας νόμον περιστέλλειν εἰδώς. τοιοῦτος ἡμῖν προῆλθες ἀρετῇ τῶν δευτέρων τὰ φθάσαντα παρελθών. εἰ δὲ καὶ πατέρων ἀκούουσιν οἱ παῖδες, εἰκότως ἄρα με καὶ φήμη κομίζει μετάρσιον. διὰ παιδὸς ἀγαθοῦ μικρὸν πατέρα μείζω ποιοῦσα δοκεῖν. καὶ πανταχοῦ καθάπερ ἐφ' ἧς ταῖς πόλεσι παραπέμπουσα. ἀλλά μοι περιέπουσι τὴν ἀρετὴν, ἣν παρ' ἐμοῦ τῶν λόγων. τὴν αὐτὴν ἔχειν περὶ τοὺς νόμους σπουδὴν καὶ φύσιν ἐπιδεικνύμενος.

## Κυριακῷ.

τ Α μὲν σὰ δῶρα τοιαῦτα. τὰ δὲ ἡμέτερα καὶ αὐτὸς ἐπαινέσειας οὕτω τῇ γαστρὶ χαριζόμενος. λίχνος γάρ τις ὢν καὶ τὸ γαστρίζεσθαι μελέτην πεποιημένος, καὶ βρώμασι τὴν μεγάλην εὐδαιμονίαν μετρῶν, ἔπου τι θηρᾶσαι ἡδὺ, προτείνεις εὐθέως τὴν γλῶτταν, καθάπερ τις αἴας τὴν μεγάλην ἀσπίδα. καὶ μάρτυς ὁ καιρὸς ἐν ᾧ πλακοῦντα παρ' ἑτέρων ὑφήρπασας, ὅλον εὐθὺς παραπέμψας τῷ στόματι.

## Παγκρατίῳ.

ὁ Υτω παρορᾶς τοὺς ποθοῦντας, οὕτω δὴ γλώττης ἐπέχεις τὰ νάματα, ἀλλ' ἔμοιγε καὶ διαγράφει τὴν ὑμετέραν θέαν ὁ πόθος. ἢ νῦν ἔσυνων ὀνειροπολεῖν ἐγρηγορότος τοῦ σώματος. ἀλλὰ δὸς σαυτὸν μέχρι γοῦν γραμμάτων ἡμῖν. τοῖς γὰρ ποθοῦσι παραμύθια καὶ τὸ μικρόν τι σύμβολον τῶν ἐρωμένων ἰδεῖν. μέμνησο δὲ καὶ τῶν λόγων ἐκείνων ἐν οἷς ὑποσχέσεις ἦσαν ἢ θᾶττον ἐλθεῖν εἰς ἡμᾶς ἢ γράμμασι πυκνοῖς ἀνεπαίσθητον τὴν ἀπουσίαν ποιεῖν. νυνὶ δὲ κινδυνεύω γράφεσθαί σε παρὰ ταῖς μούσαις ὡς ὁ σοφὸς πατράτιος δεινὸς ἦν λέγειν, ἃ μὴ ποιεῖν ἐλογίζετο.

## Σαλομένῳ.

ὀ Υ τὴν τυχοῦσαν ἡμῖν ἡδονὴν ἐνεποίησεν ὁ σοφὸς καισάρειος τὴν σὴν σπουδὴν, ἀφηγούμενος· οἷα γὰρ χρηστὸς ἀνὴρ καὶ τοῖς λόγοις ἀνατεθραμμένος, ἀνεπίφθονον ἡμῖν τὸ καθαρὸν ἐδίδου τὸν ἔπαινον, μειδιῶντέ ἅμα καὶ συνηδόμενος ἐμοὶ τῆς γονῆς. ἐγὼ δὲ σὲ μὲν, ἐμακάριζον τῶν ἐπαίνων. ἐκεῖνον δὲ τῆς προαιρέσεως. ἐμαυτὸν δὲ, τῆς τύχης, εἰ τοὺς παρ᾽ ἐμοὶ φοιτῶντας ἀνὴρ ἀγαθὸς ἐνεμαρτύρησεν. ἀλλ᾽ ἐπιδίδου πρὸς ἀρετὴν τῇ σωφροσύνῃ κοσμούμενος. καὶ μειζόνων ἐπαίνων ὑποθέσεις δίδου τοῖς ἀπαγγέλλουσιν.

## Ἡλίᾳ ἐπισκόπῳ.

π Ολλῶν ὄντων εἰπεῖν δι᾽ ὧν αὔξει τὰ τῆς τύχης τραγῳδήσειε παίγνια, μεταποιοῦσα ἀεὶ πρὸς τὸ δοκοῦν τὰ ἡμέτερα, καὶ μηδὲν ἑστάναι συγχωρούσης ἐπὶ τοῦ σχήματος, ταῦτα μὲν σιωπήσω πρὸς ἄνδρα πάλαι κατεγνωκότα τῶν ἐπὶ γῆς καὶ τὴν τύχην νικῶντα δι᾽ ὧν ὑπερορᾷ μηδὲν ἐκείνης θαυμάζειν ἐθέλων. τοσοῦτον δὲ μόνον ὑπεμνήσω, ὡς οὐδὲν οὕτως ἡμέτερον ὡς ἡμεῖς ἑαυτῶν. τί δὲ ἡμεῖς. οὐ σῶμα δήπουθεν τοῦτο τὸ ῥευστὸν, οὐδὲ χρημάτων ὄχλος, οὐδ᾽ ὅσα τὴν ἰσχὺν παρασκευάζει τῇ τύχῃ. ἀλλὰ ψυχὴ λογικὴ δι᾽ οὕς τινας δὴ λόγους πεπεδημένη τῷ σώματι. ὅθεν οἱ φρονεῖν ἐγνωκότες τὰ δέοντα, πᾶν ὅ τι περ ἂν παρὰ ταύτην ἀπεσκευάζοντο ὡς τὸ ἄχθος ἀλλότριον, μηδὲν πρὸς ἰδίαν οὐσίαν ταῦτα τείνειν ἡγούμενοι καὶ οὐδὲν ἐποιοῦντο τῆς γνώμης ἐμπόδιον, οὐ σώματος αἰκισμόν. οὐ χρημάτων ἀποβολὴν, οὐ καιροῦ δυσκολίας. ἀλλὰ

ἑαυτοὺς

ἑαυτοὺς ἀνατρέχοντες ἐλεύθεροί τε ἦσαν καὶ μίαν ηὐλαβοῦντο ζημίαν, τὴν ἀρετῆς ἐκπεσεῖν. τὰ χρήματα τῶν ἔθῳ καὶ φειδοῖ τοῦ σώματος ἐν ἀνδραπόδου λόγῳ τετάχασι. τὸ κρεῖττον ἀναξίως ὑποβαλόντες τῷ χείρονι. καὶ θαυμάζοντες ἄνδρας ὑβριστὰς πάντας μᾶλλον πλουτοῦντας ἢ περὶ αὐτούς. ἔθεσι ὁ μὲν ὡς ἀλλοτρίῳ κεχρημένος σώματι, τὴν ἐλευθέραν ἐκείνην φωνήν, τὴν ἤκατε λέγειν τὴν ἤκατε τὸν δὲ ἀνάρχου θύλακον, αὐτὸν γὰρ ἀνέξειν οὔποτε πήσεσθαι. ὁ δὲ τῶν ὑπαρχόντων ἐκβολὴν αὐθαίρετον ποιησάμενος, κρατῆς ἐφάσκε κρατῆτα ἐλευθεροῖ. ταῦτα καὶ τὰ τοιαῦτα γενναίας ὄντως ψυχῆς. ἥτις ἑαυτῇ ἔδει πατοῦσα τὰς ἡδονάς. τὸ τοῖς καιροῖς οὐκ οἶδε συμμετατίθεσθαι. μέμνησο τοίνυν ὡς ἐπικτήτῳ δοκεῖ ὅτι ὑποκεῖται ὃ δράματος οὗ ἂν θέλῃ ὁ ποιητής. καὶ πλάτωνι δέον δοκεῖ, ὡς ὁ σοφὸς εὐδαίμων, κἂν πάντα δὴ τὰ μὴ ἐπὶ τούτῳ πράττῃ κακῶς. ἡνίκα γὰρ τὰ ἐφ' ἡμῖν εὖ πράττει, τῶν ἔξωθεν δήπουθεν ὀλίγα φροντίς. ἑτέρῳ γὰρ ἐκεῖνα φέρεται ῥεύματι.

Κληδονίῳ.

ε̄ Ὑγιὴ δὲ ἐν τοῖς γράμμασι χάριτος καὶ γλώττης ἀκωλύτως ῥεούσης. καὶ λέγειν δυναμένης ὅσα ἂν βούλεται. ὅπου γὰρ ἐμὲ τὸν μικρὸν ἐν λόγοις καὶ τὴν τέχνην μέχρι τοῦ σχήματος περικείμενον, τοσοῦτον ἦρας ἄνω, ὡς ἀπρεπὲς με λοιπὸν μή ποτε πρὸς ἄλλους γράφων, εἶτά μου κατὰ λήθην προσηγορίαν ἐπιγράψας, τί οὐκ ἂν ῥᾳδίως εἴποις βουλόμενος. καί μοι δοκεῖς τοσοῦτον κεκινηκέναι τὴν γλῶτταν, δηλῶσαι θέλων ὡς ἀπαιτήσεις παρ' ἐμοῦ τὸ παιδίον οὕτω λέγειν δυνάμενον. ὅθεν μοι καὶ τοσοῦτον ἀγῶνα πεποίηκας, ὥστε μικροῦ δεῖν, καὶ τὴν τοῦ διδάξειν αὐτὸν ἀνεδυόμην ὑπόσχεσιν. εἰ μή με λογισμὸς εἰσῆλθεν ὡς τὴν τοῦ

πατρὸς

πα[illegible]ὸς φύσιν λαχὼν, ἐκ τῶν εἰκότων ὁ νέος νικήσει τὴν ἐμὴν δὲ δυσκολίαν τὸ λεῖπον ἐκ ταύτης οἴκοθεν περιεχόμενος· ὥστε σοι καιρὸς μὴ παρ᾽ ἐμοῦ τὸ πᾶν ζητεῖν, ἵνα μὴ πρὸς τὰς εὐθύνας ἀπορῶν σιωπήσωμαι. τὴν δὲ πρὸς αὐτὸν εὔνοιαν τοσαύτην κατεπαγγέλλομαι, ὅσην ἂν αὐτὸς παρέχες εἰ διδάσκων ἐτύγχανες. προσοφείλεται γάρ με πρὸς ταύτην ὁ νέος τῇ φύσει τὴν σπουδὴν ἐφάμιλλον παρεχόμενος.

## Γεσίῳ.

τ Ἧς μέχρι νῦν ὤλωστε πρὸς τὸ γράφειν ὁρμῆς σωκρατικῶς εἰπεῖν, δαιμόνιόν τι πέφηνεν ἐναντίωμα· νοσήμασιν ἡμᾶς δὲ ἄλλοις ἄλλοις περιβάλλον. οἷα δὴ συμβαίνει τῆς παρούσης ἡμᾶς ἀπολαύειν ζωῆς. μυρίων γὰρ ὄχλος κακῶν τὸν τῶν ἀνθρώπων οὐκ οἶδ᾽ ὅπως ἐκληρώσατο βίον· καὶ τὸν μὲν, πενία παρενοχλεῖ. τὸν δὲ πάθη παρατείνει ψυχῆς. ἄλλῳ διάκειται τὸ σῶμα κακῶς. ἕτερος παιδίον οὐκ ἔχων θρηνεῖ· ὁ δὲ τοὺς ὄντας ὀδύρεται. καὶ τί δεῖ λέγειν γυναικῶν καὶ παίδων ἀποβολήν. ἅπερ ὑμῖν οὐχ ὡς ἔδει συνιέναι τῇ πείρᾳ παρέσχεν ἡ πεῖρα. καὶ μακρὸν ἂν εἴη τῷ λόγῳ περιιόντος εἶναι ἃ πρόκειται τῇ θέᾳ. καὶ δείκνυσιν ἡμῖν ἐπὶ τῶν ἔργων ὁ βίος οὕτως ἄγοντος τοῦ θεοῦ τὰ ἡμέτερα ἐμοὶ δοκεῖν ὅπως ἀβουλήτων πλήθει περιπεσόντες, τῶν ἐπὶ γῆς μηδαμῶς ἀντεχώμεθα μηδὲν ἐχόντων ἑστηκὸς καὶ ἀκίνητον. ἀλλὰ καταλιπόντες τῶν συμφορῶν τὸ χωρίον, πρὸς ἑτέραν ζωὴν ἐπειγώμεθα, ἐπὶ τὸν ἀναπτάντες τῇ διανοίᾳ τὸν οὐρανὸν, εἰ καὶ μένειν ἔτι τὸ σῶμα βιάζεται. μηδὲ θρηνῶμεν τὸν ἀπελθόντα τῶν ἐν τῷ βίῳ δεσμῶν φανέντα μόλις ἐλεύθερον. ἐπαινῶ γὰρ τὸν εἰπόντα ὅς τις ποτ᾽ ἦν ὁ τοῦ λόγου τούτου

πατὴρ

πατὴρ, ὡς ἀρχῆθεν μὲν φῦναι τοῖς ἐπὶ γῆς ἄριστον· φύντα δ' ὅτι τάχιστα πύλας ἀΐδαο περῆσαι. ὅπερ ἡ σκηνὴ παραινέσασα, δεῖν ἡμᾶς φησὶν ἐπὶ σύλλογον ἰόντας τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά. τί οὖν ἔτι θρηνοῦμεν ἐκ τῆς τοῦ βίου ζάλης ἀσφαλῶς τοὺς φιλτάτους προπέμψαντες. πρὶν ἐν πείρᾳ γενέσθαι τῶν ἐν τῷ βίῳ κακῶν. τί δὲ πρὸς τὸ δοκοῦν ἡμῖν τὸ θεῖον εἶναι βουλόμεθα, δέον τοῦτο κἀκείνῳ καλὸν, ὅπερ ἂν ἐκείνῳ δοκῇ. τοιοῦτος ἦν ὄντως ὁ τὸν πολὺν ἐκεῖνον Πυθαγόραν ἐζηλωκώς. ὅς τις γε δὴ πρὸς τὸν εὐδοχῆς ἐπόντα μέρος, δώῃ σοι ὁ θεὸς ἅπερ ἂν τύχῃς βουλόμενος, εὐφήμως φησίν· ἀλλὰ βουλοίμην ἅ τι καὶ δίδωσι. πολλὰ γὰρ ἡμῖν γενέσθαι πολλάκις εὐξάμενοι, εἶτα μὴ τυχόντες, ἔγνωμεν ἐκ τῶν ἔργων ὡς δὲ ὄντως οὐ γέγονε. πολλῶν δὲ καὶ κατὰ γνώμην δῆθεν τυχὼν, μικρὸν ὕστερον ἐμεμψάμην τὴν τύχην ὅτι καὶ γέγονεν. οὕτως ἄρα πρὸς μικρὰ βλέποντες ἄνθρωποι, τὴν φύσιν οὐκ ἔχουσι διαρκῆ. ὃ δ' ἅπερ ἂν μέλλῃ καθάπαξ, λυσιτελεῖν ἠγνοήκαμεν. τοιγαροῦν παραχωρεῖν ἀνάγκη τῷ κρείττονι, σοφῶς ἄγοντι τὰ ἡμέτερα κἂν ἡμῖν ἀγνοῆται τὰ δόγματα.

## Μουσαίῳ.

Ὁ λογιώτατος Παλλάδιος, χρυσοῦν ὅλον ἥκει ἄγων τὴν ὑμετέραν ἐπιστολήν· καὶ εἴ γε μοι τὰ κροίσου κεκόμικε τάλαντα, οὐκ ἂν οὕτως εὐμενέσιν εἶδον αὐτὸν ὀφθαλμοῖς. ἄλλοις μὲν ἐφ' ᾧ; μέγα φρονεῖν. ὁ λυδὸς χρυσῷ. ὁ σπαρτιάτης τῷ δόρατι. χορδαῖς Ἀρίων καὶ κρούσμασιν. ἐμοὶ δὲ σεμνολόγημα ἥ τε θέα καὶ γράμματα σά. καὶ πᾶν ὅ,τι ἂν ὑμῶν ἀπολαύσω δέῃ. ὥς τι δῶρον νέῳ καὶ μισθὸν ἡμεῖς ἐκ τῶν δικαίων ὀφείλομεν. ὃν οὐκ ἀποδιδόντες, εἰκότως ἂν αἰσχυνοίμεθα. ὁ δὲ μισθὸς, οὐ μὰ δία χρυσὸς,

οὔτε λίθοι τινὲς ἰνδικοί. οὔτε γὰρ τούτων πλουτῶ, οὔτε τούτων θηρεύσων ὁ νέος ἀφίκται. ἀλλ' οὐδὲ λόγων κάλλος. οὐ γὰρ μουσῶν εὔφορος ἐγώ. οὐδὲ γὰρ τῆς ἀττικῆς ἐναβρύνομαι. ταῦτα γὰρ εὐδαιμόνων εὐτυχήσουσι παῖδες. ἀλλ' εἰ τὴν ἐμὴν δόσιν ἥ τις ἤδη ἐθέλεις σκοπεῖν, εὔνοιά γε καὶ προθυμία. τούτων γὰρ κύριος ἐγὼ Δημοσθένης φησίν. τῶν δὲ ἄλλων τύχη καὶ μοῦσαι πρὸς τὸ δοκοῦν αὐταῖς τὴν δωρεὰν πρυτανεύουσαι.

## Μεγέθιος Προκοπίῳ.

ὅ Τε πρῶτον εἰς μέσους ἡμᾶς τὸν ἐπιτάφιον λόγον παρῆλθες, τοσοῦτον ἤσθην τοῖς ἀττικοῖς συμμελετηταῖς. ὥς τε καὶ ἡγούμην τὸν μουσηγέτην αὐτὸν συνεργάσασθαί σοι μετὰ τῶν χαρίτων τὸν λόγον. ἐφεκάστῳ μὲν οὖν τῶν ὀνομάτων, ἐγώ τε καὶ ὅσοι τῶν ἀκροωμένων ἐνέπλησαν τότε τὸ θέατρον, βοῶντες ἕκαστοι τὸ στεντόρειον. ὡς δὲ κατὰ τὴν πόλιν γεγόναμεν, ἐντεῦθεν μᾶλλον ἐπετείνετό σοι τὸ θαῦμα. καὶ ἦν ἐν τοῖς ἁπάντων στόμασι τὰ χρυσᾶ σου γεννήματα. κρινόντων μὲν ταῦτα πρὸς ἄλληλα, τῷ μήπω παραπλήσιον εἶναι. ἀπορουμένων δὲ ποῖα δεῖ μᾶλλον τῶν ἄλλων στεφανῶσαι τοῦ κάλλους, ἴσα προσέβαλλον αἱ χάριτες. ἐπεὶ οὖν ὅσοις δι' ἀσχολίαν ἀνηκόοις γενέσθαι τοῦ λόγου συμβέβηκεν, ἱκέτευον ἀπογεύσασθαι δι' ἐμοῦ τῆς ἀττικῆς σου μελίττης, πέμπε τὸν λόγον εὐθὺς ὡς μυρίοις αὖθις αὐτὸν κατεστέψαντες τοῖς ἐγκωμίοις, σοὶ αὖθις ἀποστελοῦμεν.

## Προκόπιος Ἠλίᾳ.

Τ Ἠν ὑμετέραν ἐπιστολὴν εἰς χεῖρας λαβὼν, αὐτόν σε προσιόντα χαίρειν ἐδόκησα. οὕτω σου τὴν χάριν ὅλην ἐνέθηκας τοῖς γράμμασιν.

ὥστε

καὶ τῇ ἐπιστολῇ προσεγέλων πυκνότερον ὥσπερ ὅτε σὲ ἔβλεπον ἐνεφορούμην τῆς ἡδονῆς. εἰ δὲ μέμνησαι τῶν φίλων ἀπόντων, θαυμαστὸν καὶ παρ' ἐλπίδας οὐδέν. ἀλλὰ τοῦτο γέγονεν ὃ προλαβόντες ἠλπίσαμεν. ἐγὼ δὲ καὶ καθεύδων προσδιαλέγεσθαί σοι δοκῶ. καὶ πολλάκις ἀναστὰς ἠνιάθην, ὅτι περ ὄνειρος ἦν. τὸν δὲ ἑταῖρον Μέγαν εἰ διδόναι ῥᾳδίως εἶχεν ὡς βούλομαι, πάντως ἂν αὐτὸν ἤδη τε τέλεον ἀπειλήφεις καὶ ῥήτορα.

Ζαχαρίας.

Ὁ μὲν χειμὼν ἡμῖν ἤδη πέρας ἔχει τε πέπαυται μεμφομένοις ἀμφότερα τε τὴν σιγὴν τε τὴν ὥραν. τὸ δὲ ἔαρ ἀσμένοις ἀφῖκται καὶ μᾶλλον ἢ περ εἰώθει γέγονεν ἔαρ. οὐ παρὰ μόνον ᾄδουσιν αἱ χελιδόνες τὴν ὥραν, ἀλλὰ καὶ τὴν ἐπὶ σοὶ ψῆφον ἡ φήμη βοᾷ, ὡς ἐπὶ μέγα προῆλθες. ὡς εὐδαιμόνων ῥητόρων ἐγκαταλέγῃς χορῷ. εἰ δὲ καὶ ὅσον βουλόμεθα προσετίθει, πάντως ἂν οὐδὲν εἰς εὐτυχίαν ἀπῆν. εἰ μὲν οὖν γέγονε ταῦτα, τὰ μείζω πάντως αἰτήσομαι. εἰ δὲ μέχρι λόγων ἡδόμεθα, τὴν μὲν φήμην ἐπαινῶ. τὰ δὲ ἔργα, διὰ τὴν φήμην μανθάνομαι.

Τῷ αὐτῷ.

Νῦν ὄντως ἔγνων, ὡς οὐκ ἦν ἄρα λόγος, ἀλλ' ἔργον ἡ φήμη. καὶ θαυμάζω τὸ χαρτὸν νόμον τὸν ἀττικόν, ὃς ἐν θεοῖς τε ταύτην ἱδρύσατο. οὐ παρὰ δὴ μόνον Ἡσίοδος θεὸν αὐτὴν ἀνυμνεῖ, ἀλλὰ τε ἀθηναῖοι τὴν ἐν μυκάλῃ μάχην αὐθημερὸν ἐγνωκότες οὐκ ἀνεκτὸν ἔφασαν εἰ μὴ θεὸν ἡγοῖντο τὴν φήμην. εἰ μὲν οὖν πρὸς ἄλλον ὑπὲρ χρυσολόγος, εἶπον ἂν εὐθὺς ὡς ἀναπαύσεις ἡμῖν τὴν ὀφρῦν. καὶ δεινὰ φύσεις παρέχειν εἰ μὴ σέ τις πυκνῶς ἐπάρχων καλέσειε ῥήτορα. τε μεῖζον φρονήσεις ἢ Δημοσθένης ἐκεῖνος ἐπὶ κήματος ἀττικοῦ. ὁ μὲν γὰρ μίαν ἦγε πόλιν δημηγορῶν. σὺ δὲ δικαστηρίου κρατήσεις, δι' οὗ προέρχεται τοῖς βασιλέως ὑπηκόοις ἡ δίκη. ταῦτα πρὸς ἄλλον αὐτὸπᾶν ἐπὶ σοῦ σιωπήσομαι. ὃν ἐν τοῖς εὖ ἀκούειν. καί τοι γε

γὰρ ἐπιστέλλειν ὡς εἰκὸς ἐμηχανήσαντο ἄνθρωποι, ὅπως ἀπιοῦσι μίμημα σώζοιεν παρόντων. καὶ λέγοιεν τι τοῖς γράμμασιν ὥσπερ ἂν εἰ καὶ συνόντες. ἐγὼ δέ σου τὴν ἐπιστολὴν ἀναγνοὺς ὑφ᾽ ἡδονῆς ἐδάκρυσα, ἡνίκα σου παρόντος ὥσπερ εἰώθεις ἐδόκουν ἀκούειν. καὶ ἤδη πνδύσας, τοῦτο εἶπον ἐκεῖνο ἡ φιλτάτη φωνή. ἀλλὰ πρὸς ἔρωτος αὐτοῦ καὶ φιλίας ἐκείνης, εἴπου ταύτην ἔτι οἶσθα καὶ μέμνησαι, μή μοι τοῖς γράμμασιν ἀποδήμει. μηδὲ τὴν μόνην ἀφέλῃ παραμυθίαν. μή ποτε τάχα ζηλώσω τοὺς μηδὲ τὴν ἀρχὴν ἐρῶντας. οὓς μηδὲ συμβαίνει τοιαῦτα παθόντας ὀδύρεσθαι.

Τοῖς αὐτοῦ ἀδελφοῖς.

π Ἀλλ᾽ ἦν ἤδη καιρὸς γράμματα πρὸς ὑμᾶς ἀπαιτῶν. καὶ πάλιν εὐτυχεῖν νενομίκαμεν. τίς γὰρ ἡμῖν γένοιτο βίος τοῦ λέγειν τι πρὸς ὑμᾶς καὶ γράφειν ἐστερημένοις. εἰ δὲ καὶ τῶν ὁμοίων τύχοιμεν παρ᾽ ὑμῶν, ἡράκλεις ὅσον ἡμεῖς εὐτυχήσομεν. οὐκοῦν μὴ μέλλετε πρὸς ἔργον ἄγειν τὸν πόθον. ἵνα μὴ μόνον ἔρωτος ἀτιμάσαντες, τῶν ἐκείνου βελῶν πειραθείητε. δεινὸς γὰρ ὁ θεὸς καὶ βέλη κινεῖν καὶ τόξον αἴρειν. καὶ σκοπὸν ποιεῖται τοὺς ἀτιμάζοντας ἐραστήν.

Ἰωάννῃ.

ε Ζηλῶ καὶ σὲ τῆς γονῆς, εἰ τοιαῦτα τίκτειν ἐπίστασαι. εὐδαιμόνων γὰρ πατέρων παῖδας ἀποφαίνεις εὐδαίμονας, μουσικῷ τινι νάματι τὰ θεῖα σφᾶς προφερόμενος, τοιοῦτος ἡμῖν ὁ λογιώτατος ἀφῖκται Μουσήλιος. ὃν ἐπαινεῖν ἐθέλων καὶ τὰ προσόντα μὴ λέγειν δυνάμενος, μόνην τὴν σιωπὴν ἀρκεῖν ἡγοῦμαι πρὸς ἔπαινον. ἀλλ᾽ εἴ μοι τι πείθῃ, τὴν ἀγαμέμνονος ἐπὶ σοὶ μεθαρμόσω φωνήν. βάλλ᾽ οὕτω φίλε τεῦκρε. καὶ μὴ φείσῃ φθεγγόμενος.

## Νεστορίῳ.

ε Ἐψεύσθημεν ἐλπίδος μακρᾶς μὲν καὶ τῷ χρόνῳ λυπούσης
ὅτι μὴ τὸ πέρας ἐδέχετο. εὔφρανε δὲ ὅμως καὶ μετριω-
τέρους ἐποίει. τὴν γὰρ σὴν ἐπιστολὴν εἰς μνήμην ἄγουσι παρεῖχε μὲν
ἐννοεῖν ὅτι δὴ θᾶττον ἡμῖν ἐπανέλθοις. νυνὶ δὲ καὶ τῆς ἐλπίδος αὐτῆς
ἐκπεσόντες, πῶς ἂν ἔχοιμεν φέρειν μετρίως. ἀλλ' ὢ τύχη τύχη,
τραγῳδήσω γάρ τι μικρὸν εἰς παραμυθίαν τῆς λύπης. τίσι τοσοῦτον
εὐφραινόμεν ἀνιώμενοι. ὤφελες γὰρ ἢ μὴ συναγαγεῖν εἰς ἦθος αὐ-
θρώπους, ἢ γοῦν ἀπολαύειν ἀλλήλων ἐᾶν. τὸ μὴ, χωριζομένοις ἐφήδε-
σθαι. ἀλλὰ γὰρ ξένον οὐδὲν ἀνθρώπους ἡμᾶς ὄντας τοιούτων πειρᾶ-
σθαι. ἀλλ' ὑποκύπτειν δεῖ τὸν αὐχένα καὶ ζυγὸν ἀνάγκης ὑπομένειν
ἑκόντας. οἱ γὰρ ἑκούσιοι πόνοι τοῖς κάμνουσι μετριώτεροι.

## Ζαχαρίᾳ καὶ Φιλίππῳ.

ὁ Τὴν ἐπιστολὴν ὑμῖν ἐπιδίδωσι, τῶν ἐς ἐμοῦ φοιτησάντων
ἐστὶν ἀνήρ. χρόνον μὲν οὐ πολὺν, ἀλλ' ὅμως ἱκανὸν ἡγεῖται
πρὸς τὴν ἐξ ὑμῶν εὐποιίαν καὶ τὸ ψιλὴν τὴν γραφεσθαί μου προ
σηγορίαν. εἰ δὲ δεόντως ἔγνωκε, διδάσκαλον ἀναμένει τὴν πεῖ-
ραν. οὐκοῦν ἀγὼν ὑμῖν κἀκεῖνον μὴ ψευσθῆναι τῆς γνώμης. κἀμὲ
μὴ καταισχῦναι τοσοῦτον ἔχειν παρ' ὑμῖν νομιζόμενον. Ζαχαρίᾳ.

ὅ σης με φιλοτιμίας ἐνέπλησας τὴν μικρὰν δεξάμενος ἐπι
στολὴν καὶ τὴν ὡς ἂν αὐτὸς εἴποις λακωνικήν. ἰδοὺ δήπου τὸ σο
φὸν ὁρῶ. ἡ ἀπορία τῆς αὐτίχρημα ἐγήνημαι. κεῖμαι παντὸς
λυκοῦργος. ὁ γὰρ σόλων οὐδέν. μικροῦ δεῖν καὶ δίκην ἀφῆκα φω-
νὴν, τὴν ἀττικὴν ἐκείνης εἰς λήθην ἐλθών. λυπεῖ με δὲ καὶ πατρὶς
ἐκ μέρους τετειχισμένη, ὅτι δὴ μὴ τῆς ἀτειχίστου σπάρτης ἐστὶν ἑ-
κών, τοιαῦτα δύναται ῥήτωρ ἀγαθὸς, πρὸς πειθὼ ἕλκων οἷ-
ον καὶ βούλεται. εἰ δέ με πάλιν ὡς ἀττικὸν ἐπαινέσειας,

ὥρα μὴ τὴν παρ' αὐτὴν αὖθις ἀρνησώμεθα. οὕτω ἤθῳ τῶν σῶν γραμ-
μάτων μεθέλκομαι. ἀλλ' ὅπως μὴ παίζειν ἐθέλων, ἐπαινέσεις τὴν
αἴγυπτον, καὶ περὶ λόγων γνησίμην αἰγύπτιος. οὐκοῦν φείσαι πρὸς
διός. οὐ γὰρ ἔχω μὴ θαυμάζειν ὃ πόσα καὶ σύ. Νηφαλίῳ.

σ Υ μὲν ἐν πλήθει χρημάτων ἀπορίαν θρηνεῖς. ἐγὼ δὲ τὰ χρή-
ματα καὶ τοὺς πλουτοῦντας περιφρονῶ καίτοι πενίᾳ θαυμαστῇ συ-
νεχόμενος. οὕτως ἄρα τὸ πένεσθαι καὶ πλουτεῖν ἡ γνώμη ποιεῖ. οὐ
χρήματα παρὰ τῆς τύχης τῇ δὲ κἀκεῖσε πλανώμενα. τοιγαροῦν
παῦσαι μικροψύχως ἡμῖν ὀδυρόμενος. μηδὲν μέγα νομίζων πλὴν
εἰ μή τι φέροι πρὸς ἀρετήν. ὅτι γὰρ μὴ τοιοῦτον, ἀλλότριον τί ἐστι
πρὸς αὐτὴν ἐφέλκεται. ὅθεν οἱ φρονεῖν εἰδότες ὥσπερ τινὰ μέθην
τὴν φλυαρίαν ταῦτα ἀποσεισόμενοι, τὴν μὲν καταλιπόντες τῇ γῇ,
μετάρσιῳ γνώμῃ περιπολοῦσι τὸν οὐρανόν. τὰς αἰσθήσεις καὶ τὴν ὕ-
λην καὶ τὸ τῆς πλάνης χωρίον ὥσπερ τινὰ χαλεπὴν διανηξάμενοι θά-
λατταν.

Μουσαίῳ.

δ Ἐδεξάμην τὴν βίβλον ποθεινοτέραν μοι γενομένην, ὅτι ταῖς
ὑμετέραις ἀναληφθεῖσα χερσί, τάχα τι καὶ μουσικὸν ἐπεσπάσατο
ὡς τὸν κεχρημένον λοιπὸν ὀξυτέρας οἶμαι τῆς διανοίας αἰσθάνεσθαι·
οὐ χεῖρον ἢ Σωκράτης, ἡνίκα δὴ παρὰ τὸν ἰλισσὸν ἐκαθέζετο. τό-
δε τῶν νυμφῶν ἱερὸν καὶ πανὸς ἐν διαίτημα. ἀλλ' ἔθεμαι καὶ τὰς ἄλ-
λας βίβλους λαβὼν, τοιαύτας ἐργάσαιτο. ὥστε με κατὰ μέρος
ἑκάστῃ προσβαλόντα, ὀξυτέρας ἀεὶ τῆς ἐπιπνοίας αἰσθάνεσθαι.

Ἐπιφανίῳ.

κ Ἄλλως ἄρα ᾔδει τὸ τῶν ἐρώντων πάθος ἡ παροιμία. καὶ ἐ-
πιορκεῖν ἐθέλωσι, συγγνώμη αὐτοῖς ἐκ θεῶν ἐπαγγέλλεται.
ἰδοὺ γάρ σοι γέγραφα καίτοι μὴ γράφειν ὑπεσχημένος. οὕτως ἀ-

μεθα

μεθα τῶν πόθῳ καὶ γινόμεθα φύσεως ἐρωτικός. ἀλλὰ γράφε πολλάκις· καὶ δίδου τύπον γοῦν εἰκόνος αὐτῆς θέας τοῖς ἐρασταῖς.

Τῶν Προκοπίου ἐπιστολῶν
Τέλος.

# ΔΙΟΝΥΣΙΟΥ ΣΟΦΙΣΤΟΥ ΑΝΤΙΟΧΕΙΑΣ ΕΠΙΣΤΟΛΑΙ

## Φιλοξένῳ Ἐπισκόπῳ.

Ῥᾶμμα ἐμοὶ ποθεινόν, ἐπιστολὴ τῆς ὑμῶν. ἤθελε μὲν ἐξεγγύετό μοι ἡ αὐτῆς συνιέναι τῆς φωνῆς· οὕτω δ' αὖ ἥδιον ἔχον, ὥσπερ τις ἐραστὴς αὐτὴν ὁρῶν τοῦ ποθουμένου τὴν ὄψιν· οὐ μὴν ἀλλὰ καὶ τὰς εἰκόνας εἰώθασι μὲν ἀγαπᾶν τῶν ἐρωμένων, ὅταν αὐτοὺς μὴ δυνηθῶσι μὲν ἰδεῖν. τὰ σύμβολα δέ, ὅτι μὲν τῆς ἑορτῆς ἐστὶν ἀγαθά μοι δοκεῖ. διότι δὲ παρ' ὑμῶν, διπλάσια δικαίως νομισθήσεται.

## Διονυσίῳ.

Υ τὴν ἐδάκρυσα τὴν γῆν, ἐπειδὴ τὴν σὴν ἤκουσα σιωπήν. εἰ γὰρ ὁ κύκνος σιγᾷ, τίς ᾄσεται μουσικήν. εἰ ὁ μεγαλόφωνος Διονύσιος μικρὰ φθέγγεται, τίς οὐ σιωπήσεται. ὡς ἔδει τὴν ψυχὴν πολλοῖς σώμασιν ἐνηχεῖν, ὅπως αὖ ἡ τοῦτο κἀμοὶ πρὸς ὑπηρεσίαν τῆς τέχνης. δεινὸν γὰρ εἴ τις ἄριστος αὐλητὴς καταγό των αὐτῷ τῶν αὐλῶν, δι' ἀπορίαν ὀργάνων εἰς θέατρον μὴ καταβαίνοι.

## Στεφάνῳ.

ο' Τί γραμμάτων ἐμῶν ἐπιθυμεῖς, ἠγνόουν· ὡς δὲ ᾐσθόμην ἀφθόνω γραμματικῷ; Βερονικιανός μοι διελέχθη, γράφων μὲν οὐ παύσομαι· φιλῶν δὲ οὐκ ἐπαυσάμην.

## Εὐσεβίῳ.

π Οἱ ἐάσαντες ὑμῶν ἐραστὴν, ἐποιήσατέ με καὶ τολμηρόν. ὥστε οὐ παύσομαι γράφων, κἂν πολλάκις αἰτιάσησθέ με θρασύτητος. τί γὰρ ἂν καὶ ποιήσειεν ἄνθρωπος ἐρῶν· καὶ παύσασθαι μὴ δυνάμενος.

## Τῷ τὰ ὀξίδια πέμψαντι.

τ Οἱ κεράμους ὅτι μὲν πρωτείους ἐπέγραψας εἶδον· ὅτι δὲ μὴ προσέθηκας ὄξους, ἐπελαβόμην. τοῦτο γὰρ ἐπιγράφων καὶ ἀληθεύειν ἐδόκεις, καὶ ἀσφαλεστέρους ἐποίεις τοὺς πειρωμένους. νῦν δὲ ὑπὸ τῆς ἀγνοίας ὡς οἶνον ἁρπάζοντες, λανθάνουσι κινδυνεύοντες.

## Τῷ αὐτῷ.

ξ Φιλότιμος καὶ δικαία σου ἡ δωρεά, μέχρι μὲν πρώην ἀνέπαφος ἦν. ἐπεὶ μηδὲ ἰδεῖν αὐτὴν ηὐχόμην οὕτω μεγάλην οὖσαν ἐρυθριῶν. ὡς δὲ ἔδει τῶν κεράμων ἕνα πέμψαι φίλῳ συνήθει κατὰ χρείαν ἐπιδημοῦντι, τότε ᾐσθόμην ὅτι καὶ δόλον εἶχεν ἐν ἀπορρήτῳ· καὶ τὸν πέμψαντα ὡς ἀληθῶς ἐμιμεῖτο· γελοῖον δέ. ὅτι καὶ σημεῖον ἐπέθηκας αὐτοῖς, οἷον εὐφραίνει τὸν ἀπαιτούμενον· οὐδὲν δὲ ἄπειρος ἐπεπόνθειν ἄν, πολλάκις ἐφεὶς ἐπείσθη διαμαρτών.

## Τῷ αὐτῷ.

ο Οἱ κέραμοί σου κενοὶ μὲν ἦσαν ἀρθέντες· ὄξος δὲ ἔφερον αὐχοῦντες. οὕτω καὶ ὀλίγον ἐν αὐτοῖς ὑπῆρχε καὶ πονηρόν· ὥστε εἰ ταῦτα τιμᾷς, ἄμεινον ἂν εἴης ἀγνώμων.

Τῷ ἄρχοντι ἱεραπόλεως.

ε Ι τοὺς ἀρχὰς ἐν δόξῃ ὡς μετιόντες ὥσπερ ὑμεῖς, πλέον τοῦ γε ἐπιτηδεύουσι. φίλους ποιεῖσθαι πλείους ἐν ταῖς ἀρχαῖς. γινώμεθα τοίνυν φίλοι τῆς μεγαλοπρεπείας τῆς σῆς, ἐγώ τε καὶ ὁ τὴν ἐπιστολὴν ὑμῖν ἐπιδιδούς. ἐγὼ μὲν ὡς γεγραφώς. ὁ δὲ ἑταῖρος μάλιστα ὧν βούλεται ῥαδίως ἐπιτυχών.

Εὐσεβίῳ.

α Ρα μὴ φαινώμεθα βραδὺς εἰς ἐπιστολήν, ἢ τοὐναντίον καὶ ὀχληρός. ἀλλ' εἰ καὶ τὸ δεύτερον δοκοίην, αὐτὸς αἴτιος ἐπιστέλλων. ὅτι μετέωρος ἡ χάρις ἐστὶ τὴν ἐμὴν ἀπόκρισιν περιμένουσα.

Θεοδώρῳ.

ε Ιθε ἦν καὶ πυθέσθαι, ὅπως ἡμῖν τοῦ σώματος ἔχεις. ἐπεὶ δέος τοῦτο καὶ μόνον ἐνοχλεῖ. τὰ γὰρ τῆς ψυχῆς ἀμείνω καὶ θεόπερα πέφυκε. καὶ δεξαίμην οὕτως ἔχειν ἑτέρους. ὥστε δεδαιμονέστερον ἐντεῦθεν εἶναι τὸν χρόνον. γράφε οὖν ὁσάκις ἂν δύνῃς· τό τε νόσημα, καὶ πότε καὶ ὅσον νενίκηται. καὶ ὅπως παρεχώρησε ταῖς ἡμετέραις εὐχαῖς. τὸν δὲ ἑταῖρον Ἀρχέλαον ἐκ τῶν ὑμετέρων γραμμάτων ἔχω διδόναι ἀεὶ μεγάλην σύστασιν ἡγησάμενος ἐπιστολὴν ἀνδρὸς ἀγαθοῦ.

Ιλασίῳ.

α Ρα μὴ λέληθα ἐμαυτὸν εἰς παροιμίαν ἐλθών, καὶ γέγονα λύκος χανὼν διὰ κενῆς; καὶ τίς ἂν πιστεύσειε ταύτην ἐπ' ἐμὲ τὴν παροιμίαν ἰσχύειν. ὅτε ὑμεῖς αὐτὴν προσδοκίαν ἐποιήσατε, συζεύξαντες τὰ ἆθλα τοῖς ἐπιτάγμασιν. εἰ μὲν οὖν ὡς ἐχρῆν ἠγωνισάμεθα, ἆθλα μὴ παραιτεῖσθαι τὴν δωρεάν. εἰ δ' ἧττον διελέξαμεν ἢ νομίζομεν

ἄλλου χεῖρον ἢ βουλήθημεν ἢ προεφάνημεν. βουλήσει δὲ ἴσως ἅπαντα κρίνεται. ἀπόδοτε τὴν σύνταξιν ἀνθρώποις ἢ δυναμένοις ἢ βουλομένοις. καὶ δότε πρόφασιν ὑμνῆσαι τὴν φιλότιμον καὶ σοφωτάτην ἀρχήν. αὐτοὶ πρὸς ἕκαστον ὑφηγούμενοι τῶν πεπραγμένων.

Ἀζυγίῳ.

δ Ὀσμοῖ τὰς ὑποσχέσεις ἢ μᾶλλον ἀπόδος. λέγω δὲ ἀπόδος, οὐ κατὰ τὸν τῶν ὑποσχέσεων νόμον, ἀλλ' ὅτι τὸ θεραπεύειν ἡμᾶς, ὡς ὄφλημα σαυτὸν ἀπαιτεῖς. καὶ περὶ ὧν ἤδη τυχεῖν δικαιοῖς ἐπὶ τοῖς ἄλλον ἀκριβῶς. ὡς ὅτι τὸ θέρος ἐκδιδῶσιν ἢ θαρρεῖν δεῖ ἡμᾶς ἢ δραμεῖν πρὸς ἡμᾶς.

Ῥωμύλῳ.

ε Καὶ μὲν δὴ ἤδη γραφείσης ἐπιστολῆς, καὶ περιεργὸν εἶναί σε διὰ τῆς προθυμίας ἐνόμισα. χρόνου δὲ ἐγγενομένου καὶ πεμφθέντος οὐδενὸς ὧν προσεδόκησα, γράφειν εὐθὺς ἐγκλήματα πικρὰ ἠπιστάμην. παρακαλῶ δὲ ἔτι, σπεῦσον. ἢ πάντως ἐλπὶς τὰ ἐγκλήματα.

Φιλοξένῳ.

ϛ Οὔτε εἰ παλαιὸς ἐραστής. τοῦτο ῥήτωρ δεξιός, οὔτε πρότερος οὔτε δεύτερος ἐπιστέλλειν. καίτοι φιλοῦντός γε τὴν καὶ ἱκανοῦ λέγειν. μαρτυρῶ παρ' ἡμῖν τὸ πέμπειν ἐπιστολάς. τί οὖν τοῦτο ποιεῖς. ἀποκνεῖς γράφων. εἰ μὴ καὶ τοῦτό με ζημιοῖς. ἀλλ' ἐὰν ταῦθ' οὕτω καὶ σεαυτὸν ἀδικεῖς καὶ ἐμέ. σεαυτὸν μέν, κυρίαν ὢν κατὰ σοῦ τὴν αἰτίαν. ἐμὲ δὲ μὴ δὲ ὑπὲρ ὧν ἠπιστάμην ἀπολογίας ἀξιῶν.

Πλακιδιανῷ.

ζ Δὴ σοι γράψας ἐπιθυμοῦντι, τὸ μὲν ἡδέως δεχθῆναι τὴν ἐπιστολὴν παρὰ τοῦ κομίσαντος ἔμαθον. παρὰ σοῦ δὲ οὐδέν· ὥστε δέξων μὲν οὐκ ἀπεικάζω, συμβουλεύεσθαι ἐπὶ μὴ γράφειν. ἐπεὶ

δὲ καὶ

δὲ καὶ ὁ νῦν αἰτήσεις ἀπὸ τῶν ὁμοίων ὧνπερ καὶ ὁ πρότερος ἔτει πάλιν συγγράφω. τὴν δὲ ἐγκαλοῦσαν οὐ πέμψω.

Εὐτοκίῳ.

π Ρὸς σεαυτοῦ καὶ τῆς παλαιᾶς φιλίας ἡμῶν, οὐ δοκῶ σοι γράφων, αἰσχυντέον; αὐτῷ μὴ δὲ εἰδέναι μου βουλομένῳ τὰ γράμματα, ἀλλ' ἔτι μὲν ἐλπίζων μεταθήσειν ὑμᾶς καὶ ἐπὶ τοῦ παρόντος ἐπεστάλκειν. ἀποτυχὼν δὲ νῦν αὖθις, ἀναιδὴς οὐκ λήθομαι. τοῦ Μοδέστου δὲ πολύν τινα ἔπαινον ὑπὲρ σοῦ κινοῦντος παρὰ πολλοῖς, ἀναγκαῖον ἡγησάμην καὶ δι' αὐτοῦ, καθάπερ διὰ τῆς ἐπιστολῆς, ὑμῖν ὁμιλῆσαι.

Λεοντίῳ.

ε Ιχον μέν τινα λύπην ἄχρι τοῦ παρόντος καὶ δικαίαν πρὸς σέ. τὴν δὲ αἰτίαν ἀγνοεῖς. εἰ δὲ ἀγνοεῖς, ἀναμνήσω. γεωργοῖς ἐμοῖς ἐβοήθεις ἀδικοῦσιν ἐμέ. παυσάμενος οὖν τοῦ λυπεῖν, ἐπανάγαγοις αὖθις εἰς τὸ φιλεῖν. φιλήσω δὲ ἔτι μᾶλλον ἐγώ, εἰ μελήσει σοι τῶν ἐμῶν ἀλλὰ μὴ τῶν ἀδικούντων ἐμέ.

Δημοφίλῳ.

ἤ Ρχε μὲν εὐτυχῶς. εὐτυχήσεις δὲ ὢν ἀγαθός. ἐπεὶ καὶ φιλεῖ τὸ θεῖον τοὺς ἀγαθούς. τὸ δὲ μεμνῆσθαι τῶν φίλων, εἴπερ ἄλλο τι, καὶ τοῦτο βέβαιον παρὰ σοί. ἀλλὰ τῶν πραγμάτων ἀφελκόντων εἰς λήθην, ἔδωκα διπλῆν ἀνάμνησιν ὧν παρεκάλεσα καὶ τὸν ἐπιδιδόντα καὶ τὸ διδόμενον.

Ἀραβιανῷ.

μ Μεθ' ἐπιστολὴν γέγραπταί σοι παρ' ἐμοῦ. τὴν χάριν ἣ οὐκ αἰτῶ μόνος ἀλλὰ πολλοὶ δὲ χρῇ μετ' ἐμοῦ. σκόπησον οὖν. ὅπως μήτε τὴν ἐπιστολὴν τοῖς αἰτήσασι καταλίπωμεν μήτε οἱ δεηθέντες ὑμῶν ἀποτύχωσι δι' ἐμοῦ.

## Ἀμμωνίῳ.

α Ν… ἐφ᾽ ὅτῳ ἡ καὶ παρὰ σοῦ ὄντως αὐτῆς μαρτυρουμένη, τὸν ἀναγνώστην Οὐλπιανὸν, εὐτυχησάτω τὸ μέγεθος τὸ σόν. καὶ δι᾽ ὑμᾶς μὲν ὡς ἡγουμένους δεξιῶς, δι᾽ ἐμὲ δὲ ὡς ἱκανὸν εἶναι νομίζοντας περὶ ὧν τοῖς ἄλλοις περὶ ὑμῖν. ἡ δὲ τῆς εὐεργεσίας αἰτία, φιλοπράγμονος ἀντιδίκου παρενοχλοῦντος ἐπηρεάζειν ἐλευθερῶσαι.

## Ἀνθεμίῳ.

ο Ὑπομνήσομαι γράφων ἕως ἂν ἀπείπωμεν, ἐγὼ μὲν γράφων, αὐτὸς δὲ ἐνοχλούμενος· ὅπως ἂν καὶ μάθω βεβαίως εἰ δεῖ με περὶ ὧν ἐδεήθην τὰς ἐλπίδας τηρεῖν, ἢ μᾶλλον ἀπολαβεῖν. Νείλῳ.

σ Υἱὸν μὲν ἐλύπεις ἀποδημῶν, δὲ νῦν ἀδικεῖς. τῆς γὰρ ἐν τῇ συνουσίᾳ τέρψεως ἀποστερεῖς. ἀλλὰ μὴν καὶ γράφων ἐγένου βαρύτερος. τὸ γὰρ ἡδὺ τῶν ἐλπίδων ἀνῄρηκας. ὥστε οὐκ ἂν ἔχοις εἰπεῖν, ὥστε ἡμᾶς οὐκ ἠνίασας.

## Καλλιοπίῳ.

μ Εἶζόν με λυπεῖς, ὧν ὠφέλησας οὐ γράφων ἐξ ὅτου ὠφέλησας. ὥστε εἰ τὸ τυχεῖν ἀγαθῶν, τοὺς ποθουμένους παρασκευάζει σιγᾶν, κινδυνεύω μᾶλλον ἀγαπᾶν τὴν βραδυτῆτα τοῦ τάχους, εἰ μέλλοιεν συνεστῶτα φοιτηταὶ, διότι μὴ ταχὺ χαρίζονται, συχνότερον τοῖς ἐπιστέλλειν. τοῦτο μὲν οὖν ὦ μουσικώτατε μὴ παύσῃ ποιῶν. μὴ δὲ ἀφαιροῦμε τοῖς ἐμοῖς καρποῖς ἐντυγχάνειν, ὑμετέρας τῆς σολοικίας. ἃ δὲ ὑπὲρ ἐμοῦ πρακτέον, ἀφίημι τῷ θεῷ καὶ ὑμῖν. ὡς ἂν μὴ δοκοίην ἀπειρόκαλος εἶναι. περὶ τῶν αὐτῶν πολλάκις διαλεγόμενος.

## Σεβήρῳ.

Σευήρῳ.

ό Υτε πατὴρ οἷός τε εἶναι μισῆσαι τοὺς ἐξ αὐτοῦ φύντας, οὐδέποτε, καὶ παιδευτὴς ἀμείνων ἔοικεν εἶναι πατρός. ὁ μὲν γὰρ ἐν ἡδονῆς τύχῃ παιδοποιεῖται. ὁ δὲ ἐν προαιρέσει τέχνης, ἀγαθοὺς εἶναι παρασκευάζει. μᾶλλον οὖν θαρρῶν ὡς ἀγαπῶσι κατὰ τὸν ἀμείνω πατέρα τὸν τῆς τέχνης. καὶ μηδέποτε μικροψυχίας ἄλλως. ἔστι γὰρ ἃ καὶ γίνονται. ἐπεὶ καὶ πατέρες οἱ τῆς φύσεως, ἐνίοτε παραλυποῦσι τοὺς παῖδας, ἀλλ' οὐκ ἔτι καὶ πολεμοῦσιν ἀλλήλοις.

Φιλοξένῳ.

ξ̄ Υ πρᾶττε φίλων ἄριστε καὶ ῥητόρων. οὕτω γὰρ ἐγὼ διατελῶ περὶ σοῦ, τὰ μὲν εὐχόμενος, τὰ δὲ προσδοκῶν. καὶ σὺ μὲν ὅτι μέμνησαι φίλων καὶ ἀποδείξεις ὑπὲρ ἡμῶν, εἰσὶν οἱ δεῦρο ταῦτα συνεχῶς ἀπαγγέλλοντες. προστίθει δὲ τούτοις τὸ λεγόμενον καὶ δίδου συνεχῶς ὑμετέραις ἐντυγχάνειν ἐπιστολαῖς.

Ευσταθίῳ.

ό Γράφων ἐγὼ τὴν ἐπιστολὴν, φίλος ὑμῖν. ὁ κομίζων φίλος ἐμοὶ γενόμενος γίνεται καὶ σοὶ δι' ἐμέ. καὶ συνῳθηκα αὐτοῦθε, ποδαπός τις εἰμί. φίλους εἰσάγων τοῖς φίλοις. ἐφ' οἷς δὲ ἥκει καὶ ὅπως αὐτὸν χρήδια θεῖναι, τὰς μὲν αἰτίας αὐτὸς διηγήσεται. πρὸς δὲ τὸ δεύτερον ὑμεῖς ὑφηγήσασθε καὶ φιλοῦντες ἅμα καὶ φρονοῦντες ἱκανῶς.

Ιωάννῃ.

ά Εἰ μὲν φόβος ἠγεῖτο μοι τῆς πρὸς ὑμᾶς ἐπιστολῆς. θεραπεύει δὲ αὐτὸν ἡ πρᾳότης ἡ παρ' ὑμῖν. γράφω τοιγαροῦν τῆς εἰς ὑμᾶς ἐλπίδος ἀντεχόμενος, ὥσπερ οἱ κυβερνῆται βλέποντες εἰς τοὺς ἀπευθύνοντας τῶν ἀστέρων. ἐπεὶ οὖν καὶ ὑμεῖς οὕτω καταλάμπετε, μένετε καὶ οὕτως εὐεργετοῦντες.

Εὐσταθίῳ κομενταρισίῳ.

κ Αἱ προθυμίαι καὶ προσδοκίαι, οὐ μικρὰ ταῦθ' ἡμῖν. πρῶτον μὲν ἰδεῖν ὑμᾶς. ἔπειτα δὲ καὶ εἰπεῖν εἰς ὑμᾶς. ἀλλὰ τὸ μὲν πρότερον ἐν ὑμῖν. τὸ δὲ δεύτερον ἐν τῇ πόλει κἀμοί. μᾶλλον δὲ καὶ τοῦτο ἐν ὑμῖν. οὐ γὰρ δὴ μικρὸν κώλυμα εἰς πανήγυριν, πόλις ἀθυμοῦσα. καὶ πενθοῦντες μετριάζειν οὐκ ἀνεχόμενοι.

Ἐλπιδίῳ.

μ Ἰα πρὸς ἡμᾶς ἐπιστολὴ παρὰ σοῦ, παρ' ἐμοῦ δὲ ἔπος ὑμῖν ἀποδέδωκεν, αὕτη τετάρτη. πράττε τοίνυν καλῶς καὶ μέμνησο τῶν φίλων. κἄν τι σε δεξιὸν περιστῇ, γράφε πρὸς ἐρῶντα μαθεῖν.

Πλακιδιανῷ.

ο Πρότερον τις ἔδωκας σοι δι' ἐμέ, νῦν ἐμὲ μέμφεται διὰ σιλῦσιν οὐ τὸ χρέος. ἵνα μὴ κἀγώ σοι μέμψωμαι δι' ἐκεῖνον.

Σαλβιανῷ.

τ Ἃς ἐπιστολὰς οἱ τὴν ἀρχὴν εὑρόντες, δοκῶ μοι διὰ πρόσρησιν εὗρον. πραγμάτων δὲ ἴσως ἐγγινομένων, παρηκολούθηκέ τι καὶ νεώτερον ὑπὲρ αὐτῶν ἐν ταῖς ἐπιστολαῖς διαλέγεσθαι. οὐκοῦν εἰ μὲν ἐμπέσοι πράγματα, ἡ μακρολογεῖν ἀνάγκη. τούτων δὲ ἀπόντων πῶς αὐτῆς χαρίσαιτό σοι μακροτέρας ὁμιλίας ἐρῶντι. καλῶ γὰρ ὁμιλίαν καὶ τὴν ἐν τοῖς γράμμασιν. οὐδὲν πολὺ συνουσιῶν διαφέρουσαν.

Ἱερίῳ.

ξ Ἴσως ὦ σοφώτατοι, τῶν ἐν τῇ γῇ, χρήματα μὲν αἰτήσας ἔλαβον ἂν καὶ ῥᾳδίως. ἐπιστολὴν δὲ ὑμετέραν ἰδεῖν, πολλάκις μὲν εὐξάμενος, πολλάκις δὲ ἱκετεύσας, ἀνάξιος εἶναι τοῦ τυχεῖν ὑποπτεύομαι, καίτοι φιλῶ μὲν ὡς ὀλίγοι, τιμῶ δὲ ὑπὲρ τοὺς ὀλίγους.

ἴσω

ε Γὼ καὶ σοῦ κήδομαι καὶ Τιμοθέου. σοῦ μὲν ὡς μὴ ἀδικοίης Τιμοθέῳ, ὃ δὲ ὡς μὴ ἀδικοῖτο. εἰ δὲ καὶ σοὶ δοκεῖ μετὰ Πλάτωνος τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι μεῖζον εἶναι κακὸν, ἔοικα σοὶ μᾶλλον ἢ τούτῳ χαρίζεσθαι, δεόμενος ὑπὲρ αὐτοῦ πραττομένου δίκας ὑπὲρ ὧν οὐκ ἐξήμαρτε.

Σεργίῳ.

π Ολλῆς ἐνέπλησάς με φροντίδος κομίσας τις περὶ ὑμῶν ἀπαγγελίαν ἐπεχείρει. καίτοι τὰ βελτίω προσεδεχόμην ἀκούειν. πέμψον οὖν δεύτερον ἐπιστολὴν παραμυθοῦν τί μοι σου διατεθῆναι τοῖς γραφομένοις.

Λεωνίδᾳ.

ε Ρρωσο. τοῦτο γὰρ ἐγὼ δὲ συνεύχομαί σοι, καὶ ἀκοῦσαι ποθῶ περὶ σοῦ. καὶ ὅτι τοῦτο δεῖ παρ' ὑμῖν ἐπιστείλῃς, οὐ μικρὰν ἔχειν δωρεὰν ἡγοῦμαι παρὰ τῆς τύχης.

Καλλιόπῃ.

τ Οἷς σοῖς ἁπάντων ἀεὶ καὶ ὅπως ἔχεις ἐρωτῶ· δεῖ ἔτου δέον του μὴ σιγᾶν ἀπαιτῶ. λεγόντων δὲ ἀμφότερα, σὲ μὲν ὑπονόησι, αὐτοῖς δὲ χαρίζειν οὐδενὸς, χαίρων ἐγὼ δικαίως ἀπέρχομαι.

Σεργίῳ.

σ Φόδρα μὲν σου περιεπτυξάμην τὰ γράμματα φιλοσοφοῦντα καὶ παραινοῦντα. γίνωσκε δὲ ὡς οὐδὲν οὔτε τῶν καιρῶν οὔτε τοῦ συμφέροντος ἰσχυρότερον.

Μοτερνίῳ.

κ Αἱ βραχέα τῶν μετ' ἔθος σου γράφων, ὅτι φιλῶ καὶ μέμνημαι δείκνυμι. ποιῶν δὲ καὶ αὐτὸς ὡς περ ἐγὼ, τοῦτο δείξεις ὥσπερ ἐγώ.

Αἰγυπτίῳ.

ε Ιδε καὶ τὰς ὑπερηφάνους τῶν ἑταιρῶν οὕτω κιούσας καὶ πρὶν τοῦ ἐπιπατεῖν βουλομένη τοῖς ἐρασταῖς· ἀλλ' ἐκεῖναι μὲν ἴσως καὶ θεραπεύειν ὅταν κελεύωσι. σὺ δὲ Λαΐδα τινὰ κορινθίαν ἀπομιμῇ, καλοῦμεν μὲν ἐπίμως, ὑπακούων δὲ οὐδὲ μόλις.

τ Ὸν οἶνον τὸν κνίδιον φασὶν οὕτω πολὺ ἔχειν ὑμᾶς, ὥστε καὶ ἐπιγραφὰς αὐτὸν διατίθεσθαι. ἡμεῖς δὲ οἱ τὴν σύρον οἰκοῦντες, ἄλλας μὲν εὐτυχοῦμεν ἀμπέλους. τὰς δὲ παρ' ὑμῖν μακαρίζομεν, οὕτως εὐδαίμονα. ἕτερον, ὅτι τὸ ἀναγκαιότερον. πέμψατε οὖν μονοκεράμους ἀρκοῦντας εἰς ἔτος, ληψόμενοι τὴν τιμὴν ἢ χάριν ἀντὶ χάριτος ἀπαιτήσοντες.

Ἀβραμίῳ ἐπισκόπῳ.

ἔ δει πρὸς ἄνδρας ἄρτι τοὺς μέλλοντας γράφειν, καὶ χρόνου μῆκος παραζητεῖν, καὶ δύναμιν λόγων ἀξίαν εὑρεῖν. ἁμάρτημα γὰρ οὐ φορητὸν, τοιούτοις πράγμασιν ἐγχειρεῖν. ἀφ' ὧν καὶ τὰ τῆς προπετείας ἐλέγχεται, καὶ τὰ τῆς ἀρετῆς ἐκ τῆς μικρολογίας ὑβρίζεται. τοῦτο τοίνυν ἡμῖν τὴν ἀναβολὴν πεποίηκε, καὶ τὸ δοκοῦν ἔγκλημα περιέθηκε. φίλων γὰρ ἐδόξαμεν ἀμνημονεῖν πρὸς αὐτοὺς μηδὲ γράμμασι φανέντες. γνοὺς τοίνυν τὴν αἰτίαν καὶ σκοπῶν τὴν φιλίαν, μὴ παντελῶς τὴν ἐμὴν ἀβέβαιον νομίσῃς διάνοιαν. οὐδὲ γὰρ οὐδὲ αὐτὸς οἶμαι, τὴν τοιαύτην κακίζειν ἐπείγει προαίρεσιν, ἥτις μικρᾶς γοῦν ἀσφαλείας πεφρόντικεν. εὔχου τοίνυν περὶ ἡμῶν. τοῦτο γὰρ κἀμοὶ ποθεινὸν καὶ σωτήριον, καὶ σοὶ προσφιλὲς ἅμα καὶ νόμιμον.

Διονυσίῳ. Ἐπισκόπῳ.

ἔ Λαβόν σου τὴν ἐπιστολὴν ὑγιαίνων. ἀντεπιστέλλω δέ σοι νοσῶν. νοσῶ δὲ ἐκεῖνα τὰ εἰωθότα. ἐν οἷς ἀλγήματα τά τε οὐ φορητὰ τῶν ποδῶν, καὶ τὰ ἀπὸ τοῦ μὴ εἶναι καθεύδειν κακά. καὶ τὸ ἐρᾶν θανάτου. πρὸς ταῦτα εὐχῶν δεῖ τῶν ὑμετέρων. εὐχῶν δὲ λέγω τῶν ἐθάδων, τοῦ δυσωπεῖν τὸν θεόν, ὡς ἐγὼ πολλάκις ἤδη καὶ

τὰ

τὰ κοινὰ καὶ τὰ ἴδια μάτην ἐλέξαμεν· τοιοῦτον οὐδὲν ἁμαρτίαι βαρεῖαι τε καὶ πολλαὶ εἰσέτι παρ᾽ ὑμῖν εὕρηνται γεγονὸς ὀδύναις τοσαῦ εἰ καὶ μὴ τὸ πᾶν ἀνελεῖν τῶν πόνων, ἀλλ᾽ ἀφαιρεῖν μέρος, πέμπε τὰ χε-σε· καὶ βοήθει φίλου σώματι. Ευσεβίῳ.

κ Αἱ τῶν ἵππων λέγουσι τοὺς ἀρίστους, ἐπειδὰν εἰς ἀγῶνα ἔλθωσιν, ἐνιαυτὰ τελοῦ τοῖα βελτίους ἢ τὰ πρῶτα τῶν δρόμων. ὁ δὲ καλὸς Ἀκυλῖνος, φιλοτιμότερος οὐδὲν ἐν τοῖς πόνοις νῦν μᾶλλον, ἢ πάλαι. ὁ δὲ προθυμεῖται μὲν οὐδὲν ἧττον ἀγνοῆσαι παιδείας. τοὺς δὲ περὶ αὐτοῦ παλαιοὺς ἐπείγει ἐπιδεῖξαι μακρούς. αἱ τοιαῦται δὲ τῶν νέων ἐπιθυμίαι, βιβλίων ἐπιδέονται πλήθους· τοῦτο δὲ οὐκ ἂν γένοιτο εἰ μὴ παρείη χρυσός.

Ιουλιανός.

ε Πεδήμησέ τις ἡμῖν ἐκ τῆς ὑμετέρας· καὶ τὸν μὲν ἔπαιξε μετὰ ἐπὶ λόγους. ἐγὼ δὲ ἰδὼν ἄνδρα λίαν εὐπρεπῆ καὶ ὧν αὐτίκα τοὺς ἀπαίτους ἀγόμενον, ἠρώτων τί τοὔνομα εἴη τῷ ξένῳ. τῶν παρόντων δέ τις εἰδέναι δοκῶν, Μακάριος ἔφησεν. ἐγὼ δὲ ὡς ἤκουσα τό, Μακάριος, πάνυ γε ἔφην, εἴπερ οὐκ ἐπεδήμησεν.

Τῷ αὐτῷ.

ε Πέστειλάσοι γαμοῦντι· καὶ συγγνώμην ἔχω μετὰ τὸν γάμον σιγῶντι. οὐδὲ γάρ ἐστιν ὡς ἔοικεν οὐδενὶ παρέργια, διαμένω γυναικείοις ἀπάταις. Ρούφῳ σχολαστικῷ.

λ Ὅσος ἐστὶ παλαιὸς μὴ ῥᾳδίως κίλικας ἀληθεύειν· καὶ δὲ δυνάμην κινίαν ἰδὼν, ἐκοινώνησας αὐτῇ τῶν προσώπων· τοῦ γὰρ τὰ γράμματα. τοῦ δὲ τὸ συνεχῶς ἐπιστέλλειν, ἡ οὐχ αὕτη μὲν ἦν ἡ ὑπόσχεσις, μεμένηκε δὲ λόγος ὑπόσχεσις. ἐμὲ μὲν λυπεῖσθαι ποιῶν· σὲ δὲ κίλικα δεικνύων.

# ΛΥΣΙΔΟΣ ΠΥΘΑΓΟΡΕΙΟΥ

Ἐπιστολὴ πρὸς Ἵππαρχον.

Ἐπεὶ τοῦ Πυθαγόρου ἐξ ἀνθρώπων ἀφανισθέντος, οὐδέποκα ᾤμαν διασκεδασθήσεσθαι τὸ ἄθροισμα τῶν ὁμιλητᾶν, ἐς τὸν ἐμαυτοῦ θυμὸν ἐβαλόμαν. ἐπεὶ δὲ παρ' ἐλπίδας ὥσπερ ἀπὸ ναυαγίου μεγάλας φορτίδος ἐν ἐρήμῳ πελάγει λυθείσας, ἄλλος ἄλλῃ φερόμενοι διασπειρόμεθα, ὅσιον καὶ μνάσθη τῶν τήνου θείων καὶ σεμνῶν παραγγελμάτων, μὴ δὲ κοινὰ ποιεῖσθαι τὰ σοφίας ἀγαθὰ, τοῖς μὴ δ' ὄναρ τὰς ψυχὰς κεκαθαρμένοις. οὐ γὰρ θέμις ὀρέγειν τοῖς ἁπάντεσσι τὰ μετὰ τοσούτων ἀγώνων περιαιρεθέντα. οὐδὲ γὰρ βεβάλοις τὰ ταῖν ἐλευσινίαιν θεαῖν μυστήρια διηγεῖσθαι. κατ' ἴσον τοίνυν ἄδικοι καὶ ἀσεβέες ἀμφότεροι οἱ ταῦτα πράξαντες. καλὸν δ' ἀναλογίζεσθαι ὅσον χρόνου μᾶκος διαγαγόμεν ἐκμετρέοντες, ἀπέρρυπτον ὁμιλεῖν τῶν ἄλλων τοῖς ἐν τοῖς στάθεσιν ἁμῶν ἐγκεκολαμμένους. ἕως ποτὲ διελθόντων ἐτέων, ἐγενόμεθα δεκτικοὶ τῶν τήνου λόγων. καθάπερ γὰρ οἱ βαφέες προεκκαθάραντες ἔστυψαν τὰ βαψούμενα τῶν ἱματίων, ὅπως ἀνέκπλυτον τὰν βαφὰν ἀναπίωντι, καὶ μηδέποκα γενησομέναν ἐξίτηλον, τὸν αὐτὸν ὁ δαιμόνιος τρόπον ἀνὴρ, παρεσκεύαζε τὼς φιλοσοφίας ἐρασθέντας, ὅπως μὴ διαψευσθῇ περί τινα τῶν ἐλπιζομένων ἐσεῖσθαι καλῶν κἀγαθῶν. οὐ γὰρ κιβδήλους ἐνεπορεύετο λόγους. οὐδὲ πάγας οἷα πολλοὶ τῶν σοφιστῶν τὼς νέους ἐμπλέκοντι, ποτ' οὐδὲν κρήγυον σχολάζοντες. ἀλλὰ θείων τε καὶ ἀνθρωπίνων πραγμάτων ἦν ἐπιστάμων. οἱ δὲ, πρόσχημα

ποιού

πειρασάμενοι τὴν Ἰησοῦ διδασκαλίαν, πολλὰ καὶ δεινὰ δρῶσι τι σωφρονίζοντι; οὐ κατὰ κόσμον, οὐδὲ ὡς ἔτυχε τὼς νέως. τοιγαροῦν χαλεπούς τε καὶ προαγεῖς ἀπεργάζονται τοὺς ἀκούοντας. ἐγκιρνᾶντι γὰρ ἤθεσι τεταραγμένοις τε καὶ θολεροῖς θεωρήματα καὶ λόγους ἐλευθέρους. καθάπερ εἴ τις εἰς φρέαρ βαθὺ βορβόρου πλῆρες ἐγχέας καθαρὸν καὶ διειδὲς ὕδωρ, τόν τε βόρβορον ἐτάραξε καὶ τὸ ὕδωρ ἠφάνισεν, ὁ αὐτὸς δὲ τρόπος τῶν οὕτω διδασκόντων τε καὶ διδασκομένων. πυκιναὶ γὰρ καὶ βαθεῖαι λόχμαι περὶ τὰς φρένας καὶ τὴν καρδίαν ἐμπεφύκαντι τῶν μὴ καθαρῶς ὀργιασθέντων, πᾶν τὸ ἅμερον καὶ πρᾶον καὶ λογιστικὸν ἐπισκιάζουσαι προφανῶς μὲν αὐξηθέν. ἐγκαταδύναντι δὲ τῷ δάσει τούτῳ παντοῖαι κακότητες ἐννεμόμεναι καὶ κωλύουσαι καὶ μηδαμῶς ἐῶσαι προκύψαι τὸν λόγον. ὀνομάξαιμι δὲ πρῶτον ἐπελθὼν αὐτῶν τὰς ματέρας, ἀκρασίαν τε καὶ πλεονεξίαν. ἄμφω δὲ πολύγονοι πεφύκαντι. τᾶς μὲν οὖν ἀκρασίας ἐξεβλάστησαν ἄθεσμοι καὶ μέθαι καὶ φθοραί. καὶ παρὰ φύσιν ἡδοναί. καὶ σφοδραί τινες ὁρμαὶ μέχρι θανάτων καὶ κρημνῶν ἐκδιώκουσαι· ἤδη γάρ τινας ἠνάγκασαν ἐπιθυμίαι, μήτε ματέρων μήτε θυγατέρων ἀποσχέσθαι. καὶ δὴ παρωσάμεναι νόμον καὶ πατέρα καὶ πόλιν καὶ τύραννον, ἐκπεριαγαγοῦσαι τοὺς ἀγκῶνας, ὡς αἰχμαλώτους ἐπὶ τὸν ἔσχατον ὄλεθρον μετὰ βίας ἄγουσαι κατέστασαν. Τᾶς δὲ πλεονεξίας ἐκπεφύκαντι, ἁρπαγαί τε καὶ πατροκτονίαι ἱεροσυλίαι. φαρμακεῖαι. καὶ ὅσα τούτων ἀδελφά. δεῖ ὦν τὸ πρᾶτον τὰς ὕλας, τῶς, ἐνδιαιτῆται ταῦτα τὰ πάθη, πυρὶ καὶ σιδάρῳ καὶ πάσαις μαχαναῖς ἐκκαθάραντας, καὶ ῥυσαμένους τὸν λογισμὸν ἐλεύθερον τῶν τοσούτων παθέων, τοτηνίκα φυτεύοντά τι χρηστὸν αὐτῷ παραδιδόμεν. Ἃπερ ἔμαθες μὲν Ἵππαρχε μετὰ σπου-

δᾶς, οὐκ ἐτήρησας δὲ τῶ γεύεσθαι γευσάμενος σικελικᾶς πολυτελείας· ἃς οὐ χρῆν τυ γεύεσθαι δεύτερον. λέγοντι δὲ πολλοί σε καὶ δαμοσίᾳ φιλοσοφέν· ὅπερ ἀπαξίωσε Πυθαγόρας. ὅς γε δὴ Δαμοῖ τᾷ αὐτοῦ θυγατρὶ τὰ ὑπομνάματα παρακαταθέμενος, ἐπέσκαψε μηδενὶ τῶν ἐκτὸς τᾶς οἰκίας παραδιδόμεν. ἁ δὲ δυναμένα πολλῶν χρημάτων ἀποδόσθαι τὼς λόγως, οὐκ ἐβουλάθη. πενίαν δὲ καὶ τὰς τῶ πατρὸς ἐπισκάψιας ἐνόμιζε χρυσῶ τιμιωτέρας ἦμεν. φαντὶ δὲ ὅτι καὶ Δαμὼ θνάσκουσα Βιταλίᾳ τᾷ ἑαυτᾶς θυγατρὶ τὰν αὐτὰν ἐπισολὰν ἀπέσφαλεν. ἄμμες δ' ἄρσενες ἐόντες, οὐ γνησίως αὐτῷ ποτιφερόμεθα. ἀλλὰ παραβάται τᾶν ὁμολογιᾶν γινόμεθα. εἰ μὲν οὖν μεταβάλοιο, χαρησοῦμαι· εἰ δὲ μή, τέθνακάς μοι.

Ἐπιστολὴ Ἀμάσιδος βασιλέως αἰγύπτου πρὸς Πολυκράτην ἄρχοντα σάμου φίλον αὐτοῦ τὰ πάντα εὐτυχοῦντα.

ά Μασις Πολυκράτει ὧδε λέγει. ἡδὺ μὲν πυνθάνεσθαι ἄνδρα φίλον καὶ ξεῖνον εὖ πρήσσοντα. ἐμοὶ δὲ αἱ σαὶ μεγάλαι εὐτυχίαι οὐκ ἀρέσκουσι, τὸ θεῖον ἐπισταμένῳ, ὡς ἔστι φθονερόν, καί κως βούλομαι καὶ αὐτὸς καὶ τῶν ἂν κήδωμαι, τὸ μέν τι εὐτυχέειν τῶν πρηγμάτων, τὸ δὲ προσπταίειν. καὶ οὕτω διαφέρειν τὸν αἰῶνα ἐναλλὰξ πρήσσων ἢ εὐτυχέειν τὰ πάντα. οὐδένα γάρ κω λόγῳ οἶδα ἀκούσας ὅστις ἐς τέλος οὐ κακῶς ἐτελεύτησε πρόρριζος, εὐτυχέων τὰ πάντα. σὺ νῦν ἐμοὶ πειθόμενος ποίησον πρὸς τὰς εὐτυχίας τοιάδε. φροντίσας τὸ ἂν εὕρῃς ἐόν τοι πλείστου ἄξιον, καὶ ἐπ' ᾧ σὺ ἀπολομένῳ μάλιστα τὴν ψυχὴν ἀλγήσεις, τοῦτο ἀπόβαλε οὕτως ὅκως μηκέτι ἥξει ἐς ἀνθρώπους. ἤν τε μὴ ἐναλλὰξ ἤδη τὠπὸ τούτου αἱ εὐτυχίαι τοι αὐτῇσι πάθῃσι προσπίπτωσι, τρόπῳ τῷ ἐξ ἐμεῦ ὑποκειμένῳ ἀκέο.

# ΕΠΙΣΤΟΛΗ ΜΟΥΣΩΝΙΟΥ.

## Παγκρατίδῃ.

Αἰ ἐκ τῶν ἀπαγγελλομένων ἡμῖν περὶ σοῦ, καὶ ἐξ ὧν
αὐτὸς ἐπέστειλας τοῖς υἱοῖς σου, τεκμαιρόμενος μὴ τὰ
αὐτὰ τοῖς λαώδεσιν, ἀλλὰ τὸ οἰκεῖον εἶναί σε φρονεῖν πε-
ρὶ φιλοσοφίας, προεθυμήθην κατὰ μὲν τὸ παρὸν, συνησθῆναί σοι
ἐπαινοῦντι· εἰς δὲ τὸ ἐπιὸν, συνεύξασθαι, μὴ ἐφ' ἕτερόν τι αὐτοὺς ἀπο-
κλῖναι τῇ. οὕτως δὲ ἣν ἔχουσι νῦν πρόθεσιν ἄχρι τέλους φιλοσο-
φῆσαι. ἵν' αὐτοί τε δὴ ἀπαλλάττωσι καὶ σὲ αὐτῶν ἐκ σοῦ ἔπαθον, ἀμεί-
ψασθαι δυνηθῶσι. δυεῖν γὰρ ὡς καθόλου εἰπεῖν οὐσῶν αἰτιῶν, παρ' ἃς
ἄνθρωποι ἀτάκτως καὶ ὁδῷ ζῶσι, ἐμπειρίας τε καὶ ἐγκρατείας
πῶς; ἂν δυναίμεθα ἢ πρὸς ἑαυτοὺς ἢ πρὸς ἑτέρους ποιεῖν τὰ δέον-
τα ὑπὸ ἀπειρίας ἅμα καὶ ἀκρασίας κατεχόμενοι. ἡ μὲν οὖν τούτων ἀ-
πόλυσις, ἀναγκαίως πάνυ ἔοικε ἀπορημῶν ἀπαιτεῖσθαι. πρὸς
γὰρ τὸ πεπαιδευμένως καὶ εὐσχημόνως ζῆν γεγόναμεν, τοῦ λόγου εἰς τοῦ-
το ἡμῖν καθάπερ ἐπισκόπου καὶ ἄρχοντος ὑπὸ τῆς φύσεως διδομέ-
νου. ἀπολυθῆναι μέν τοι ἀγνοίας καὶ ἀκρασίας οὐ χεῖρόν τε ἡμᾶς αὐτοὺς
τὸ ἐπιστρέψαι αὐτοὺς τῇ διὰ τοῦ λόγου ἰατρείᾳ. Προσελθοῦσα γὰρ
αὕτη καὶ τὸ προεστηκὸς ἐν ἡμῖν ἐκ τοῦ παρὰ φύσιν εἰς τὸ κατὰ φύ-
σιν ἀεὶ τρέπουσα, τὰς μὲν μοχθηρὰς τῶν κρίσεων καὶ ἐκ τῆς διαστρο-
φῆς ἐγκεχυμένας, ἐπικόπτειν καὶ ἐξαίρειν ἐκ τῆς ψυχῆς αἰεὶ πειρᾶται
τὰς δὲ ὑγιεῖς καὶ ἀκολούθους τῇ φύσει ἀντεισάγειν. ἢ ἀσθενοῦσας
ἀνακτᾶσθαι ἰσχὺν δὲ αὐτοὶ καὶ δύνασθαι προσλαβοῦσαι, ὡς χρὴ
ἡμᾶς ἐν ἅπασι τοῖς κατὰ τὸν βίον ὁδηγοῦσιν ὥστε καὶ ὁρᾶν
ἀεὶ τὰ ἐπιβάλλοντα ἡμῖν, καὶ σύμφωνα οἷς ἐδοκιμάσαμεν
πράττειν. τοιαῦτα δὲ οὐκ ἐπαγγελλομένης μόνον ἀλλὰ καὶ

παρεχούσης καὶ κατὰ τὴν ψυχὴν ἰατρείας, τίνα αὐτὶς δικαιότερον ἐπὶ τὸ βοηθεῖν τοῖς σοῖς παισὶν ἢ σὲ καλέσειεν; ἢ οὐκ εὐδαιμονεῖν μὲν αὐτοὺς προαιρῇ πατὴρ ὤν, ἑτοίμως δ᾽ ἔχεις πᾶν ὁτιοῦν ὑποστῆναι, ἵνα αὐτοὺς ὁρᾷς ἐν ἀγαθοῖς ὄντας; ἢ οὐκ ἐπὶ τούτῳ καὶ ἐγέννησας αὐτοὺς καὶ ἀνέθρεψας; οὐ τοιαῦτα δὲ διηνεκῶς σὺ περὶ αὐτῶν εὔχῃ τοῖς θεοῖς; ἀρετῆς δὲ καὶ εὐσχημοσύνης βίου ἀντιποιούμενος, οὐκ ἂν ἐθελήσειας ὁρᾶν τοὺς ἑαυτοῦ παῖδας, εὐτάκτους μὲν ἐν ἐδωδαῖς καὶ πόσεσι, κρατοῦντας δὲ τῆς ὑπὸ τὴν γαστέρα ὡς πρὸς σπορὰν μόνον τέκνων, ὅταν εὔκαιρον ᾖ, τοῖς γεννητικοῖς μέρεσι χρῆσθαι, καὶ ὀλίγῳ μὲν ὕπνῳ πρὸς ἀνάπαυσιν ἀρκουμένους, ἐσθῆτι δὲ ἀπράγμονι καὶ μὴ ἐκθηλυσμένῃ, ἀλλὰ καθαρᾷ, καὶ πρὸς τὸ ἐκ τῆς φύσεως εἰς τὸ σκέπειν ἀπαιτούμενον ἡρμοσμένῃ ἠμφιεσμένους. κίνημα δ᾽ εἶναι καὶ βάδισμα αὐτῶν αἰδοῖ καὶ φρονήσει κεχαρακτηρισμένον, ὡς μὴ αὐτίκα θαρσήσαι ἐπαιτῶν ἢ ποιῆσαί τι ἢ εἰπεῖν ἄκοσμον. ἐν ἑτοίμῳ δ᾽ εἶναι αὐτοῖς ὁπότε βουληθεῖεν καὶ δεήσειεν ὅλῳ τε τῷ σώματι καὶ παντὶ μέρει αὐτοῦ εἰς ὃ πέφυκε χρῆσθαι; οὐκ ἂν δὲ ἐθελήσειας αὐτοὺς ἐπεσκεμμένους τὰ θεῖα καὶ τὰ ἀνθρώπινα, πρὸς μὲν θεοὺς εὐσεβείᾳ καὶ ὁσιότητι κοσμεῖσθαι, πρὸς ἀνθρώπους δὲ δικαιοσύνῃ καὶ ὁσιότητι, καὶ πατρίδα μὲν γονέων προτιμᾶν καὶ αὐτῶν τοῦτο βουλησομένων τῶν γονέων εἴπερ σωφρονοῖεν, γονεῖς δὲ τῶν οἰκείων καὶ συγγενῶν, αὐτῶν δὲ τῶν γονέων τῷ πατρὶ τὸ πρεσβεῖον ἀπονέμοντας, τὸ μὲν αἰτεῖν ἢ μέμφεσθαι θάτερον αὐτῶν ἀσεβὲς ἡγεῖσθαι. τὸ δὲ ἀμείβεσθαι ὑπὲρ τῶν προεγνωσμένων εὐχαρίστῳ καὶ μνημονευούσῃ διαθέσει ἀναγκαῖον. ὡς ἂν μόνως οὕτως ἐκτίνειν δυναμένους παλαιὰς χάριτας ἐπὶ νέαις δανεισθείσας. ἑτοίμως δ᾽ ἔχοντας ὑπερμαχεῖν αὐτῶν καὶ δι᾽ αὐτοὺς εἰ δεήσειεν ἀποθνήσκειν.

ὁπότε

ὁπότε δὲ χαλεπήνειαν μὴ ῥήματα μόνον, ἀλλὰ καὶ πληγάς τε τραύ
ματα ἀπ' ὀργῆς οὐ διαθέσεως φερόμενα, πράως ἐκδέχεσθαι. οὐχ
ὑπὲρ ἑαυτῶν γε, ἀλλ' ὑπὲρ τῶν γονέων εὐλαβῶς ἔχοντας, μὴ ἐκ του
διατιθῶσι αὐτοῖς τι κακὸν πάθωσι. τί δ' οὐκ ἂν ὑπομείνειας ὥστε πει
σθῆναι περὶ αὐτῶν, ὅτι τὸν αὐτὸν μὲν οἰκήσουσι διὰ βίου οἶκον. ἑαυ
τοὺς δὲ καὶ τὰ ἑαυτῶν ἐν κοινῷ θέμενοι διατελέσουσιν ὁμονοοῦντες,
ὡς καὶ σπουδαῖς καὶ ἀνέσεσι ταῖς αὐταῖς χρῆσθαι. ἢ ταῦτα μὲν
ἐθελήσειας ἂν αὐτοῖς ὑπάρξαι. θανάτου δὲ καὶ πόνου καὶ δόξης; οὐκ
ἂν βούλοιο αὐτοὺς ὑπεράνω εἶναι; οἷς ὁ πολὺς καταδεδουλωμένος
ὅσοι ἂν ἀπίῃ τῶν δι' αὐτῶν κατισχύοντι, ὥσπερ τι ἄτιμον ἀνδράπο-
δον ἄγεταί τε καὶ φέρεται. τὸ δὲ τῇ φύσει μὲν πολύ, ῥᾳδιώτερον
τῶν προτέρων. ἐν δὲ τοῖς καθ' ἡμᾶς χρόνοις, ὑπὸ γὰρ ἐπὶ τοσοῦτα κα
τεχούσης διαστροφῆς γεγονὸς δυσχερέστερον. οὐκ ἂν εὔξαιο αὐτοῖς
ὑπάρξαι, ὥστε μὴ ἀργυρίῳ αὐτοὺς πάντα μετρεῖν καὶ αὐτοὺς μᾶλ
λον καὶ γονεῖς καὶ τέκνα ἢ χρήματα προΐεσθαι. ἀλλὰ κτήσεως μὲν αὐ
τοὺς ἐφίεσθαι ἐφ' ὅσον ἀναγκαῖον, διὰ τὰς εἰς αὐτοὺς καὶ τοὺς οἰκείους
αὐτῶν χρείας. θησαυρισμοῦ δὲ καὶ τοῦ πλείονος παρὰ τὸ ἀρκοῦν ὑ-
περφρονεῖν, ὑφ' ὧν ἰδίᾳ τε καὶ κοινῇ εἰς κακὰ ἐπάλληλα καὶ ἀνήκεστα
ἄνθρωποι ἐκτρέπονται. ἀλλὰ ταῦτα μὲν εὐκτά. οὐκ ἐπ' ἴσης δὲ τῶν
κτόν γε, τὸ ἄρχειν αὐτοὺς τὸ δικάζειν δύνασθαι κατὰ νόμους καὶ τὸ
δίκαιον, τὸ τὸ συμφωνοῦντας ἑαυτοῖς τε τὸ ἀλλήλοις τὸ ἐν οἷς πράτ
τουσι καὶ ἐν οἷς λέγουσι, τὸν μὲν βίον ἔχειν ἀεὶ προαιρησόμενον τοὺς λό
γους. τὸν δὲ λόγον ἐν ᾧ καὶ τῷ φρονεῖν τὰ ἄριστα βεβαιούμενον. καὶ εἰς προφο
ρὰν ὅταν ὁ καιρὸς ἐντεινόμενον. καὶ τὸν δὴ γενέσθαι, ἐπειδὰν ὑπὲρ μα
χῶν μέλλωσιν ἱερῶν. πατρίδος. γονέων. φίλων. ἀληθείας. νόμων.
συλλαβόντι εἰπεῖν τῶν ἀδικουμένων. οὔτε γὰρ σὲ οὔτε ἕτερόν τινα

Δ

οἴομαι, εἴπερ εὖ φρονοίη, ὡς πολιτικὸν δοκεῖ μᾶλλον λόγον τὸν μὴ ἐς
ταῦτα, ἀλλ' εἰς τἀναντία ἐντεινόμενον. εἰ τοίνυν καὶ δίκαια ταῦτα αἱ-
ρετά, πῶς οὐ καὶ τὸ φιλοσοφεῖν θεῖον αὐτὸ καὶ δίκαιον καὶ αἱρε-
τόν. δι' οὗ μόνου περιγίνεται ταῦτα. φιλόσοφος μὲν γὰρ ὁ τῆς ἐκκα-
θάρσεως τοῦ λόγου ἐπιμελούμενος· καὶ ἐπιτηδεύων λόγον ὀρθόν.
ὁ δ' ἐπιμελούμενος λόγου, ἑαυτοῦ τε ἅμα ἐπιμελεῖται, καὶ πα-
τρίδος καὶ πατρὸς καὶ ἀδελφῶν. καὶ φίλων· καὶ συλλαβόντι εἰπεῖν πάν-
των. θεωρὸν γὰρ ἡ φύσις κόσμου καὶ τῶν ἐν αὐτῷ κατασκευάσασα,
διὰ τὸ μεταδοῦναι ἡμῖν λόγου, κοινοῦ μὲν ὄντος πρὸς τούτους, ἰδίου
δὲ παρὰ τὰ ἄλλα ζῷα, ἀξιοῖ ἡμᾶς τοὺς μὲν θεοὺς καθάπερ τινὰς ἀν-
είσους καὶ πρώτους ἡγεμόνας καὶ κοινοὺς εὐεργέτας τε ἡμῶν καὶ γο-
νεῖς, ζηλοῦν τε καὶ ἀμείβεσθαι, διὰ τῆς πρὸς αὐτοὺς εὐσεβείας· ἀν-
θρώπων δὲ καὶ κατὰ τὸ κοινὸν καὶ κατὰ τὰς ἰδιαίτερον γινομένας
ἐπιπλοκὰς καὶ κηδεμονικῶς καὶ εὐποιητικῶς προΐστασθαι. Ἐπει-
δὴ δὲ νόμῳ καὶ δίκῃ συγκεράσωμεν τὰ ἀνθρώπινα καὶ τὰ θεῖα φύ-
σιν ἄκρως μὲν κατὰ φύσιν ἡμᾶς διατεθήσεσθαι ἅτε τελείους γε-
νόντας. καὶ ἐπὶ τὰ ἄνω τούτων προελθόντας νόμον καὶ δίκην, οἷαν καὶ
τὰ θεῖα οἰακίζεταί τε καὶ μακάρια γίνεται. τοιούτους δ' ὄντας διὰ
τὴν τοῦ λόγου καὶ τοῦ κατ' αὐτὸν σχηματιζομένου ἤθους ὀρθότητα
καὶ βιώσεσθαι εὐδαιμόνως καὶ καταστρέψειν τὸν βίον εὐδαιμόνως. ὥσπερ
τι δρᾶμα εὖ συντεταγμένον ἀπὸ ἀρχῆς μέχρι τέλους ἀεὶ ὑμνηθησο-
μένους καὶ ἀπαρτίσαντας. Θαρρῶν οὖν ὦ Παγκρατίδη μὴ ἐπίτρεπε μό-
νον ἀλλὰ καὶ παρακάλει τοὺς παῖδας φιλοσοφεῖν. καὶ πάντων ἁρμο-
διωτάτην παρρησίαν παρασκεύαζε. ἐξέσται γάρ σοι τοιαῦτα προ-
ελομένῳ, καὶ πρὸς τοὺς ἐξ αἵματος ὑμῖν δικαίους ὄντας λέγειν,
ὅτι οὐ τέκνα μόνον εἰς τὸ γένος, ἀλλὰ καὶ τοιάδε τέκνα ἐσπάρησαν.
καὶ

καὶ πρὸς τὴν πατρίδα ὅτι οὐχ οἵους ἐτυχομεν αὐτοὺς αὐτῇ, ἀλλὰ καὶ οἵους δεῖ πολίτας παρέστησας. εἰ δὲ θαρρήσετε κοινῇ τὰ πρὸς τὴν ἑαυτῶν τε ἀλλήλων θεραπείαν, ὡς ἄξιόν ἐστι διαναστῆτε ταῖς ψυχαῖς, εὐθὺς μὲν ἐν τῇ ἀγωνοθεσίᾳ τοῦ θεοῦ συμφιλοσοφήσετε ἀλλήλοις, ἐσόμενοι τὰ νομιζόμενα πάσῃ σπουδάζοντες αὐτῇ, ἃ περὶ ἐκβαλόντες ψιλοῦ γίνεται, ἀλλὰ οὗ ἕνεκεν γενόμενοι ἀκολουθοῦντες τῇ ἱερᾷ καὶ ἀρχαίᾳ παραδόσει. ὅπερ ἐκ μόνου τοῦ εὐσεβοῦς καὶ φιλοσόφου περιγίνεται διαθέσεως. καὶ ἅμα τῷ ἐν τῷ ἀγῶνι εὐταξίας ἐπὶ τὸν κοινὸν ὑμῖν τε καὶ πᾶσιν ἡμῖν αἰῶνα τραπήσεσθε οὐδὲν μὲν τῶν κατὰ φύσιν ἀφαιρησόμενοι. μόνα δὲ τὰ λύπης καὶ θορύβου αἴτια ἡμῶν περισπάσοντα. ἐν ᾧ ἀγρύπνῃ ἡττηθῆναι μὲν ἀνάγκη τὸν ἀπαράσκευον. ἡττηθέντα δὲ ἐκπεσεῖν χρὴ εἰς δουλείαν καὶ κακοδαιμονίαν, ἣν οὐ δεξόμεθα θεοῦ τινὶ ἡμῶν συγκεχώρηται. κρατούμεθα δὲ ἐν αὐτῇ, ὑπό τε τῶν αἰδίων καὶ τῶν τῆς φύσεως καὶ ὑπὸ τῶν θέσει νόμων, εὐτακτεῖν ἑκάστῳ καὶ ζῆν δικαίως ἅμα καὶ ὁσίως προστασσόντων. Ταῦτα εἰρηκέναι ὡς παρὰ πατρὸς παίδων πατέρα προσδεξάμενον, αὐτόν τε ἀσμένον ἐξ ἀν τοῖς υἱοῖς εἰς τὰ ἄριστα συλλήψεσθε.

ἀσπαζόμενος καὶ διὰ τἆλλα καὶ διὰ
τὴν εἰς ἡμᾶς εὔνοιαν. ἴσθι οὖν
πάντως στεργόμενος. τοι
οὕτων δὲ καὶ ἑτέ
ρων φιλοσο
φούντων
εὐπορεῖ
σε

ΤΕ πεφί- ΛΟΣ.
λων

Σ μὲν ἐνετίῃσι τὸ παρὸν ἐνετυπώθη βιβλίον, καὶ
ὦ ὅτι παρὰ ἄλδῳ, καὶ ὡς οὐκ ἄνευ προνομίου, καὶ ὅτι μου-
νυχιῶνος φθίνοντος τρίτῃ, χιλιοστῷ υ΄ ἐννενηκοστῷ θ΄ ἀπὸ
τῆς θεογονίας ἔτει, ταῦτα δὴ οὔτε πρὸς ἐμοῦ λέγειν,
οὔτε τῶν φιλολόγων οὐδεὶς ἄν ποτε τῆς τοιαύτης ἀπειροκαλίας
οὐδὲν ἀπολαύσειεν ἂν ἀγαθόν. Εἰ δέ τις τῶν ἀκριβῶς τοῖς τῶν πάλαι
ἐλλείμμασιν ἐπεξιόντων, ἀηδῶς ἔχει πρὸς ἣν ἐκκεῖνται τάξιν αἱ παρ' ἡ-
μῶν ἐπιστολαί, ἐνθυμείσθω καὶ ἡμᾶς οὐκ ἂν οὕτως αὐτὰς ἀσυνο-
σαντας διαθέσθαι, ὡς ὁ χρόνος ἀπῄτει καθ' ὃν τῶν ἐπιστειλάντων ἕκα-
στος ἤνθησεν, εἴγε πασῶν ἦν ἀποροῦμεν εὐθὺς ἀρχομένης τῆς πραγμα-
τείας. αἷς γὰρ εἴχομεν ἐπιχειρήσαντες ὀλίγαις οὔσαις, τὰς ἑκάσ-
τε μνημονευομένας ἡμῖν, ὁκοίας ἂν ἀξιῶσαι προσειλόμεθα λέξεως,
ἢ τὴν ἐκ τούτων ὠφέλειαν ἀφελέσθαι τοὺς φιλολόγους. Ἐπικά-
κεῖνο πάντας εἰδέναι βουλοίμην, μάλιστα μὲν ἡμῖν τὰ ἄριστα διορ-
θώσεως τὴν πραγματείαν ἐξευμελῆσαι. εἰ δέ τι που παρέδραμεν,
ἢ διεστραμμένον εἶναι γράμμα, ἤτι τοιοῦτον, οἷον τόδε τοῖς ἄκρῳ φα-
σὶ δακτύλῳ τῆς ἑλληνικῆς γευσαμένοις φωνῆς, ἐμποδὼν ἂν πρὸς
τὴν ἔννοιαν τοῦ κειμένου γενέσθαι. Ἐν μέντοι τοῖς Ἀλκίφρονος
ἐστὶν οὗ τὰ τῆς ἐννοίας διημαρτῆσθαι, μηδὲν ἡμῶν παρὰ τὰ ἐν ἀν-
τιγράφοις ἀνεκτῶς οὖσι διεφθαρμένοις ῥιψοκινδύνως καινοτο-
μεῖν τολμησάντων. Ὅθεν τὸ δὴ ἐκεῖνό γ' ἂν εἴη μάλα φορτικὸν εἰπεῖν
ὑποστειλαίμην, μηδένα τῶν καθ' ἡμᾶς τὰ τοιάδε μεταχειριζομέ-
νων, ἐπὶ τοῖς αὐτοῖς οἷς ἡμεῖς ἐνετύχομεν ἀντιγράφοις, ὑστερι-
αὶ

αὖ ταύτην ἐπανορθῶσαι τὴν βίβλον. εἰ δ' ὁμοίως ἡμῖν οὐ φθονοῦσιν. ὥς
περ γὰρ ἐφάπασι σκώμματα τῶν εὖ πραττόντων μῶμον, ἐνταῦθα μη-
δὲν ἔχειν μωμήσασθαι πλέον, ὃ δικαίως ἂν ἡμῖν προσγι-
βείη. ἐκ γὰρ τοῦ εἰ μὴ τυχὸν αὐτά γε ταῦτα τὰ
κατὰ τὴν κορωνίδα δυ-
χεραίνοι
σωμὲν
λα.

# ΤΕΛΟΣ.

*

| | | |
|---|---|---|
| Ἐπιστολαὶ | ϛ | |
| Epiſtolares | τὴν μέλλου | τοῦ περὶ |
| φιλικαὶ | τῆς συνηθείας | πο βάντες |
| α | σάμενος τοῦ | τυεῖν καὶ |
| ΣΥΝΕΣΙΟΥ | ἰδὼν | σαλευθῆ |
| ναυκλήρω. | Ιωάννη | ϛ |
| ἀποτρέψας | σει χαρίζομαι | τα μὲν |
| πείθεται | Δ | θέμαι |
| καὶ ἀπο | λεται | σαμένου |
| βουλομένοις | σάμεθα | φου συγγε |
| ϐ | Αυσίῳ | κίου τῶν |
| τὸ παρὰ | τῇ θάαντος | μὴ τε τὴν |
| ρᾶς ἀπεῖναι | ων αὐτὶ | ζ |
| σι. εἰ μὲν | Θεοφίλῳ | ἐπιστολὴν |
| πολλοὺς | ε | ἐπὶ τῶν |
| λιπαρῶν | ραν βέλτιον | ἐγείρει |
| τει τὴν | σιον αὐτὸ | λύρας ὅτι |

η
ΔΗΜΟΣΘΕ-
μικρὰ (ΝΟΥΣ
μαντείας
ἐν ᾗ παρεῖ

θ
πυθέα παρα
εἰπὼν
ΓΡΟΣ ΤΑΣ
δουλείας
Δημοσθένης.

ι
ἐλθεῖν
ἐνεῖδες
εἰς τὸ παρὸν
ζεται

κ
περὶ Φιλο
ἀνδρῶν
διέβαλον
τῶν εἰς τὸν

λ
τὰ μεμαθη
π.ον
ῥοιαὶ
τῶν ναυκλη

μ
τῶν πρώτην
σιν θανάτου
πλούτων
τὸ δὲ γένος

ν
ΙΠΠΟΚΡΑΤης
Υστάνης
Φιλοπίμενι
σιος περὶ

ξ
περὶ του
τούτων
πεςώς
παρηγορίαν

ο
πῶς οὐκ
μενοι. καὶ
ΕΠΙΣΤΟΛΑΙ
οιων ἐπὶ

π
ἐπειδὴ
ΕΠΙΣΤΟΛΑΙ
ως καὶ
ΕΠΙΣΤΟΛΑΙ

ρ
σιν ἀρχελάῳ
αὐτοῖς
χεται. καὶ
ματος

σ
τερον.
περὶ ἄγρας
παρεῖμου
κοινοπο

τ
τυγχάνου
χίδος.
δύς. μύρα
σωμαι.

π
πεισμαι
τῇ αὐτῇ
ἑρμηνεύσω
γρύλλου

υ
Φιλοστράτου
περὶ αἰτίας
Μερκηίῳ
περὶ ταύτας

φ
ἴσως καὶ

ΘΕΟ
ὕβρεσι τὴν
Αγροι
χ
τοῖς θνητοῖς
τὸ φρόνημα
πεια. ὅρκων
οἱ ἔρωτες
ψ
κεραί
Ετ. Πειθώ.
Ετ. Σώπατρος
κρήμνισεν

ω
οὔ πω
νεως καὶ
ΑΙΝΕΙΟΥ
Ουλπία.
Α
βίον
νην ἀφρο
χειμῶν.
στεφάνῳ
Β
ῥῆν ὧν
περὶ αὐτῶν

τημένα
πρόσωπον
Γ
μεθα περὶ
τῶν ἀρ
δὲ καὶ
Σευήρῳ
Δ
ὁ πόντ
καὶ πρὸς
αὐ ταύτην

α. β. γ. δ. ε. ς. ζ. η. θ. ι. κ. λ. μ. ν. ξ. ο
π. ρ. σ. τ. ꝟ. υ. φ. χ. ψ. ω. Α. Β. Γ. Δ.

Ἅπαντά εἰσι τετράδια πλὴν τῶν α.β.γ.δ.ε.ς. ἑξαδίων.
ἢ. θ. πενταδίου. καὶ. *. ꝟ. τριαδίου. καὶ. Δ. δυαδίου.

Omnes quaterni præter α.β.γ.δ.ε.ς. sexternos.&
ꝯ quinternũ.& *. ꝟ. ternos.& Δ duernum.

Venetiis apud Aldum mense Martio. M.ID. cum priuilegio ut in cæteris.

BIBLIOTECA UNIVERSITARIA SEVILLA

336

13